FRANCKESCHE STIFTUNGEN

Franckesche Stiftungen zu Halle

Eklogai Tines

Photius <Constantinopolitanus>

En Chalē tē Magdeburgikē, [1775?]

VD18 13061879

Abschnitt

Nutzungsbedingungen
Die Digitalisate des Francke-Portals sind urheberrechtlich geschützt. Sie dürfen für wissenschaftliche und private Zwecke heruntergeladen und ausgedruckt werden. Vorhandene Herkunftsbezeichnungen dürfen dabei nicht entfernt werden.
Eine kommerzielle oder institutionelle Nutzung oder Veröffentlichung dieser Inhalte ist ohne vorheriges schriftliches Einverständnis des Studienzentrums August Hermann Francke der Franckeschen Stiftungen nicht gestattet, das ggf. auf weitere Institutionen als Rechteinhaber verweist. Für die Veröffentlichung der Digitalisate können gemäß der Gebührenordnung der Franckeschen Stiftungen Entgelte erhoben werden.
Zur Erteilung einer Veröffentlichungsgenehmigung wenden Sie sich bitte an die Leiterin des Studienzentrums, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

Terms of use
All digital documents of the Francke-Portal are protected by copyright. They may be downloaded and printed only for non-commercial educational, research and private purposes. Attached provenance marks may not be removed.
Commercial or institutional use or publication of these digital documents in printed or digital form is not allowed without obtaining prior written permission by the Study Center August Hermann Francke of the Francke Foundations which can refer to other institutions as right holders. If digital documents are published, the Study Center is entitled to charge a fee in accordance with the scale of charges of the Francke Foundations.
For reproduction requests and permissions, please contact the head of the Study Center, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

urn:nbn:de:gbv:ha33-1-212493

Visual Library

ΠΕΡΙ ΘΕΟΛΟΓΙΑΣ
ΖΗΤΗΜΑΤΑ ΦΩΤΙΟΥ
ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

Α'.

Ἄρρητον μὲν τὸ θεῖον, ὥσπερ καὶ ἄληπτον, διότι μηδ' ἔστιν μηδ' ἐπινοίαις ψιλαῖς προϋφεστηκότα τινὰ λαβεῖν, δι' ὧν ὁ λόγος περιὼν τὴν γνῶσιν καὶ καταλήψιν τῆ μακαρίᾳ ἐκείνῃ καὶ ἀφθέγκτῳ παράσχοι θεάματος. ἄρρητον δὲ καὶ ἄληπτον ὂν, ἀπὸ τῶν ὑστέρων ὅμως ἀπό τινος τῆς ἐκεῖθεν εἰ καὶ ἀμυδρᾶς ἀπαυγῆς ἐν αὐτοῖς κατιέσης, καὶ δι' αὐτῶν ἡμῖν τὴν διάνοιαν ἐνατενίζειν πρὸς τὸ ἀμήχανον ἐκεῖνο κάλλος παρασκευαζέσης, δυνατόν ἐστι τινὰς θεοπρεπεῖς φαντασίας εἰσδέξασθαι. καθ' ὃν γὰρ τρόπον οἱ ζόφῳ παχεῖ περικεχυμένῳ ἐγκαθήμενοι βραχεῖάν τινα τῶν ἡλιακῶν ἀκτίνων καὶ ἀμυδρὰν λαμπηδόνα παραδέχονται· ἕτως οἱ τῷ σαρκίῳ περιβεβλημένοι ἐκ τῆς ἀπαυγῆς ἐκείνης τῆ νοητῆ ἡλίῳ εἰς ἔννοιάν τινα καὶ φαντασίαν θεοπρεπῆ ὥσπερ ἀπό τινος κατοπτρικῆ μηχανήματος τῆ τε πόθῳ καὶ τῆς συζητήσεως σκιοφανῆς ἀκτῖνας ἕλκουσι ἀνάγεσθαι δύνανται.

Ὃν μὲν ἂν διασώζει λόγον ὁ ἥλιος ἐν τοῖς αἰσθητοῖς, τοιαύτην ἂν περὶ τῆ θείᾳ δύναται τις ἔννοιαν ὡς ἐξ εἰκόνος ἐν τοῖς νοητοῖς δέναι καὶ λαβεῖν.

Ἀλλὰ γὰρ καὶ ἐξ ἀποφάσεως τῶν ὄντων ἁπάντων εἰς θεωρίαν ἀναγόμεθα τῆς ἐξῃρημένης τῶν ὄντων ἐσίας τε καὶ θεότητος. ὃ γὰρ μηδέν ἐστι τῶν πάντων, κρεῖττον δὲ τῆ παντὸς, τῆτ' ἂν εἴη Θεὸς, ὃς προήγαγέν τε ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τὸ πᾶν, καὶ τῆς τῶν προηγμένων διαμονῆς καὶ ἐναρμονίᾳ κινήσεως τὴν πρόνοιαν ἔχει.

Καὶ πρό γε τέτων, ὅτι ἐστὶ Θεὸς, κοινῆ πᾶσιν ἐγκατέσπαρται ταῖς ἀνθρωπίναις διανοίαις, τῆς ἐκεῖθεν αὐγῆς ὡς δι' ἐμφάσεων διανιστώσης ἡμῶν τὸν

νῶν, καὶ φιλαγωγήσης, εἰ καὶ μὴ πρὸς τὸ εἰδέναι τί πότ' ἐστι Θεὸς, ἀλλ' ἔν γε μὴ ἀγνοεῖν ὅτιπερ ὅλως ἐστίν.

Εἰ γὰρ πλῆθος ἅπαν, εἴτε τὴν τῆ συνεχῆς ὀνομασίαν δεχόμενον, εἴτε τῷ διωρισμένῳ περιγραφόμενον, ὥσπερ εἰς ἄπειρον δύναται τέμνεσθαι καὶ σκεδάζεσθαι, ἕτω καὶ πρὸς ῥοὴν καὶ φθορὰν ἀποφέρεσθαι· μέλοχῆ πάντως ἑνός τινος ἐξήρθη τῆ μὴ ταῦτα παθεῖν αὐτίκα τῆ προελθεῖν, ἀλλὰ μονῆς ἀπολαύειν καὶ συνοχῆς· μέλοχῆ δ' ἑνὸς, ἐ τῆ κυρίως καὶ ὑπερουσίαν ἑνὸς, ἐπεὶ [τότε] ἐδὲ τμητὰ καὶ σκεδαστὰ, ἐδὲ ῥεύσης ἂν ὅλως εἴησαν καὶ φθειρομένης φύσεως· ἀλλ' ἑνὸς μετοχῆ, ὃ δὴ σκιάν τις ἀμυδρὰν εἰπὼν τῆ κυρίως καὶ ὑπερουσίᾳ ἑνὸς, ἐγγὺς ἂν εἰκασίας γένοιτο τῆς μηδὲν ἀνατυπεμένης τολμηρόν. τοιῦτον δ' ἔστι τὸ παρ' ἡμῖν ἓν, ἔ καὶ τὸ πλῆθος, ὥσπερ εἴρηται, μέτοχον τμητὸν μέν ἐστι καὶ σκεδαστὸν καὶ ῥευστὸν, ἔπω δὲ τῆ περιόδῳ συνδιεῤῥύη μὲν, ὥσπερ ἐδὲ διατέτμηται.

τοιαύτη τοι καὶ αὐτὸ τὸ πλῆθος, ἀόριστον ὂν καὶ ἀνείδεον τῆ γε φύσει τῆ οἰκείᾳ, δι' ἐκείνᾳ τε περιορίζεται καὶ εἰδοποιεῖται. τετρὰς γὰρ καὶ ἑπλὰς καὶ δεκὰς καὶ τρικὰς τῆ παρ' ἡμῖν ἑνός εἰσιν ὥσπερ ἐνδάλματα, προβολαὶ τὸ πλῆθος ἑνοποιῆσαι καὶ εἰδοποιῆσαι καὶ περιορίζεσαι.

Ὡσαύτως δὲ, καὶ εἰ τὸ ἡνωμένον ἅπαν ἐχ ἑαυτὸ ἑνοῖ, ἀλλὰ τῆ ἑνότητι ἥνωται, καὶ αὐτὸ ἄρα τῆ τῆ ἑνὸς μετοχῆ τὸ ἡνωμένον ἔχει σωζόμενον, ἑνὸς δὲ κἀνταῦθα ἐ τῆ κυρίως καὶ ὑπερουσίᾳ ἑνὸς, ἀλλ' ὥσπερ εἴρηται, τῆ ἀπολαύοντος τῆς ἐκεῖθεν σκιᾶς.

Ἔτι δὲ, [εἰ] ἔστι μὲν ἐν τοῖς οὖσι λαβεῖν τὸ ἄρχον καὶ τὸ ἀρχόμενον, καὶ αὐτὸ δὲ τὸ ἄρχον τὴν τῆ ἀρχομένῳ τάξιν ὑποδυόμενον, δῆλον ὅτι τὸ ἄρχον ἐκ ἂν εἴη κυρίως ἄρχον διὰ τῆ ἄρχεσθαι καθαιρέμενον τῆς ἀρχῆς. ἐδὲ τῆτο ἔστι τις ὑπεράνω κειμένη καὶ ἄναρχος ἀρχὴ, ἐξ ἧς τὸ ἄρχον, τὴν ἀμυδρὰν τῆ εἰκάσματος δεξάμενον σκιὰν, τὴν χέσιν εἴλκυσε καὶ τὴν ὀνομασίαν τῆς ἀρχῆς.

Καὶ ἄλλως δὲ, ὥσπερ ἔστι τελευταῖόν τι λαβεῖν ἀρχόμενον μόνον, ἐκ ἄρχον δὲ, ἕτως ἐστὶν ἀναθεωρεῖν, ὡς ἔστι τις ὑπερτάτη καὶ ἐξῃρημένη τῶν ἄλλων ἁπάντων ἄναρχος ἀρχὴ, ἥτις ἂν ἐφαρμόζουσα εἴη τῆ ὑπὲρ νῶν καὶ ὑπὲρ ἔννοιαν πᾶσαν θεότητι καὶ θεαρχίᾳ.

Εἰ δέ ἐστιν ἐν τῆ τῶν ὄντων φύσει καὶ ἀγαθὸν εὑρεῖν, μᾶλλον δὲ πολλὰ καὶ ποικίλα τὰ ἀγαθά· ὃ γὰρ μὴ ἀπολαύει τινὸς ἀγαθότητος, ἀλλ' εἰς ἄκρατον ἥκει κακίας, ἐδ' ὑφεξάναι ὅλως δύναται, σκεδασθεὶη γὰρ ἂν αὐτίκα καὶ διαφθαρείη, εἴπερ ἡ φθορὰ καὶ ὁ σκεδασμὸς τῆ κακῆ· δῆλον ὡς ἔστι τὰ μὲν μᾶλλον τὰ δὲ ἧττον μετέχοντα τῆ ἀγαθῆ. εἰ δέ ἐστι τὰ μὲν μᾶλλον τὰ δὲ ἧττον μετέχοντα τῆ ἀγαθῆ, ἐκ ἀμφίβολον, ἐδ' ὅτι ἀπὸ τῶν μεταχόντων κατὰ πρώτην, ἢ κατὰ δευτέραν, ἢ κατ' ἄλλην τινὰ τάξιν, ἀγαθύνεται τὰ μεταλαμβάνοντα. πάντα δ' ὅμως ὑπερανωκειμένης τινὸς ἀγαθότητος χορηγίᾳ καὶ ἀπολαύσει τὴν τῆ ἀγαθῆ ἐν ἑαυτοῖς χάριν φέρει. Εἰ δὲ τῆτο, ἔστι τις ἄρα ὑπεράγαθος ἀγαθότης, ἐξ ἧς τοῖς ἀγαθυνομένοις ἢ τῆ ἀγαθύνεσθαι καλὰ ἀνα-

ἀναλογίαν τῶν δεχομένων παρέχεται δωρεά. ἐκ τοίνυν τῶν εἰρημένων φανερόν ἐστι, δυναῖλον εἶναι θεωρίαν θηρᾶσαι τινὰ, ὅτι τε ἐστὶ Θεὸς, καὶ ἔτος ὑπερθεον ἓν, καὶ ὑπεράρχιος ἀρχὴ, καὶ ὑπεράγαθος ἀγαθότης, ὡς πηγὴ ἀγαθότηλος. καὶ ἄλλων ὥσπερ ἰνδαλμάτων, καθάπερ ἐξαρχῆς εἴρηλαι, δυναμένων ἀπὸ τῶν ὑστέρων παραληφθῆναι, δι' ὧν ἐστιν εἰς τὸ ἀμήχανον ἐκεῖνο καὶ ἀνέκφραστον κάλλος τῆς ὑπερθεότητος καὶ ὑπερφυῆς θεότηλος ἐνατενίζειν, μάλιστά γε καὶ ὅτι μηδὲ χαλεπὸν διὰ τῆς προειρημένης μεθόδου τοιαῦτα συλλέγειν· πρός γε τὴν παροῦσαν χρείαν, καὶ τὴν συνέχουσαν ἡμᾶς τῶν ὑπογραφέων ἐρημίαν καὶ τῶν βιβλίων τὴν ἀπορίαν, ἱκανά σοι καὶ ταῦτα.

Β'.

Διὰ τί μέχρι τριάδος τὸ θεῖον προάγεται, καὶ ὅτε ἐντὸς περιγράφεται, ὅτε πορρωτέρω παρατείνεται.

Ὁ μὲν ἓν ἐν ἀπορρήτοις λόγος καὶ νικῶν τὴν ἐν ἐσόπτροις καὶ αἰνίγμασι γνῶσιν, ὁρίοις ἂν ἄλλοις εἴη θεοπτικωτέρας τε καὶ ἐρανίας μυσταγωγίας θαλαμευόμενος. ἃ δὲ βλέπειν διὰ τῆ παρασκηνίᾳ καὶ πηλίνων ἀκοῶν δυναῖλὸν ἐνωτίζεσθαι, ταῦτα δὲ ἄρα προτιθέντες, κἂν ὕστερα ᾖ, διὰ τῶν πρώτων θηρᾶν ἐκ ἔχοντες τό ζητέμενον, ἐκ ἂν ἐν εὐθύναις τῶν σεσιγηκότων ἐσόμεθα. ἓν μὲν ἓν αὐτῶν ἐστιν καὶ ἱερώτερον φάναι, ὡς ὁ μυστικὸς ἀσίγητος ὕμνος τῶν χερουβὶμ διὰ τῆς τριαδικῆς ἁγιότηλος εἰς μίαν συναγόμενος κυριότηλα, τὴν τριαδικὴν τῆς θεαρχίας ὑπογράφει τελειότηλα. καὶ τῶν ὀνομάτων ἡ ἁπλότης κατὰ συνέχειαν προσαγομένη καὶ μηδὲν μέσον συνεπεισάγουσα, ἀλλὰ καὶ τὸ τῆ ῥήματος ἀπαράλακλον, ἐκ ἔλατλον μὲν εἰκονίζει τὴν τῆς ὑπερθεσίᾳ ἐσίας ἁπλότηλα. παραπλησίως δὲ ἐκδιδάσκει καὶ τὸ τῶν ὑποτάσεων πρὸς ἄλληλας ἀδιάστατον, καὶ τὸ συμφυὲς αὐτῶν καὶ κατ' ἐσίαν ἀπαράλακλον.

Ἔτι δὲ ἐπὶ τοῖς τελείοις ἥ τε ἀρχὴ καὶ ἡ μεσότης καὶ ἡ τελειότης πρόσφορον. πρῶτος δὲ τῶν ἄλλων ἀριθμῶν ὁ τρεῖς ἀπεκληρώσαλο ταῦτα. εἰκότως ἀπὸ τῶν γνωρίμων ἡμῖν σύμβολά τινα καὶ ἴχνη ἡ ἄῤῥητος καὶ ἀνεπινόητος θεότης, τῆς ἐπιγνώσεως αὐτῆς ἐλλάμψαι προνοεμένη, διὰ τῆς τριαδικῆς ἐκ ἀπηξίωσεν ἐμφανίζεσθαι θεολογίας. Ἔτι δὲ καὶ διότιπερ ὅσα θεοπρεπῆ καθορῶμεν ἐν τῷ Θεῷ, εἰς τρία συγκεφαλαιῦσθαι φύσιν ἀπαρχῆς εὑρίσκομεν εἰληφότα, καὶ ἔτε εἰς ἐλάτλονα, ἔτε εἰς πλείονα συναγόμενα. εἰς ποῖα δὲ ταῦτα; εἰς ἐσίαν, εἰς δύναμιν, καὶ ἐνέργειαν. ἔτε γὰρ ὅσιον θεότηλος τὴν δύναμιν ἀφελεῖν, ἔτε μὴν ἐδὲ τὴν ἐνέργειαν, καὶ πολλῷ μᾶλλον ἐδὲ τὴν ἐσίαν. ἃ μὴν ἐδ' εἰς ταυτόν ἐστι καὶ μίαν ὑπόστασιν συναγαγεῖν ταῦτα, καὶ λόγον ἕνα καὶ τὸν αὐτὸν ἀποδοῦναι δυνάμεώς τε καὶ ἐσίας, ἢ δυνάμεως καὶ ἐνεργείας, ἢ ἐνεργείας καὶ ἐσίας, ἀλλ' ἐδὲ (πολλῷ δεῖ) τῷ συναθροίσμαλος αὐτῶν. τριῶν ἓν ὄντων, εἰς ἃ τὰ ἄλλα τῶν θεοπρεπῶν ὀνομάτων τε καὶ ἰδιωμάτων συγκεφαλαιῦται καὶ ἀνάγεται, εἰκότως τὸ

θεῖον ἔτε ἐντὸς τῆς τριάδος περικλείεται, ἔτε μὴν ταύτης ὑπερεκτείνεται.

Πῶς δ' ἂν ἀχθείη καί τινα εἰς ἕκαστον τῶν θεολογουμένων τριῶν ἐννοιῶν, ἔτε ἔργον εὑρεῖν, ἔτε μὲν εὑρόντα μὴ καὶ ἄλλως ποιῆσαι τῆς ὠφελείας κοινωνές. αὐτίκα τὸ ὑπερούσιον, τὸ ἀγαθὸν, τὸ ἀσχημάτιστον, τὸ ἓν, τὸ ἄποσον, καὶ τὰ ὅμοια, τὴν ἐσίαν εἴη ἂν παραδηλοῦντα, εἰ καὶ τὰ μὲν ἀμέσως, τὰ δὲ τινὸς συνεπιθεωρουμένης μεσότητος. τὸ δὲ αὐτεξούσιον, τὸ αὐτοδέσποτον, τὸ κύριον, τὸ δημιουργικὸν, τὸ παντοδύναμον, καὶ τὰ παραπλήσια, ἐν τῇ τῆς δυνάμεως περιλαμβάνεται θεωρίᾳ. ἡ δημιουργικὴ δὲ καὶ ἡ πρόνοια καὶ ἡ σωτηρία καὶ ἡ τῶν χαρισμάτων διανομὴ, καὶ ἡ δωρεὰ, καὶ τὰ σύστοιχα, τὴν ἐνέργειαν διαφόροις καὶ μυστικοῖς ῥήμασιν ἱερολογοῦσιν. Εἰ δ' ἔτι τινὰ τῶν θεοπρεπῶν ὀνομάτων τε καὶ νοημάτων καὶ εἰς ἓν τῶν τριῶν μόνον, ἀλλὰ δι' ὅλης ἥκοντα τῆς Τριάδος, ἃ μόνον ἐδὲν τέτων μάχεται τῷ τῆς ἀληθείας λόγῳ, ἐδὲ τῇ θεωρίᾳ τῆς τριαδικῆς θεολογίας, ἀλλ' ἐπὶ πλέον τε μᾶλλον αὐτῶν τὸ ἀσφαλές τε καὶ ἀνεπίληπτον βεβαιοῖ. ἀλλὰ καὶ δευτέρων λογισμῶν δίδωσιν ἀφορμὴν, δι' ὧν τὸ θεῖον ἐπιδείκνυται εἰς τριαδικὴν εὐλόγως ἀναπλέμενον περιοχήν.

Ὡσαύτως δὲ καὶ εἴ τις δι' ἑτέρας ἐπιβολῆς εἰς τριαδικὴν δείξη συναριθμησιν τὰ θεοπρεπῆ τῶν ὀνομάτων τε καὶ νοημάτων περαλέμενα, ἐχ ἑξάδα διὰ τέτο, ἀλλ' ἐδὲ πλῆθος ἑνάδος ἢ τινος ἄλλης πληθύος παραχεῖν αἰτίαν λάβοι συνεπιφέρεσθαι. τέναντίον δὲ τὸ τῆς Τριάδος ἀπαράγραπτον διαφόροις ἐπιδείξει λόγοις βεβαιέμενον, καὶ τὸ ἀμετάθετον ἔτι μᾶλλον παρασήσει τῆς θεολογίας καὶ ἀναλλοίωτον. τὸ γὰρ μὴ μιᾷ θεωρίᾳ πρὸς συζυγὴν καὶ ἐξάπλωσιν τὸ ἀῤῥεπὲς τῆς ὑπερφυᾶς Τριάδος καταλαμβάνεσθαι, πολλαχόθεν δὲ τὸ ἀμετακίνητον αὐτῆς καὶ ἐσηριγμένον ἀνακαλύπτεσθαι, πῶς ἐκ ἂν εἴη τῆς ἐξαρχῆς ἀποδοθείσης αἰτίας βεβαίωσις ἀνεξέλεγκτος; εἰ μὲν γὰρ ἐπ' ἄλλᾳ καὶ ἄλλᾳ ὑποκειμένᾳ, ἀλλὰ μὴ ἐπὶ τῆς αὐτῆς καὶ ἑνιαίας θεότητος ἡ τριαδικὴ συγκεφαλαίωσις διαφόροις θεωρίαις ἐπεδείκνυτο, ἐδὲν ἐκώλυεν τῷ πλήθει τῶν ἐνθυμημάτων μὴ συμπληθύνεσθαι καὶ τὸ ἁπλήθυντον τῆς θεότητος. εἰ δὲ, ὁσάκις ἐπισκοπῆσαι χαριτωθείημεν ἐπὶ τῆς αὐτῆς ὑπεραγάθε Τριάδος, τὸν ἱερὸν τέτον καὶ ἀριθμὸν κρείττονα καταλαμβάνομεν ἀριθμὸν, ἔτε συζελλόμενον, ἔτε μὴν ὑπεραπλέμενον, πῶς ἐχὶ μᾶλλον τὸ πλῆθος τῶν ἐπιχειρημάτων ἀπαράγραπτόν τε καὶ παναληθέστατον τὸ ἁπλήθυντον ἡμᾶς καὶ ἀναφαίρετον τῆς τριαδικῆς θεολογίας ἐκ ἐκδιδάσκει;

Ἔστι μὲν ἓν καὶ ἕτερα, δι' ὧν ἡ τριὰς κατὰ τὴν ὁμοιότητα τῷ τεθεωρημένῳ λόγῳ παραδείκνυται. ὥσπερ καὶ τὰ τοιαῦτα, νῦς, νοητὸν, νόησις, εἶτα λόγος, καὶ πνεῦμα, καὶ τὸ ἐξ ἃ ταῦτα πρόεισιν. ἀλλὰ γὰρ καὶ ὑπεράρχιος καὶ πρώτη καὶ ἔμφυτος ἀρχὴ, καὶ ὧν κατὰ τὸν λόγον τῆς συμφυΐας καθέζηκεν ἀρχὴ, ἐξ ἃ καὶ ἡ ἐν τοῖς ἔσιν ἅπασιν κατὰ δεσποτείαν καὶ κυριότητα πρόεισιν ἀρχή. ἔπειτα γεννήτως, γέννημα, πνεῦμα,

πνεῦμα, ἐ γὰρ ἄγονον ἡ πηγὴ καὶ αἰτία πάντων τῶν γενομένων, ὐδ' ἄπνους ἡ χορηγία πάντων τῆς πνοῆς. ὐδὲ τῶν αὐτῆς δημιουργημάτων ἐνδεέστερον, ἔτι ζωογονῶν πρώτως καὶ πρῶτα, ὑπερφυῶς μὲν, κατὰ δὲ τὴν ἔμφυλον αὐτῆς καὶ ὑπὲρ λόγον ἰδιότητα. δεῖ γὰρ προηγεῖσθαι τῶν δημιουργίας λόγῳ καὶ δεσποτείας προαχθέντων τε καὶ ζωογονουμένων τὴν προάναρχον τῶν ὑπερφυῶν τε καὶ ὑπερσοίων Φύσιν καὶ ζωὴν, καὶ ἧς ἀπαύγασμα καὶ μιμήματα καὶ ἄλλη πᾶσα καθέστηκεν Φύσις καὶ ζωὴ, ἐπεὶ κἂν τοῖς περιγείοις ἡ Φύσις τῆς τέχνης προϊδρυταί τε καὶ προκάθηται, ἣν ἀνάγκη πάλιν ἐκ αὐτοδέσποτον ὐδ' ἄναρχον ὖσαν πρὸς ἑτέραν ἁπασῶν τῶν Φύσεων δημιουργὸν καὶ ἐξηρημένην αὐτῶν ἀφθέγκτοις ὑπεροχαῖς τῆς γεννήσεως ἄγαλμά τι ποιεῖσθαί τε καὶ συνίστασθαι. πολλὰ δ' ἂν καὶ ἕτερα εἴη πρὸς τὴν αὐτὴν θεωρίαν διοικονομεῖσθαι δυνάμενα.

Οἶδα δέ τινας εἰπόντας καὶ ἑτέραν τινὰ συμβολικὴν θεωρίαν. ἀρεταῖς Φασὶ τὸ θεῖον καὶ ζυγῷ δικαιοσύνης τὴν πρόνοιαν πάντων ταλαντεῦον, ἐπεὶ καὶ ὁ τοῖς ἀνθρώποις ἐπινενόηται κριτήριον τῶν ἴσων τε καὶ ἀνίσων, ζυγόν τ' αὐτὸ κυριολογεῖσιν. ἀλλὰ γὰρ τοῦτό τε παρ' ἑκάτερα δύο πέρατα τῆς κατὰ τὸ μέσον κεραίας ἐξήρτηται, καὶ τριαδικῷ μὲν ἰδιώματι τὸ κατὰ τὰς ὑποστάσεις διάφορον ὑποδείκνυται, μίαν δὲ τούτων ἐστὶ καὶ ἡ κρίσις καὶ ἡ ἐνέργεια, καὶ ταύτη τριαδικὴν ἐν ἑαυτῷ καὶ μοναδικὴν θεωρίαν εἰκονίζει. ἐκ ἔχεν ὅ ὕβριν ὁ τῶν ὅλων κριτὴς καὶ ζυγοστάτης θεὸς, διὰ τῶν ἡμῖν συντρόφων φωνῶν τὴν ἀκαλάληπτον αὐτοῦ θεογνωσίαν παραγυμνοῦσθαι καὶ ἀναπτύσσεσθαι.

Εἰ δ' ἂν ἐπιθεωρήσαις, ὡς ἐπ' ἀδενός ἐστι λαβεῖν τῶν ἄλλων ἀριθμῶν πλὴν τῆς τριάδος ἀπαραλλάκτῳ καὶ ἐνιαίᾳ ἰσότητι τὰ ἄκρα τῷ μέσῳ συναπτόμενα· ἡ τοίνυν ἐν ἀριθμοῖς τὸ ἴσον καὶ ἀπαράλλακτον καὶ ἀδιάστατον ἐν τῷ ἀσυγχύτῳ ὑπογράφει, καὶ ἱεράν τινα Φαντασίαν τῆς ἡμῶν θεολογίας ἐνοπλίζει· εἰκότως ἐφιλοσόφησεν ἡ μυσταγωγὸς τῆς ἐκκλησίας κρίσις, δι' ἐκείνου μᾶλλον ἢ δι' ἑτέρου τινὸς ἀριθμοῦ τὸ ἀναπλέμενον τῆς τριαδικῆς μοναρχίας ἐκδιδάσκειν.

Ἀλλὰ γὰρ δεῖ κἀκεῖνο λαβεῖν χειραγωγίαν ἐσόμενον εἰς τὸ κατανοεῖν τὸ τῆς Τριάδος ἁπλήθυντόν τε καὶ ἀκαινοτόμητον. ποῖον δὴ τοῦτο; ἐπεὶ ἕκαστον τῶν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραχθέντων ἐξ ὕλης ἐστὶ καὶ εἴδους, ἢ ἐξ ἀναλογίας γε πάντως ὕλης καὶ εἴδους στοιχειώδους δυάδος, ἀναγκαῖον τῆς δυαδικῆς συναριθμήσεως τῶν κλισμάτων, ἅτε δὴ χαμαιπετοῦς καὶ προσύλου, τὴν ἄϋλον καὶ ὑπερέσιον καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς Φύσιν ὑπεραναβεβηκέναι. εἰ δὲ τοῦτο, εἰκότως ἄρα μετὰ τὴν ἐν δυάδι ἀριθμησιν ἑβδομὰς ἀνέχεται τὸ θεῖον συναπαρίζεσθαι· τῇ δὲ τριαδικῇ θεολογίᾳ, κάτω λιπὸν τὴν ὕλην καὶ τὰ τῆς ὕλης, ἐνιδρυόμενον, τὴν μετ' αὐτὴν ἀριθμησιν ἑβδομάδα προσίεται, ἵνα μὴ πρὸς τὸ χυδαῖόν τε καὶ ἀνίδρυτον κατενεχθείη τῆς πρώτης περιοχῆς ἀποῤῥυὲν. καὶ πρὸς ἑκάστην ἐπίνοιαν ἀνθρωπίνην διασκεδαζόμενον.

Τριὰς

Τριὰς δὲ καὶ ἐχὶ δυὰς ὁ Θεὸς, ἵνα μὴ, τὴν αἰτίαν καὶ ἀρχὴν τῆς τομῆς καὶ τῷ σκεδασμῷ ἐν ἑαυτῷ φέρων, τὴν ἐνιαίαν καὶ ἄτμητον καὶ πηγὴν πάσης ἑνότητος ἐνυβρίσῃ Φύσιν. οὐδὲ τέσσαρα δὲ πολλῷ μᾶλλον. διπλῆ γὰρ ταῦτα τομὴ, ἡ μὲν τὴν γένεσιν προκαταλαβοῦσα, ἡ δὲ τὴν ἐξ ἐκείνου συντεθεῖσαν τέμνουσά τε καὶ διαλύουσα. οὐδὲ τὰ πέντε δ' ἂν ἔχοι χώραν καθορᾶσθαι, οὐδὲ τὰ ἑξῆς. τὰ μὲν ὅτι δεύτερα τῆς τριάδος, καὶ τῆς κατ' αὐτὴν ἀμερεῦς ἐννοίας ὑποβέβηκεν. τὰ δὲ ὅτι τῷ σκεδασμῷ καὶ τῆς τομῆς καὶ τῆς ὕλης, ὅσον εἰς σύνθεσιν πρόεισιν, πλέον μετέχει ἐκεῖν εἰκότως ἡ Θεολογία τὴν μὲν τριάδα πρὸς ἐκφαντορίαν τῆς ἐν τῇ Φύσει παραλαμβάνει κρυφιότητος· τὸ δὲ ἓν, διότι οὐδενὶ ἔτως ἄλλῳ τὸ ὑπὲρ νοῦν κρύφιον τῆς θεότητος ὡς τὸ ἑνὶ θεολογῆται καὶ παραδείκνυται, καὶ διότι πηγὴ συμφυΐας ἁπάσης ὑμνολογεῖται τὸ θεῖον ἑνότητος.

Ἔτι δὲ ἡ δυὰς τά τε ἴχνη τῷ μὴ ὄντος ἐν ἑαυτῇ πρώτη μάλιστα φέρει. λύσεώς τε γὰρ πρὸ τῶν ἄλλων αὕτη πηγὴ, καὶ τομῆς καὶ σκεδασμοῦ, καὶ πᾶσιν αἰτία φέρειν ἐν ἑαυτοῖς τῆς φθορᾶς τὰ προοίμια. ἡ τριὰς δὲ τὸ ἄτμητον εἰκονίζει πρώτη καὶ ἀσκέδαστον. καὶ εἴ τι ἄλλο μετέχει τῆς ἀδιαιρέτου τε καὶ ἀσκεδάστου Φύσεως, ἐξ αὐτῆς μετειληφὸς ἐπιγινώσκεται. διὸ τὸ θεῖον εἰκότως τῆς ῥοῆς καὶ λύσεως καὶ φθορᾶς αἰτίαν ἀπεσείσαλο, διὰ δὲ τῆς εἰκονιζούσης τριάδος τὸ ἄῤῥευστόν τε καὶ ἀσκέδαστον καὶ ἀδιάλυτον ἐπιγινώσκεσθαι κατηξίωσεν. καὶ γὰρ τὸ μὲν τὴν αἰτίαν τῆς τομῆς καὶ ῥύσεως καὶ τῶν ἄλλων ὁμόλογῶν παθῶν ὑπεριδεῖν, οἰκεῖον θεότητος. τὸ δὲ τὴν τριάδα μὴ ὑπεριδόντα, πρώτως εἰκονίζουσαν τἀναντία πάντα τῶν εἰρημένων παθῶν, εἰς ἀπορίαν τὸν ἀνθρώπινον νοῦν πλανᾶσθαι μὴ παραχωρεῖν, φιλανθρωπίας τε ἔτι τῆς πρεπούσης Θεῷ, καὶ τῆς περὶ ἡμᾶς προνοίας περιφανεστάτη παράστασις.

Γ'.

Πῶς λέγομεν ἓν καὶ τρία τὸ θεῖον.

Ἓν καὶ τρία τὸ θεῖον θεολογοῦμεν, τὸ ἓν δὲ καὶ τὰ τρία ἑνὶ τῆς ὑπερφυοῦς ταύτης θεαρχίας καὶ καθ' ἡμᾶς ἱερολογεῖ θεολογία, ἐ τὸ ἓν ἐν ἀριθμοῖς ἢ τὰ τρία κυρίως ὥσπερ ἐπὶ τῶν κατὰ Φύσιν καὶ κυρίως ἀριθμητῶν παραλαμβάνουσα. ἀριθμῷ γὰρ παντὸς καὶ ἑνάδων, αἳ τὰ τῷ ἀριθμῷ μέρη καὶ πάσης ἄλλης ἀναπληροῦσι ποσότητος, παντελῶς ἡ ὑπεράρχιος ἀγαθαρχία ἀῤῥήτῳ μέτρῳ ὑπερίδρυται. ἀλλὰ μὲν διὰ τοῦ ἑνὸς τὴν κρυφιότητα αὐτῆς καὶ τὸ ἀφθεγκτον καὶ ἀνεκφοίτητον, καὶ πῶς ἄν τις εἴποι τὸ συννεῦον εἰς ἑαυτὴν καὶ σεσιγημένον τῆς Φύσεως, καὶ παντὸς ἐπέκεινα καὶ νοῦ καὶ νοήσεως, συμβολικῶς ἐνδίδωσιν ἀναπλύσσεσθαι. τὸ δὲ τρία τὴν ἐκφαντορικὴν αὐτῆς ἀγαθότητα καὶ πρόοδον καὶ ἐξάπλωσιν ἱερολογικῶς μυσαγωγεῖ καὶ ἀνακαλύπτει, οὐχ ὅλην τὴν ἄῤῥητον ἐναυγάζουσα, ἀλλ' ὅσην ἡ ἀνθρωπίνη Φύσις δυνατὴ παραδέχεσθαι, δι' ὧν ὅ τε δημιουργὸς, καὶ ἡ αὐθυπόστατος δύναμίς τε καὶ πρόνοια τῆ

τῇ ζωογόνῳ καὶ συνεκτικῇ τῶ παντὸς συνεκλάμπει καὶ συναναφαίνεται ἐνεργείᾳ. ἡ γὰρ ἐν τῷ ἀφράστῳ τῆς κρυφιότητος μονὴ καὶ παντελὴς ἀκινησία, ὥσπερ δὴ τοῖς τῆς σιγῆς θαλάμοις ἐναποκρύπτεται, ἕτω δὴ καὶ διανοίας πάσης, ὅτι μηδ' ἣν τις νῶς εἰς τὰ ὑπὲρ ὧν ἀνιὼν, ἀνακεχώρηκεν.

Ἐν μὲν ἓν τοῖς πρώτοις ἡ θεοπρεπὴς φαντασίαι τὴν μονὴν καὶ στάσιν, καὶ τὸ ἀκίνητον καὶ τὴν ταυτότητα, καὶ, ὅσον ἐξὶ δυνατὸν ἀνθρωπίνῃ φύσει δέξασθαι τὰς ὑπεράνω κειμένας αὐγὰς τῆς ἐκεῖθεν ἐλλάμψεως, τῆς μονῆς καὶ στάσεως καὶ ἀκινησίας τὸ συνηρημένον ἐποπτεύει. ἐνταῦθα δὲ τὴν ἑνοειδῆ καὶ θεουργὸν ἑτερότητα καὶ τὴν ἀδιάσπατον ἐν ἀκινήτοις ὑποστάσεσι κίνησιν, ἀρρήτως τε καὶ ἑνὸς χωρὶς ἁπάσης θεοπρεπῶς ἐπιβλέπει. ἓν ἓν τὸ θεῖον καὶ τρία, ἃ κατὰ τὴν ἀριθμητικὴν τεχνολογίαν. τοῦτο δὲ ἄρα καὶ πρὸ ἡμῶν ὁ τῶν ἀποῤῥήτων μύστης ὑπὸ τῶ τὰ ἀνέκφραστα μυσταγωγοῦντος ὁ μέγας μυηθεὶς Διονύσιος αἰνιττόμενος ἔλεγεν· ὡς ὁ παντὸς νοητῶ καθ' ὑπεροχὴν αἴτιος ἔστε ἕν ἐστιν, ἔστε ἑνότης· ὑπερτιθεὶς αὐτὸν τῶν ἐν ἡμῖν ἁπάντων τιμίων, καὶ δὴ καὶ δηλῶν, ὡς πρὸ τῶν ἄλλων, καὶ τῆς συναριθμήσεως. καὶ πάλιν· ὁρῶμεν τὴν θεαρχίαν ἱερῶς ὑμνημένην, ὡς μονάδα μὲν καὶ ἑνάδα, διὰ τὴν ἁπλότητα καὶ ἑνότητα τῆς ὑπερφυοῦς ἀμερίας, ἐξ ἧς ὡς ἑνοποιῶ δυνάμεως ἐνιζόμεθα, καὶ, τῶν μεριστῶν ἡμῶν ἑτερωλήτων ὑπερκοσμίως συμπτυσσομένων, εἰς θεοειδῆ μονάδα συναπτόμεθα, καὶ θεομίμητον ἕνωσιν.

Τριάδα δὲ, πρόχες, ἐκ ἂν ὡς ἀριθμητὴν φησὶν, ἀλλὰ διὰ τὴν τρισυπόστατον τῆς ὑπερουσίε γονιμότητος ἔκφασιν, ἐξ ἧς πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἔστι τε καὶ ὀνομάζεται. καὶ πολλὰ τοιαῦτά ἐστιν παρὰ τῷ θεσπεσίῳ τῶν ἀθεάτων θεωρῷ, καὶ τῆς Παύλε μυσταγωγίας ἐπαξίῳ. Ὅτι δὲ ὰ τῶν κυρίως ἀριθμητῶν ἡ Τριὰς, ἔκ τε τῶν εἰρημένων ἐξὶ θεωρεῖν, καὶ ἄλλοι διάφοροι δηλοῦσι λόγοι. καὶ γὰρ ἐπὶ τῶν κυρίως ἀριθμητῶν, οἷον ἀνθρώπων, φέρε εἰπεῖν, ἢ ἀγγέλων, ἢ μυρίων ἄλλων, δυνάμεθα λέγειν καὶ τριὰς ἀγγέλων καὶ τριὰς ἀνθρώπων, ἀλλὰ καὶ τρεῖς ἄγγελοι καὶ τρεῖς ἄνθρωποι. ἐπὶ δὲ τῆς ὑπὲρ πάντα νοῦν καὶ ἀριθμὸν ὑπεραγίας Τριάδος ἔστε τριὰς θεῶν εἴποι ἄν τις εὐσεβῶν, ἀλλ' οὐδὲ τρεῖς θεοί. πάλιν τὰ ἐν τῇ ὑπεραγίᾳ καὶ ὁμουσίῳ Τριάδι λαμβανόμενα πρόσωπα, φανερὸν ὡς δι' ἀλλήλων τὰς ἰδιότητας ἀχράντως καὶ ἀκηράτως διασώζοντα χωρεῖ. πληροῖ τὰ πάντα ὁ Πατὴρ, πληροῖ τὰ πάντα ὁ Υἱὸς, ὡσαύτως καὶ τὸ Πνεῦμα τὸ ἅγιον. καὶ τὸ ἀνάπαλιν, ἔνθα πάρεσι τὸ Πνεῦμα, ἐκεῖ καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ἀλλὰ καὶ ἐν οἷς πάρεσιν ὁ Υἱὸς, συμπάρεσι καὶ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα. ἐπὶ δὲ τῶν κυρίως ἀριθμητῶν οὐδέν ἐστι τοιοῦτον οὐδὲ ἐννοεῖν.

Ἔτι δὲ ἐπὶ τῶν κυρίως ἀριθμητῶν καὶ προθήκη γίνεται καὶ ἀφαίρεσις

τῶν ἀριθμουμένων, ἐπὶ δὲ τῆς ὑπερουσίου καὶ ἀκαταλήπτου Τριάδος πῶς ἂν ὅλως ἐννοηθείη τοῦτο; καὶ πολλὰ ἄν τις ἐπιθεωρήσειε τοιαῦτα.

Τὸ ἓν καὶ τὰ τρία ἐνὶ τῆς θεαρχικῆς θεολογουμένης Φύσεως, ἐκ ἀριθμός ἐστι κυρίως, ἐδ' ἀρχὴ ἀριθμοῦ· ἀλλὰ τὸ μὲν ἓν σύμβολόν τε ἐστι τῆς ἀπερινοήτου κρυφιότητος, καὶ αἰνιγματίζει τὸ ἄῤῥητον τῆς ὑπάρξεως· τὴν ἐκφαντορίαν δὲ τὰ τρία διαπλοῖ καὶ παραγυμνοῖ τοῖς μερικοῖς τὴν γνῶσιν τῆς ἀμερίστου καὶ ἀκαταλήπτου θεότητος. ἐκφαίνεται γὰρ ἡ ὑπὲρ νοῦν καὶ πᾶσαν κατάληψιν ἐσία τῇ τοῦ Πατρὸς ἀναπλεμένη καὶ Υἱοῦ προσηγορίᾳ καὶ Πνεύματος· ὥσπερ ἐπὶ τὸ κρύφιον καὶ ἀκατανόητον συξέλεται τῷ ἑνὶ, τῆς ὑπερφυοῦς μηδ' ἐπινοίᾳ σεσυμένη κρυφιότητος. καὶ τῶν ὀνομάτων ἀλλήλων διϊσαμένων, ἡ ἄῤῥητος δι' αὐτῶν καὶ ἀσυναίρετος θεολογεῖται τῶν νοουμένων συναφεια· καὶ τὸ ἁπλήθυνλον, ἐκ ἐξισάμενον τῆς ἑνότητος, πρόεισιν ἀπληθύνλως τῇ τριάδι πληθυνόμενον· καὶ τὸ μὲν τὰ τρία βλαστάνει, τὰ δὲ τῆς τοῦ ἑνὸς ἁπλότητος καὶ συναφείας ἐ διίσαται.

Διὸ καὶ ἀποινάνητον ὡς ἀληθῶς ὁ Θεὸς, ἐδὲν γὰρ τοιοῦτον ἐν τοῖς κτίσμασιν. εἰ δὲ ἓν μόνον ἦν, ἢ τρία, τὸ θεῖον μυρίως ἂν συνεπήγετο κοινωνὸς, καὶ ἡ κλίσις τὸν κτίσην ἐδείκνυ τοῖς ἑαυτῆς συναπτόμενον ἰδιώμασιν.

Εἰ ὁ Θεὸς καὶ ἡ θεότης ἐν πᾶσι τοῖς ἔσι καὶ διὰ πάντων, τί θαυμαστὸν, εἰ καὶ ἐν ἀνθρώποις ὡς ἄνθρωπος; τὸ μὲν ἓν ἐν πᾶσιν εἶναι, τά τε ἄλλα καὶ τῆς δημιουργίας ὁ λόγος ἐπίσαται· τὸ δὲ ἐν ἀνθρώποις, ἡ διὰ φιλανθρωπίαν τοῦ κλίσματος πρόσληψις, καὶ τῆς γεννήσεως, ἣν αὐτὸς ὑπέσησε, μεθοχὴ καὶ κοινωνία, δευτέρας τιμῆς ἀπολαυέσης μετὰ τὴν πρώτην· ὧν τὴν μὲν ἡ δημιουργὸς χεὶρ, τὴν δὲ προσελθὼν αὐτὸς ἐχαρίσατο. ὥσπερ ἓν, διότι τὰ ὄντα ἐκ μὴ ὄντων ὑπέσησε, δημιουργὸν αὐτὸν λέγομεν, εἰ καὶ κρειττων πολλῷ δημιουργίας ἡ πρόοδος· ἕτω καὶ διὰ τὸ τὲς ἀνθρώπους ἐξηρημένη τῶν ἄλλων εὐεργετῆσαι προνοία, εἰ καὶ κρειττων ἐσὶν ἀνθρωπίνης γεννήσεως ὁ ἐκ παρθένου τόκος καὶ ἡ ἄφρασος γέννησις, γεννηθῆναι λέγομεν τὸν προαναρχον, καὶ ἄνθρωπον χρηματίσαι τὸν πλάσην τῆς Φύσεως. Οὐκ ἄνθρωπον θεοποιοῦμεν, ἄπαγε, ἀδύνατόν τε γὰρ ὡς ἀληθῶς τοῦτο, καὶ λόγῳ κρίσιν ἐχ ὑφισάμενον, ἀλλὰ Θεὸν ὁμολογοῦμεν προελθεῖν ὡς ἄνθρωπον, ὅπερ ῥᾴον τε ἐστὶ Θεῷ τῷ τὴν Φύσιν πλασαργήσαντι, καὶ πολὺν φιλανθρωπίας ἀνακηρύττει διάθεσιν.

Δ'.

Πῶς ἐστὶ δυνατὸν ὅλως ἐννοεῖν τὸ θεῖον σαρκωθῆναι.

Θεοῦ μὲν οὐδὲ θείας ἐλλάμψεως οὐδένα τοσοῦτον κεκενωμένον εἶναι νομίζω, ὃς μὴ παντα χοῦ παρεῖναι τὸ θεῖον ἀδιασάτως, μηδὲ τὰ πάντα πληροῦν ἐμφύτῳ καὶ κοινῇ κατέλαβεν ἀντιλήψει. εἰ δὲ πᾶσι πάρεσιν ὁ Θεὸς τοῖς ἔσιν, οὐδὲν τῆς

τῆς ὑπερφυοῦς αὐτῷ φύσεως ἐκ τῆς περὶ τὰ δημιουργήματα αὐτῷ παρουσίας συναλλοιουμένης ἐκείνων ἀλλοιουμένων, ἔτε τοῖς καθ' ὑπόβασιν ἑτέρῳ πρὸς ἕτερον ἐλαττώμασιν συνελαττουμένης, ἐδὲ ταῖς ἐν τοῖς κτίσμασιν ἀναφυομέναις κηλίσιν ἐνυβριζομένης, ἀλλ' ἐν τῇ ἀφράστῳ καὶ ἀπερινοήτῳ τῆς μακαριότητος ὑπεροχῇ καὶ ἀπαθείας ὑπερδρυμένος πάρεστί τε τοῖς οὖσι, καὶ συνέχει ταῦτα καὶ διεξάγει· πῶς ἂν ἀδύναλον εἴη, ἢ τινα φέρον ὕβριν τῷ ἀνθρωπίνῳ παρεῖναι φυράματι, καὶ τὴν ἀπόρρητον αὐτοῦ φιλανθρωπίαν καὶ πρόνοιαν διὰ τῆς σαρκώσεως ἐπιδείξασθαι; μᾶλλον δὲ πῶς ἐ καλόν; πῶς δ' ἐχ ἁρμόδιον;

Ἀλλ' ὁ λόγος ἔτος, ἴσως ἄν τις ὑποκρούσειεν, ἐ μόνον ἐνανθρωπῆσαι τὸ θεῖον φρονεῖν ὑποτίθεται, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων κλισμάτων τὴν φύσιν ὑπελθεῖν καὶ πρὸς ἐσίωσιν ἀναδέξασθαι. ἀλλά γε τῆς σῆς διανοίας τὸ εὔστροφον, ὦ γενναῖος, ἀποδεχόμενος, ἐκ ἀποδέχομαι τῆς ἄλλης ἐπιβολῆς, ὅτι μὴ θᾶττον ἐπέγνως μηδὲ προσέσχες βιαίως τὴν ἐξ ἀρχῆς θέσιν ἐξαρνούμενος. ὁ γὰρ ἀδύνατον διαλεγόμενος, Θεὸν σαρκοῦσθαι καὶ ἀνθρωπίνην μορφὴν ἀναδέχεσθαι, τοιοῦτος διὰ τῆς δευτέρας ἀπορίας φαίνεται τοῦτο συνομολογῶν, ὡς ἐδὲ τῶν ἄλλων κτισμάτων ἐδενὸς τὴν φύσιν ἀναλαβεῖν αὐτὸν ἀποφαίνεται, καὶ ὁ καθ' ἑνὸς ὁρῶν τὸ ἀδύνατον, κατὰ πάντων ὁμοῦ τὸ δυνατὸν ἐψηφίσατο, ὥστε τὸ, δυνατὸν εἶναι Θεὸν σαρκωθῆναι, ἐδὲ παρὰ σοὶ τῶν ἀδυνάτων φιλολογοῦντι εὑρεθήσεται.

Ε'.

Διατί Θεὸς ἐσαρκώθη.

Ἐπειδὴ λίαν ὀλίγων ἐστὶ διὰ νοῦ καὶ θεωρίας εἰς φαντασίαν ἀνελθεῖν τοῦ θείου θεοπρεπῆ, καὶ τοῦτο δῆλον ἐξ ὧν καὶ οἱ δοκοῦντες εἰς ἄκρον ἐλάσαι τῆς ἐν ἀνθρώποις σοφίας πρὸς σφᾶς ἑαυτοὺς καὶ πρὸς ἀλλήλους ἐπὶ μέγιστον διηνέχθησαν· διὰ τοῦτο ἐνηνθρώπησεν ὁ Θεὸς, ἵνα μὴ μόνον οἱ πλέον τι κατὰ γνῶσιν τῶν ἄλλων ἔχειν δοκοῦντες, ἀλλὰ καὶ ὁ πολὺς ἄνθρωπος, ὁ τῇ αἰσθήσει μᾶλλον ἢ τῷ λογισμῷ χειραγωγούμενος, δι' ὧν ὁρᾷ τε καὶ ἀκούει πρὸς τὴν εὐσεβῆ τοῦ θείου καὶ σωτήριον ἔννοιαν ἀνατρέχειν ἔχῃ, διὰ τῶν αἰσθητῶν ἐπὶ τὰ τῶν νοητῶν ἀναβαίνων, καὶ ἀπὸ τῶν διὰ μέσης τῆς σαρκὸς θεουργουμένων ἐπὶ τὴν τῆς ὑπερφυοῦς καὶ ἀσωμάτου θεότητος θεωρίαν. καὶ τοῦτο δῆλον ἐκ τῶν ἐκβεβηκότων. ἐξ ὧν γὰρ Θεὸς ἐνηνθρώπησε, καὶ τὰ παράδοξα καὶ ὑπερφυῆ τῶν ἔργων τὴν ἠμελέραν φέρων μορφὴν ἐπετέλεσεν, τὰς ἀλλοκότους καὶ πολυπλανεῖς φαντασίας ὁ ἄνθρωπος ἀποῤῥίψας, καὶ μακρὰν χαίρειν εἰπὼν τοῖς μακροῖς λήροις καὶ τοῖς εἰδωλικοῖς ἀναπλάσμασιν, τὸν ἐν σαρκὶ φανέντα Θεὸν τοῦτον ἀληθινὸν Θεὸν ὁμολογεῖ τε καὶ προσκυνεῖ, διὰ τῆς ἐν σώματι μὲν παρουσίας αὐτοῦ καὶ τῶν ὑπὲρ λόγον ἔργων ὄψει καὶ ἀκοῇ καταμαθὼν αὐτὸν ἀξιωθεὶς, διὰ δὲ τῆς τοιαύτης γνώσεως εἰς

τὴν τῆς ἀθεάτου Φύσεως ἐπίγνωσίν τε καὶ θεωρίαν ἀναχθείς.

Ἀλλ' ἓν μὲν τοῦτο. Δεύτερον δὲ, ὅτι ἐδαμῶς ὁ ἰχυρὸς ἐδέσμευτο μὴ δυνατωτέρου τὸν ἀγῶνα τοῦτον καὶ τὸν ἆθλον ὑποδυσαμένου. Τρίτον ὅτιπερ ἡ ὄψις καὶ ἀκοὴ προκειμένη διδασκαλία τῆς πόρρωθεν καὶ δι' ἑτέρων μέσων ἀπαγγελλομένης ἐπικρατέστερά τε πολλῶν καὶ ἀκριβέστερα. Εἰ βούλει δὲ ὅτι καὶ πολλοῖς εὐχερέστερα καὶ ῥᾳδίως ἐξανύεσθαι δυναμένη ἡ διὰ μιμήσεως τῶν ἀρετῶν πρᾶξις τῆς ἄνευ ἀπαιτουμένης. μίμησις δ' ἀνθρώποις ἐκ ἂν εἴη τὸν ἀνθρώπινον ἀνυψοῦσα βίον, μηδενὸς ταύτην πράττοντος ἀνθρωπίνως. πρᾶξις δ' ἀνθρωπίνη πῶς ἂν εἴη τῆς ἐνανθρωπήσεως τοῦ Λόγου μὴ γεγεννημένης; Φιλανθρώπως ἄρα καὶ ἐξ ὑπερβλήτου προνοίας, καὶ τοῦ Λόγου γέγονεν ἐνανθρώπησις, καὶ ἡ μεθ' ἡμῶν θεοποιὸς ἀναστροφὴ καὶ πολιτεία.

ΠΕΡΙ

ΠΕΡΙ

ΤΩΝ ΓΝΩΜΙΚΩΝ ΘΕΛΗΜΑΤΩΝ

ΕΠΙ ΧΡΙΣΤΟΥ.

Ὁ περὶ τῶν γνωμικῶν θελημάτων ἐπὶ Χριστῷ λόγος, πῆ μὲν ἐστι χαλεπὸς, πῆ δὲ ῥᾴδιος. διότι μὲν γὰρ ἐδεῖς, ὅσαγε ἐμὲ εἰδέναι, τῶν ἀξιολόγων καὶ θεοφόρων παλαιρων ἡμῶν ἐδεν ἀξιόλογον καὶ διακεκαθαρμένον εἰς εὐκρίνειαν περὶ τούτου παραδέδωκεν, πλήν γε Μαξίμου τοῦ μεγάλου τῆς εὐσεβείας ὡς ἀληθῶς προμάχου· διὸ τοῦτο τὸ χαλεπὸν εἰπεῖν ὑπεισέρχεται. ἐφ' ἑνὶ γὰρ ἀνδρὶ τηλικούτου δόγματος ταλεύειν, ἐκ ἂν εἴη τοῖς ἐπηρεάζειν βουλομένοις φοβερὸν καὶ ἀπροσπέλαστον. διότι δὲ πάλιν ἀπ' αὐτῶν τῶν τῆς εὐσεβείας θαλάμων καὶ τῶν λογισμῶν τῶν συμψήφων πολλαὶ προϊοῦσιν ἀποδείξεις τὴν ὀρθὴν δορυφορουσαι δόξαν, ταύτῃ τὸ ῥᾷστον εἰπεῖν ἢ ἐχ ὑψηλότερον καταλήψεως περίεστιν.

Σὺ δέ μοι ἱερέων ἐρασμιώτατε, εἰ μὲν ὁ τοῦ λόγου τόκος ἄξιός σοι τῆς αἰτήσεως καὶ τῆς ἐλπίδος φανῇ, εἶα δὴ κοινὸν ὄντα τοῦ τε μανθανοντος καὶ τοῦ τεκόντος, περίεπε. εἰ δ' ἀτελῶς καὶ ἐνδεῶς πρὸς τὰ ἤδη σοι τελεσφορηθέντα τοῖς θεωρίαις ἔχει· εὐξαίμην δ' ἂν τοῦτο, εἴπερ ὁ τοῦ νικᾶν πόθος εἶχεν, πολλῷ γὰρ ἥδιον ἐν φίλῳ ἢ ἐν ἄλλῳ νικᾶν, ἐ γὰρ ἐν τῷ Καρὶ τὸν κίνδυνον, ὡς ἡ παροιμία, σοφιζόμεθα, ἀλλ' ἐν τῷ οἰκείῳ αἵματι τὸ τοῦ κρατεῖν γνήσιον ἐπιζητοῦντες ἡγούμεθα συνετόν· πλὴν ἀλλ' ὡς ἔκθετον ἀναλαβὼν τὸ γέννημα, καὶ πόνοις οἰκείοις συναυξήσας καὶ τελεσφορήσας, κοινὴν ἐπ' αὐτῷ ποιεῖσθαι μὴ φθονήσῃς τὴν εὐφροσύνην καὶ τὴν ἀπόλαυσιν.

Διττῶν τοιγαροῦν τῶν ψυχικῶν δυνάμεων ὑπάρχειν πάλαι διευκρινομένων, (μικρὸν γὰρ ἀναδραμεῖν δεῖ,) τῶν μὲν γνωστικῶν, τῶν δὲ ζωτικῶν· μᾶλλον πρὸς τὴν παροῦσαν ὑπόθεσιν ἡ τῶν ζωϊκῶν ἐστι χρεία, ἤτοι τῶν ὀρεκτικῶν. ἐνέσπαρται τοίνυν τῇ ψυχῇ δύναμις ὀρεκτικὴ τοῦ κατὰ φύσιν ὄντος, καὶ πάντων τῶν ὡσκωδῶς προσιόντων συνεκτικὴ, ἥτις λέγεται θέλησις. διὸ καὶ ὁρίζονται φυσικὸν εἶναι θέλημα, ὄρεξιν φυσικήν τε καὶ λογικὴν μόνων ἠρτημένην τῶν φυσικῶν. ὥστε ἡ μὲν θέλησίς ἐστιν αὐτὴ ἡ ζωτική τε καὶ λογικὴ ὄρεξις πασῶν τῶν τῆς φύσεως συστατικῶν ἁπλὴ δύναμις. ἡ γὰρ τῶν ἀλόγων ὄρεξις, μὴ ἔσα λογικὴ, ἀ λέγεται θέλησις. θέλησις ἔν τί ποτέ ἐστιν εἴρηται.

Βέλησις δέ ἐστι ποιὰ φυσικὴ θέλησις, ἤγουν φυσικὴ καὶ λογικὴ ὄρεξις τινὸς πράγματος· ἔγκειται μὲν γὰρ ἡ δύναμις ἐν τῇ τοῦ ἀνθρώπου ψυχῇ τοῦ λογικῶς

ὀρέγεσθαι. ὅτε δὲ Φυσικῶς κινηθείη αὕτη ἡ λογικὴ ὄρεξις πρός τι πρᾶγμα, λέγεται βέλησις. βέλησις γάρ ἐστιν ὄρεξις καὶ ἔφεσις τινὸς πράγματος λογική. λέγεται δὲ βέλησις καὶ ἐπὶ τῶν ἐφ' ἡμῖν, καὶ ἐπὶ τῶν ὐκ ἐφ' ἡμῖν, τυτέστι, καὶ ἐπὶ τῶν δυνατῶν, καὶ ἐπὶ τῶν ἀδυνάτων. βουλόμεθα γὰρ καὶ μὴ ἀποθανεῖν. ἔστι δὲ ἡ βέλησις τῦ τέλους, ὐ τῶν πρὸς το τέλος. τέλος γὰρ τὸ βουλητὸν, ὡς τὸ ὑγιᾶναι. πρὸς τὸ τέλος δὲ ὁ τρόπος, δι' ὃ ὀφείλομεν ὑγιᾶναι.

Μετὰ δὲ τὴν βέλησιν ζήτησις καὶ σκέψις, μεθ' ἃ ἡ βουλή. βουλὴ γάρ ἐστιν ὄρεξις ζητητικὴ περὶ τῶν ἐφ' ἡμῖν πραγμάτων γινομένη. βουλεύεται γὰρ, εἰ ὀφείλει τις μετελθεῖν τὸ πρᾶγμα, ἢ ὔ. εἶτα κρίνει, καὶ λέγεται κρίσις. ἐφ' οἷς διατίθεται καὶ ἀγαπᾷ, καὶ λέγεται γνώμη. ἂν κριθῇ μὲν γὰρ, μὴ διατεθῇ δὲ πρὸς τὸ κριθὲν, ἤγουν ἂν μὴ ἀγαπήσῃ, ὐ λέγεται γνώμη. ἐπὶ μέντοι τῇ γνώμῃ ἡ προαίρεσις ἕπεται, οἱονεὶ ἐκλογή. μετὰ δὲ τὴν προαίρεσιν ἡ πρὸς τὴν πρᾶξιν ἀκολυθεῖ ὁρμή. εἶτα χρῆσις, μεθ' ἣν τὰ τῆς ὀρέξεως παύεται. ἐπὶ μὲν ἓν τῶν ἀλόγων μετὰ τὴν ὄρεξιν εὐθὺς ἡ ὁρμὴ ἕπεται. ἐπὶ δὲ τῶν λογικῶν ὐ πάντως. τὰ μὲν γὰρ ἄλογα ὑπὸ τῆς Φυσικῆς ὀρέξεως ἄγεται, διὸ ὐδὲ θέλησις ἡ τῶν ἀλόγων ὄρεξις λέγεται, ὐδὲ βέλησις. ἐπὶ δὲ τῶν ἀνθρώπων μᾶλλον ἡ Φυσικὴ ὄρεξις ἄγεται, ἥπερ ἄγει. αὐτεξυσίως γὰρ καὶ μετὰ λόγυ κινεῖται, ἐπειδὴ καὶ συνεζευγμέναι εἰσὶν αἱ γνωσικαὶ καὶ ζωϊκαὶ δυνάμεις ἐν τῷ ἀνθρώπῳ. αὐτεξυσίως τοιγαρῦν ὀρέγεται, καὶ αὐτεξυσίως ὁρμᾷ, καὶ τὰ ἄλλα αὐτεξυσίως ποιεῖ.

Ἐπὶ δέ γε τῆς θείας καὶ μακαρίας καὶ ὑπερσίυ Φύσεως βέλησιν μὲν λέγομεν, προαίρεσιν δὲ κυρίως ὐ λέγομεν, ὥσπερ ὐδὲ σκέψιν, ὐδὲ βέλευσιν. ἀλλ' ὐδὲ ἐπὶ τῆς τῦ Κυρίυ ψυχῆς βελὴν λέγομεν ἢ προαίρεσιν. ὐ γὰρ εἶχεν ἄγνοιαν, εἰ καὶ τῆς τὰ μέλλοντα ἀγνούσης ἐχρημάτιζε Φύσεως. ἑνωθεῖσα γὰρ τῷ Θεῷ λόγῳ καθ' ὑπόστασιν, πάντων εἶχε τὴν γνῶσιν, ὐ χάριτι, ἀλλὰ Φύσει, διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν, ὁ αὐτὸς γὰρ ἦν Θεὸς καὶ ἄνθρωπος. διὸ ὐδὲ γνωμικὸν εἶχε θέλημα. θέλησιν μὲν γὰρ εἶχε τὴν Φυσικὴν τὴν ἁπλῆν, τὴν ἐν πάσαις τῶν ἀνθρώπων Φύσεσιν ὁμοίως θεωρυμένην· τὴν δὲ γνωμικὴν θέλησιν ὐκ εἶχεν αὐτῦ ἡ ἁγία ψυχὴ ἐναντίαν τῦ θείυ θελήματος αὐτῦ, ὐδὲ ἄλλο παρὰ τὸ θεῖον αὐτῦ θέλημα. ἡ γὰρ γνώμη συνδιαιρεῖται ταῖς ὑποστάσεσιν, πλὴν ἐπὶ μόνης τῆς ἁγίας καὶ ἁπλῆς καὶ ἀσυνθέτυ καὶ ἀδιαιρέτυ θεότητος. ἐκεῖ γὰρ τῶν ὑποστάσεων μὴ εἰς ἅπαν διαιρυμένων μηδὲ διϊσταμένων, ὐδὲ τὸ θελητὸν διαιρεῖται. ἀλλ' ἔστι τῷ Φυσικῷ τὸ γνωσικὸν ὥσπερ ἡνωμένον καὶ νόμῳ περιγραφῆς ἰδίας ὑπομεριζόμενον. κἀκεῖ μὲν ἐπειδὴ μία Φύσις, μία καὶ ἡ Φυσικὴ θέλησις. ἐπειδὴ δὲ καὶ αἱ ὑποστάσεις ἀδιαίρετοι εἰσὶν, ἓν καὶ τὸ θελητὸν, καὶ μία ἡ κίνησις τῶν τριῶν ὑποστάσεων, ὐκ ἀνεχομένης τῆς ἀχράντυ καὶ ὑπερφυῦς ἑνώσεως μερισμῷ ὑλικῆς τινος Φαντασίας καθυβρίζεσθαι.

Ἐπὶ δὲ τῶν ἀνθρώπων ἐπειδὴ μία ἡ Φύσις, μία μὲν καὶ ἡ Φυσικὴ θέλησις. κεχωρισμέναι δὲ εἰσιν ἀπ' ἀλλήλων αἱ ὑποστάσεις καὶ διεσήκασιν χρόνῳ τε καὶ

τόπῳ

τόπῳ, καὶ τῇ πρὸς τὰ πράγματα διαθέσει, καὶ κατὰ πολλὰ ἄλλα. τότε ἕνεκα διάφορα τά τε θελήματα καθοράται καὶ αἱ γνῶμαι. ἐπὶ δὲ τῦ Κυρίυ ἡμῶν Ἰησῦ Χριστῦ, ἐπεὶ διάφοροι αἱ Φύσεις, διάφοροι μὲν καὶ αἱ Φυσικαὶ Θελήσεις τῆς θεότητος αὐτῦ καὶ τῆς ἀνθρωπότητος, ἦγουν αἱ Θελητικαὶ δυνάμεις. ἐπεὶ δὲ πάλιν ἡ ὑπόστασις μία καὶ εἷς ὁ Θέλων, ἓν καὶ τὸ Θελητὸν, ἦγουν τὸ γνωμικὸν αὐτῦ θέλημα, δηλονότι τῆς ἀνθρωπίνης αὐτῦ Θελήσεως ἑπομένης τῇ Θείᾳ αὐτῦ Θελήσει, καὶ τὰ αὐτὰ Θελούσης ἃ ἡ Θεία αὐτῦ Θέλησις ἠθέλησε θέλειν αὐτήν. γνωμικαὶ τοίνυν θελήματα καὶ ὑποστατικὰ καὶ προσωπικὰ καὶ προαιρετικὰ, τὸ αὐτὸ ἂν εἴησαν ὑποκείμενον πρᾶγμα σημαίνοντα.

Εἰδέναι δεῖ πείρας φιλολόγυ καὶ σαφεστέρας ἀναπλώσεως ῥημάτων χάριν, ὡς τὸ θέλημα ποτὲ μὲν τὴν Θέλησιν δηλοῖ, ἤτοι τὴν Θελητικὴν δύναμιν, καὶ λέγεται θέλημα Φυσικὸν, ποτὲ δὲ τὸ Θελητὸν, καὶ λέγεται θέλημα γνωμικόν. καὶ κατὰ τὸν ἱερὸν δὲ Μάξιμον, διαφέρει θέλημα γνωμικὸν θελήματος Φυσικῦ, ὅτι τὸ μὲν ὑποστατικόν τε καὶ προσωπικόν καὶ ἔστι καὶ ὀνομάζεται, τὸ δὲ Φυσικὸν θέλημα οὐκ ἔστι. καὶ ἔτι διαφέρει ὅτι ἡ μὲν ἁπλῶς καὶ ὡς ἔτυχεν ἔχουσα τῶν κατὰ Φύσιν συστατικῶν ὁρμή τε καὶ ἔφεσις, θέλημά ἐστι Φυσικόν. ἡ δὲ τῶν καθ' ἡδονὴν συνεργητικῶν ποιὰ καὶ διάφορος κίνησίς τε καὶ ὄρεξις, θέλημα γνωμικὸν, ἥτις καὶ ἐν ἐπιτάσει καλῦ τε καὶ τῦ μὴ τοιύτυ γινώσκεται, καὶ ἐκ ἔστι τὸ πρότερον σημαινόμενον τῦ δευτέρυ παντελῶς ἀλλότριον, ἀλλ' ἔστιν αὐτοῖς ἡ κοινωνία ἐν ποσότητος καὶ ποιότητος ἰδιότητι, καθ' ὃν τρόπον καὶ τὸ σημαινόμενον τῆς ἐπ' ἀνθρώπυ λαμβανομένης Φύσεως.

Καὶ γὰρ διττὸν ἐνταῦθα τὸ τῆς Φύσεως, τὸ μὲν ἁπλῶς καὶ καθόλυ σημαῖνον ἕκαστον τῶν ὑπὸ τὸν ἄνθρωπον τελείων ἀτόμων, τὸ δὲ ἐχ ἁπλῶς ἐδὲ τὸν ὅλον τῆς ἐμΦύτυ δυνάμεως πρὸς τὰς πράξεις ἐνισχύσης, καθ' ὃν καὶ τὸ σύσημα τῶνδε τῶν ἀνθρώπων, τὸ μὲν γεωμετρεῖν πέΦυκε μᾶλλον, τὸ δὲ μυσικῇ τελῆθαι ἐπιτηδειότερον, ἢ οἱ μὲν πραότητος, οἱ δὲ σωΦροσύνης μᾶλλον ἐργάται γνωρίζονται.

Διαφέρει μὲν ἓν τῦ Φυσικῦ θελήματος λογισμοῖς γενναίοις ἡ προαίρεσις, καθὸ ἡ μὲν ὄρεξίς ἐστι βυλευτικὴ τῶν ἐΦ' ἡμῖν, καὶ ἔτι καθὸ τὸ μὲν Φυσικὸν θέλημα μόνον ἧρτηται τῶν Φυσικῶν, ἡ δὲ μόνον τῶν ἐΦ' ἡμῶν. ἓν δὲ θέλημα, Φησὶ, τῦ Χριστῦ Φυσικὸν ἢ προαιρετικὸν Φρονεῖν ἢ λέγειν ἐδεὶς εἰπεῖν τῶν πατέρων ἐτόλμησεν. ἀληθῶς εἰδότες, ὅτι τῶν ἐπ' ἄμΦω κινυμένων ἐστὶν ἡ προαίρεσις, λέγω δὲ ἐπί τε τὰ καλὰ καὶ ἐπὶ τὰ Φαῦλα, ὅπερ ἐστὶν ἐπὶ Χριστῦ καὶ νοεῖν καὶ λέγειν τῆς ὀρθῆς ἐνδεέστερον κρίσεως.

Ἔτι δὲ εἴ ἐστιν ὑποστατικὸν θέλημα ἐπὶ Χριστῦ, διοίσει πάντως τῶν ἐΦ' ἑκάστυ τῶν ἀνθρώπων θεωρυμένων γνωμικῶν θελημάτων. διοίσει δὲ ὡσαύτως καὶ τῦ ἐν Πατρὶ καὶ Πνεύματι θεωρυμένυ θελήματος. τί ἓν ἐστιν ὃ μήτε ἀνθρώπινόν ἐστι γνωμικὸν, μήτε ὅλως θεϊκὸν θέλημα; ὁ γὰρ δή τις σύνθετόν τι ἐρεῖ, ὅτι μηδ' ἔστιν ἐπινοῆσαι θελήματος σύνθεσιν,

θεσιν, ὥσπερ ὑπόσασιν ὁρᾷν ἐστι σύνθετον.

Οὐδέ τις λέγοι, ὡς ὁ λόγος ἔτος ἀδ' ἄλλων τινὰ τῶν ἀνθρώπων ἐᾷ γνωμικὸν ἔχειν θέλημα. ἅπαν γὰρ γνωμικόν τινος θέλημα ἑδενὶ τῶν ἐν τοῖς καθ' ἕκαστα γνωμικῷ θελήματι θεωρεμένων ταυτόν ἐστι, ἀλλὰ πάντως ἕτερον. ὥς' ἐκ ἂν εἴη ἀνθρώπινον, μηδενὶ τῶν ὑπὸ τὸν ἄνθρωπον ἀτόμων ὡς ἀνθρώπῳ ἁρμοζόμενον. εἰ γὰρ ἦν κυρίως τινὶ τῶν καθ' ἕκαστα τὸ γνωμικὸν θέλημα, ἀνθρώπινον ἂν ὑπῆρχεν. ἐκ ἔστι δὲ ἀνθρώπινον, διότι ἔτε ὁ Σωκράτης, ἔτε ὁ Πέτρος, ἔτε τις ἄλλος, καθὸ πέφυκεν ἄνθρωπος, γνωμικὸν θέλημα ἔχει. ἡ σοφισματώδης ὁ λόγος ὁ τὸ ὁμοφυὲς ἄτομον τῶν ἄλλων καθ' ἕκαστα διαξέλλων, καὶ ἐκ τῷ συνομολογεῖν μηδενὶ τῶν ἄλλων ἀτόμων ταυτὸν εἶναι τῇ ὑποστάσει μηδὲ τοῖς ἄλλοις ἰδιώμασι τὸν προκείμενον, ἐκ τότε καὶ τῆς κοινῆς αὐτὸν ἀποξερῶν Φύσεως, καὶ τὸ γνωμικὸν αὐτῷ θέλημα μὴ λέγων ἀνθρώπινον εἶναι. ἐκ πολλῶν γὰρ ἀφορμῶν ὁ παραλογισμὸς ἔτος τὴν κοινὴν Φύσιν ἀποσήσει καὶ διαχωρίσει τῶν ὑπ' αὐτῇ τελέντων καὶ ἐμπεριεχομένων ἀτόμων αὐτῆς τῷ προσρήματι. δι' ὅπερ ἐχ ὁμοίως ὁ λόγος ἔτος ἔχει καὶ ὁ τὸ γνωμικὸν ἐπὶ Χριστῷ μὴ παραδεχόμενος θέλημα. ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων ἕνα λαβὼν ὁμολογεμένως τῶν καθ' ἕκαστον γνωμικὸν ἔχειν θέλημα ἐκ τῆς πρὸς τὰ λοιπὰ τῶν ὁμοειδῶν ἑτερότητος, τὴν κοινὴν Φύσιν παραγράφεται. ὅπερ ἐστὶ σεσοφισμένον καὶ ἀνακόλεθον συλλογίσασθαι. ἐπὶ δὲ τῷ Κυρίῳ ἡμῶν Ἰησῷ Χριστῷ πρῶτον μὲν ζητέμεν τέως, εἰ ὅλως δεῖ λέγειν γνωμικὸν αὐτῷ προσεῖναι θέλημα, καὶ ἐκ ἔστι λαβεῖν ὑποστάσεις τῷ τῷ Χριστῷ περιεχομένας ὀνόματι.

Ἔτι δὲ ἐπὶ μὲν τῶν ἀνθρώπων ἐστὶν εἰπεῖν, ὅτι τὸ ἐνυπάρχον αὐτοῖς γνωμικὸν θέλημα, καθὸ μὲν ταῖς ὑποστάσεσι διακέκριται, ἐκ ἔστιν ἕτερον ἑτέρῳ ταυτὸν, καθὸ δὲ εἰς μίαν Φύσιν συνεισάγεται, ἑδὲν λέγεσθαι καὶ ἀνθρώπινον καὶ ταυτόν. ἐπὶ δὲ τῷ Χριστῷ ἐχ ἕξει τις τὸ ὅμοιον εἰπεῖν, ἐ γάρ ἐστιν ἕν τι κοινὸν λαβεῖν ἐπὶ Χριστῷ, δύο γὰρ συνισῶσι τὴν ὑπόσασιν Φύσεις, ἀλλ' ἐ μία. καὶ ἐκ ἔστιν εἰπεῖν, τὸ γνωμικὸν θέλημα, καθὸ μὲν τόδε, ἐκ ἔστι ταυτὸν, καθὸ δὲ τόδε, ταυτόν ἐστιν. εἷς γὰρ ὁ Χριστὸς, καὶ ἓν αὐτῷ τὸ πρόσωπον, καὶ μία ἡ ὑπόσασις, μήτε ὁμοταγεῖς καὶ συνωνύμως ἔχων ὡς Χριστῷ συντεταγμένας ὑποστάσεις. μήτε τι κοινῶς ἐπ' αὐτῷ λεγόμενον, ὃ δύναιτ' ἂν καὶ ἑτέροις ἐναρμόζεσθαι. ὥστε διαμένει τὸ ἑπόμενον ἄπορον ἄλυτον, ὅπερ τί ποτ' ἂν εἴη διπόρει τὸ γνωμικὸν θέλημα, μήτε ἀνθρώπινον, μήτε θεῖον δυνάμενον εἶναι, μήτε ὀνομάζεσθαι.

Δεύτερον μὲν ἓν ἐστι τὸ εἰρημένον ἐπιχείρημα, μὴ δεῖν ἐπὶ Χριστῷ λέγειν γνωμικὸν ὑπάρχειν, ἢ ἀνθρώπινον ὑποστατικὸν θέλημα.

Τρίτον δὲ, εἰ λέγεται ἐπὶ Χριστῷ θέλημα ἀνθρώπινον ὑποστατικὸν, τὸ δὲ θέλημα τὸ ὑποστατικὸν θελήματος ἤρθηται τῇ Φυσικῇ· τὸ δὲ θέλημα γάρ τὸ γνωμικὸν ποιόν ἐστι θέλημα Φυσικόν· Φυσικῇ ἄρα θελήματος καὶ τὸ ἐπὶ Χριστῷ γνωμικὸν ἠρτημένον ἂν καὶ προβεβλημέ-

νον

νον εἴη· Φυσικῦ δὲ ἐχ ἁπλῦ, ἀλλὰ συνθέτυ καὶ συγκεκραμένυ θελήματος. τῆς γὰρ συνθέτυ ὑποστάσεως καὶ τὸ ὑποστατικὸν (ἂν ἄρα τις ὅλως ὑποθοῖτο προσεῖναι) θέλημα γνωμικὸν συνθέτυ ἂν εἴη Φυσικῦ προενηνεγμένυ θελήματος. ὥστε ἔστι σύνθετος Φύσις ἐπὶ Χριστῦ, ὅπερ ἁπάσαις ψήφοις διακατέγνωσται, τῶν δύο Φύσεων τὸ κῦρος ἄμαχον ἀναδεξαμένων.

Ἔτι εἰ τὸ γνωμικὸν θέλημα προηγεμένην ἔχει τὴν σκέψιν, καὶ τὴν πρὸς τὸ κρινόμενον διάθεσίν τε καὶ συγκατάθεσιν· τούτων δέ ἐστι τὸ μὲν ἐξ ἀγνοίας εἰς γνῶσιν καὶ διάκρισιν μετάβασις, τὸ δὲ τροπή τις καὶ μεταβολὴ διαθέσεως· ἐτράπη γὰρ εἰς ὀργὴν ἐκ τῦ μὴ σέργοντος ἡ διάθεσις· ἐδὲν δὲ τούτων ἐπὶ Χριστῦ φρονεῖν συγκεχώρηται· ἐκ ἄρα ἐστὶν ἀνεκτὸν ἀνθρώπινον γνωμικὸν ἐν αὐτῷ λέγειν ὑπάρχειν θέλημα.

Χωρὶς δὲ τῶν εἰρημένων εἰ οἱ τῷ γνωμικῷ θελήματι χρώμενοι τῷ ἀνθρωπίνῳ εἰώθασι τῷ θείῳ θελήματι διαμάχεσθαι, πῶς ὅλως οἷόν τέ ἐστι ἐπινοεῖν ἐπὶ Χριστῦ γνωμικὸν θέλημα; κοινότερον δὲ φάναι, εἰ τὸ γνωμικὸν θέλημα πρὸς ἑκάτερον ὁμοίως ῥέπει τῶν πράξεων, τήν τε φαύλην φημὶ καὶ τὴν κρείττονα, πῶς ἐ τολμηρὸν ἐπὶ Χριστῦ γνωμικὸν εἰσάγειν θέλημα, καὶ πρὸς τὰ χείρω καὶ ἀμείνονα τὴν ῥοπὴν ἔχειν ἀναπλάττειν ἐφάμιλλον τὸ μονοειδῶς ἀγαθεργὸν καὶ κυρίως ἀγαθοειδέστατον.

Ἀλλ' ὅτι μὲν τὸ ἀνθρώπινον γνωμικὸν θέλημα μὴ δύναται ἐφαρμόττειν καθαρῶς Χριστῷ, τοσαῦτα πέως εἰρήθω.

Ζητητέον δὲ, πότερον ἐδὲ θεῖον δεῖ λέγειν ἐπὶ Χριστῦ γνωμικὸν θέλημα, ὥσπερ ἐδὲ ἀνθρώπινον γνωμικόν· ἢ ἐκεῖνο μὲν ἐ συγκεχώρηται, τοῦτο δὲ ἐ κεκώλυται. ἀλλὰ πῶς ἐ κεκώλυται; τῶν γὰρ ἐν ἐκείνοις ῥηθέντων ἐπιχειρημάτων τὸ τρίτον μάλιστα καὶ τὸ τέταρτον κατὰ τὸν ὅμοιον τρόπον ἐπὶ τῶν αὐτῶν τὴν ἰσχὺν ἔχει. διὰ τῆς αὐτῆς γὰρ ἐφόδυ τό τε θεῖον καὶ τὸ ἀνθρώπινον γνωμικὸν θέλημα ὁ τῆς ἀληθείας διαξέλει τε καὶ συμβιβάζει λόγος. καὶ χωρὶς δὲ τῶν εἰρημένων, εἴ τις ὑπόθοιτο τὸ θεῖον ἐπὶ Χριστῦ γνωμικὸν λέγεσθαι θέλημα, λεγέτω, πότερον ταυτὸν νομίζει τοῦτο τῷ θείῳ Φυσικῷ θελήματι, ἢ ἕτερον. εἰ μὲν γὰρ ταυτὸν, τίς ἡ περίνοια τῦ ὀνόματος, φαντασίαν νοημάτων εἰς ἑτερότητα χιζομένων παρεισάγοντος; εἰ δὲ ἕτερον, πῶς ἐκ ἂν εἴη καὶ τῦ ἐν Πατρὶ καὶ Πνεύματι θεωρυμένυ θελήματος; ὅπερ ἄτοπον ἕτερον· καὶ γὰρ τὸ Φυσικὸν ἐπὶ Θεῦ θέλημα, κοινὸν ὑπάρχον καὶ ἀδιαίρετον τῶν τριῶν θεαρχικῶν ὑποστάσεων, ὁμοτίμως τε καὶ ἀπαραλλάκτως αὐταῖς ὁρᾶται συναρμοζόμενον. ὃ γὰρ ἐπὶ τῆς τῶν ἀνθρώπων Φύσεως ἐκ ἔστι δυνατὸν λαβεῖν, τοῦτο δὴ κατὰ τὴν ὑπέρθεον καὶ ὑπερούσιον ὐσίαν ἐστὶ κατανοεῖν. τὸ γὰρ Φυσικὸν αὐτῆς καὶ ὑπέρθεον θεῖον θέλημα ταυτότητι γνώμης καὶ συμπνοίας ἑνότητι καὶ τῷ ἀπαραλλάκτῳ χαρακτηρίζεται τῆς συννεύσεως. πῶς ἂν ἓν ὅλως τὸ κοινὸν τῆς Φύσεως καὶ ἀπαράλλακτον θέλημα εἰς ὑποστατικὸν γνωμικὸν συναλείη;

Κυρίως μὲν ἐκ ἂν ἐδαμῶς ῥηθείη θεῖον γνωμικὸν ἐπὶ Χριστῷ θέλημα, ὅτι μηδ' ἐπὶ τῷ Πατρὸς, μηδ' ἐπὶ τῷ ἁγίῳ Πνεύματος κυριολογῶν τις εἰπεῖν θαρρήσει. ὅπερ γάρ ἐστι κοινὸν, πῶς ἂν ὑποστατικὸν εἴη; εἰ δέ τις καταχρῶτο τῇ Φωνῇ κατὰ μεταφορὰν αὐτὴν ἀπὸ τῶν ἀνθρωπίνων λαμβάνων ὑποστάσεων, μηδαμῶς τὴν θεοπρεπῆ διαφθείρων διάνοιαν, ἴσως ἂν ἑαυτὸν τῆς ἐν λόγοις ἐκ ἀποσερήσει συγγνώμης, ῥημάτων εὐθύνας οἰόμενος, ἀλλ' ἐ δογμάτων εἰσπράττεσθαι ἀλλοτριότητα.

Οἰκεῖον δ' ἂν εἴη, εἷς τῶν ἱερῶν ῥημάτων ἐπερειδόμενοι τὸ ἐναντίον νομίζεσι κρατύνειν θέλημα, καὶ ταῦτα παραθέσθαι, καὶ ὑποβάλλοντας εὐκρινείας καὶ διανοίας ὀρθότητι καὶ ταύτην αὐτῶν ἀφῃρημένην δεῖξαι τὴν πρόφασιν. Φασὶν ἓν εἰρῆσθαι, ἐκ ἦλθον ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός· καὶ δῆλον ὅτι τὸ γνωμικὸν ἐνταῦθα σημαίνειαι θέλημα. πρὸς ὃ ῥᾴδιόν ἐστιν ἀπαντῆσαι, ὡς εἰ τὸ θέλημα τοῦ Πατρὸς ἐ τὸ γνωμικὸν ἐδήλωσεν εἰπών, (ἐ γάρ ἐστιν ἐπὶ τῶν θεαρχικῶν τριῶν ὑποστάσεων θέλημα γνωμικὸν εὐσεβῶς ἀποφήνασθαι,) δῆλον ὅτι καὶ τὸ θέλημα τὸ ἐμὸν προσειπὼν, ἐ τὸ γνωμικὸν, ἀλλὰ τὸ φυσικὸν συνεδήλωσεν, ὥστε ἐ μόνον τὸ ῥηθὲν μὴ τὸ γνωμικὸν ποθὲν συνίσησι θέλημα, ἀλλ' ἀναιρετικόν ἐστι μᾶλλον τῆς τοιαύτης ὑπολήψεως. τὸ γὰρ φυσικὸν ὁμοταγές ἐστι καὶ ἀνταποδιδόμενον τῷ φυσικῷ, ὥσπερ τὸ γνωμικὸν ὁμόσοιχον καὶ συνδιακείμενον τῷ γνωμικῷ.

Καὶ ἄλλως δὲ οἰκειότερον ἂν, ἢ ἐκεῖνοι φαῖεν, εἰ ἀρνητικῶς ἐκληφθείη τῶν ὀνομάτων ἡ δύναμις· οἷον, ἐκ ἦλθον ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἐ γάρ ἐστιν ὅλως ἕτερον θέλημα παρὰ τὸ ἓν Πατρὶ καὶ Πνεύματι θεωρέμενον τὸ ἐμόν. εἰ δὲ μηδ' ἀρνητικῶς τις ἀλλὰ συγκριτικῶς τὴν Φωνὴν εἶναι νομίσῃ, ὅπερ καὶ μᾶλλον τὸ τῆς λέξεως ὑποβάλλει πρόχειρον· νοηθείη ἂν εἰκότως, ὡς ἐκ ἦλθον ποιῆσαι τὸ φυσικὸν θέλημα τῆς ἀνθρωπίνης φύσεως, ἀλλὰ τὸ θεῖκόν. ὅπερ ἐστὶ καὶ ἐ γνωμικὸν, ἀλλ' ἐνιαῖόν τε καὶ ἀπαραλλάκτως ἐν ταῖς τρισὶ θεαρχικαῖς ὑποστάσεσι θεωρέμενον, εἰ καὶ ἐπὶ τῆς ἀνθρωπίνης φύσεως καὶ τῶν ἄλλων ἁπάντων, ὅσα δημιεργικῇ σοφίᾳ ὑπέστησεν, ἐκ ἂν ἐδαμῶς θεωρηθείη, ἐδ' ἐγγὺς γενόμενον τῆς θείας καὶ ὑπερθέου ἰδιότητος.

Εἰ δέ τις προστεληκὼς εἴη τῷ τῆς γνωμικῆς θελήματος ῥήματι, καὶ πρὸς ἐδεμίαν ἄλλην ἀφορᾶν ἐθέλοι τῶν εἰρημένων ἐπιλύσεων, ἐχέτω παραμύθιον τὴν παρεῖσαν ἀνάπλυξιν. δύναιτο γὰρ ἂν νοηθεῖναι τὸ δηλέμενον νῦν ὑπὸ τῆς δεσποτικῆς Φωνῆς τὸ γνωμικὸν Χριστῷ θέλημα, ἐ τῷ κατὰ τὸν ἄνθρωπον δὲ νοουμένῳ, ἀλλὰ τῷ κατὰ Χριστὸν θεωρουμένῳ. ὃ δὴ καὶ τῆς θεότητος ὅλον γεγονὸς εἰς τὸ θεῖον καὶ ὑπερφυὲς τῆς ἀπειρίας τὴν οἰκείαν ἀναφέρει περιγραφὴν τελειέμενον· καὶ ἐδήπω πάλιν ἡμῖν δύο γνωμικὰ προσανακύψει θελήματα. ἄλλο γὰρ καὶ ἄλλο εἰπεῖν διπλῆν εἰσάγει τὸ προκείμενον. ἄλλως τε δὲ καὶ ἄλλως τὸ αὐτὸ φάναι, χέσεων μὲν εἰσάγει παραλλαγὴν καὶ ἀλλοίωσιν· τομὴν δὲ καὶ μερισμὸν τῷ ἀπαρχῆς ἑνὸς ἐδαμῶς.

μῶς. καὶ τὸ μὲν ἐδὲ τῶν πολλῶν ἔασε τὴν θήραν διαφυγεῖν· τῷ δὲ σχολῆς χωρὶς καὶ συγγυμνασίας τῆς ἐν τοῖς λόγοις, ἐδὲ τοῖς τῶν θηραμάτων ἴχνεσιν ὀρθῶς ἐσιν ἐπιξῆσαι.

Τῆς αὐτῆς δ' ἂν εἴη διανοίας καὶ τὸ· Πάτερ, εἰ δυνατόν, παρελθέτω τὸ πόλήριον τῦτο ἀπ' ἐμοῦ, πλὴν ὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. τῆς μὲν γὰρ ἀνθρωπίνης ἦν φύσεως τὸ δειλιᾶν τὸν θάνατον· τῆς θείας δὲ τὸ μὴ μόνον μηδὲν παρόντος ἐπιταράτλεσθαι, ἀλλὰ καὶ εὐδοκίαν τέτε ποιεῖσθαι εἰς σωτηρίαν τῦ ἀνθρωπίνε Φυράματος. καὶ μὴν καὶ τὸ, Θέλω, καθαρίθητι, ἐ γνωμικῦ θελήματός ἐσιν ἔνδειξις, τῦ δὲ, Θείε καὶ ἐμφύτε καὶ ἀδιαιρέτε θελήματος δήλωσις, ὅπερ ὁμοτίμως τῇ ὑπερσίῳ καὶ ὁμοφυεῖ Τριάδι ἐναρμόζεται. ὡς γὰρ ἡ παντοκρατορικὴ Θεότης αὐτῶν καὶ ἔξσια καὶ πρόνοια κοινή, ἔτω καὶ τὸ θέλημα τῆς σωτηρίας ἡμῶν, τῆς τε κατὰ σῶμα καὶ τῆς κατὰ ψυχήν, κοινόν ἐσι καὶ τομὴν ἀδεμίαν ἔχον, ἐδέ τινι διαφορᾷ διαιρέμενον. διὸ καὶ τὸ Θέλω, καθαρίθητι, τῆς ὑπερφυῦς ἐσι Θεότητος θέλημα. ταύτης γὰρ ἡ πρόνοια τῶν ἀνθρώπων ἐξηρτημένη τήν τε τῶν σωμάτων καὶ τὴν τῶν ψυχῶν ἐπιμέλειαν διακονομεῖ τε καὶ πρὸς τὸ συμφέρον ἐπιγινώσκεται διατάτλεσα.

Οὐδὲ τὸ, πῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα, γνωμικὸν αἰνίττεται θέλημα. ἀλλ' ἄγνοιαν μέν ἐσι τῶν ἀποστόλων διὰ τῆς ἐρωτήσεως ἀποσκευάζεσθαι, προνοεμένων, τί ποτε δ' ἂν πράξαιεν τῶν περὶ τὸ πάσχα, ὃ μὴ γένοιτο τῷ διδασκάλῳ ἀπόβλητον· οἷον, πῦ σοί ἐσιν ἀρεσὸν φαγεῖν τὸ πάσχα; τίς δὲ οἰκεία τὸ δεῖπνον ὀφθείη ἐπιτηδεία ὑποδέξασθαι.

Ἄλλως τε δὲ καὶ αὐτὸ τῦτο ἡ παρῦσα φωνὴ τῆς τῶν μαθητῶν ἐσιν ἀγνοίας καὶ ὑπολήψεως, ἐ κρίσις τῦ σωτῆρος, ἐκ εἰσήγησίς τινος δόγματος. ὥτπερ καὶ τὸ, Κύριε, εἰ θέλεις, δύνασαί με καθαρίσαι. τῦ γὰρ τὴν ἴασιν χρήζοντός ἐσιν ἡ φωνὴ, ἀλλ' ἐχὶ τῦ ταύτην παρέχοντος· καὶ ἐδὲν κωλύει λέγειν καὶ ταῦθα ὡς τῆς ὑπερφυῦς Θεότητος τὸ θέλημα συνεισάγεται.

Τὸ δὲ, τί θέλεις, ποιήσω σοι· καὶ, εἰ θέλεις τέλειος εἶναι· δῆλον ὅτι ἐ πρὸς τὴν ὑπόστασιν ἀφορᾷ τῦ σωτῆρος ἡμῶν Ἰησῦ Χριστῦ, ἐδὲ πρὸς ἐκείνην ἔχει τὴν ἀναφοράν, ἀλλ' εἰς τὸ πρόσωπον τὸ ταῖς παραινέσεσιν ὑποβαλλόμενον καὶ τῆς ἰάσεως ἐφιέμενον. ἑκατέρε δὲ τέτων τὸ γνωμικὸν ἐνσημαίνεται θέλημα. καὶ ἀλλαχῦ δὲ, ἔνθα ἂν γένοιτο λόγος θελήματος, μὴ συντάτλων κατὰ λέξιν τὸ φυσικὸν ἢ τὸ γνωμικὸν, ῥαδίως ἔξει τὴν διάκρισιν, πρὸς μίαν τινὰ θεωρίαν τῶν προειρημένων ἀναφερόμενον.

Συντάτλοιτο ἂν τοῖς εἰρημένοις καὶ ἕτερά τινα, δι' ὧν ἐδὲν ἔλατλον ὁ τὸ γνωμικὸν λόγος θελήματος ἐπὶ Χριστῦ καταρτίζων καὶ διακονομένου ὁρᾶται θέλημα. Εἰ γὰρ ὁ τῦ Θεῦ ἐνυπόστατος Λόγος ἄνθρωπος δι' ἡμᾶς γεγονὼς, καὶ καθὸ μὲν ἄνθρωπος τὸ φυσικὸν ἔχει ἀνθρώπινον θέλημα, καθὸ δὲ Θεὸς τὸ φυσικὸν καὶ θεῖον θέλημα· λέγει δὲ ὁ διαφιλονεικῶν λόγος, ὅτι καὶ γνωμικὸν ἔχει, ἤγεν ὑποστατικὸν θέλημα· ἐρεῖ πάντως καὶ ἄκων, ὡς τὸ μὲν γνω-

μικὸν καὶ ὑποστατικὸν αὐτῷ ἀνθρώπινον θέλημα, καθὸ ἀνθρωπίνη ἐχρημάτιζεν ὑπόστασις, ἔχει, τὸ δὲ θεϊκὸν γνωμικὸν θέλημα καθὸ ὑπόστασις θεϊκή. τῇ φαντασίᾳ γὰρ καὶ διατυπώσει τῷ γνωμικῷ θελήματος καὶ ὁ προσωπικὸς χαρακτὴρ τῆς συγγενοῦς θεωρίας τῇ ἀλληλοχίᾳ συνεισάγεται. ὥσπερ γὰρ ἐκ ὄντος προσώπου, οὐδὲ γνωμικῷ θελήματος ὁμολογῶς ἐστι πάροδος, οὕτω γνωμικῷ θελήματος ἐνυπάρχειν δοθέντος, τὸ τῆς ὑποστάσεως ἀδύνατον μὴ οὐχὶ παρεῖναι γέγονεν. ἀλλὰ τὸ μὲν πρότερον τῆς Νεστορίου λύσσης ἐστὶν, ὑπόστασιν ἀνθρωπίνην ἐπὶ Χριστῷ δογματίζειν καὶ φαντάζεσθαι· τὸ δὲ δεύτερον τῆς Ἀρειανῆς μανίας, ἥτις τὰς τρεῖς θεαρχικὰς ὑποστάσεις τρισὶν ἀλλαις οὐσιώδεσιν διαφοραῖς καὶ τοῖς γνωμικοῖς θελήμασιν ὁμοίως ἀπ' ἀλλήλων διετείχιζεν. τὸ δὲ τῆς ἐκκλησίας φρόνημα, ὥσπερ τοὺς ὑπόστασιν ἀνθρωπίνην ἐπὶ Χριστῷ λέγοντας γυμνὴν τῆς θεότητος ὡς ἀσεβεῖς ἀποπέμπεται, οὕτω καὶ τοὺς τὸ κοινὸν θέλημα τῆς τριαδικῆς θεότητος καὶ μεριζοντας ἀθεότητος εἰσπράττεται ἔγκλημα.

Ἀλλὰ γάρ φασιν, γνώμῃ πέπτωκεν τῆς ἐντολῆς ὁ Ἀδάμ· γνώμῃ δὲ πεσὼν, τὸ γνωμικὸν ἐτραυματίσθη θέλημα. ὃ δὲ τὸ πάθος ὑπέσχε, τούτῳ δὲ καὶ τὸ φάρμακον καὶ τὴν θεραπείαν τὸν ἄριστον τῶν ἰατρῶν προσενέγκασθαι. εἰ δὲ τοῦτο, ἀνάγκη τὸ γνωμικὸν τῷ ἀνθρώπῳ ὑπὸ τοῦ σωτῆρος καὶ ἰατροῦ τῶν ψυχῶν ἡμῶν τῷ ἀνθρωπίνῳ συναναλαμβάνεσθαι φυράματι.

Ἀλλ' ἔστιν εἰπεῖν πρὸς αὐτοὺς, ὡς εἰ τὸ διαμαρτεῖν τῆς γνώμης καὶ διαπεσεῖν τῆς ἐντολῆς αἴτιον τῆς προσλήψεως, οἷς μὴ προσείληπται τὸ ἀναμάρτητον, οὐδὲ τὸ γνωμικὸν ὁλόκληρον συμπεριλαμβάνεται φρόνημα, ἀλλ' ἡμίσει μέρει κατ' αὐτοὺς ἀποκληρῶσι τῆς ἐν ἀνθρώπῳ λογικῆς ψυχῆς τὸ ἰδίωμα. εἰ γὰρ προσείληπται διότι ἥμαρτεν, ἐκ ἦν ἂν πάντως μὴ ἡμαρτηκὸς, διότι μηδὲ προσείληπτο.

Ἔτι δὲ εἰ τὸ φυσικὸν θέλημα μᾶλλον τῷ ἀνθρώπῳ συσσαλικόν ἐστι τῆς οὐσίας καὶ δι' αὐτῷ χαρακτηρίζεται, διὰ δὲ τῷ φυσικῷ θελήματος καὶ τὸ τέλειον ἐν τῷ ἀνθρώπῳ καθορᾶται, καὶ τὴν ὕβριν ὡς ἡμαρτημένον γνωμικὸν θέλημα ὁ λόγος οὐχ ὑπομένει· πῶς οὐχὶ διευλαβεῖσθαι τὸ λέγειν γνωμικὸν θέλημα ἀναλαβεῖν τὸν Χριστὸν, ἀλλὰ μὴ φυσικὸν, ὃ καὶ κοινόν ἐστιν ἀνθρώπων πάντων, καὶ συνεισάγει τὴν τῆς φύσεως τελειότητα;

Ἔτι εἰ τὸ γνωμικὸν θέλημα τῇ γενέσει συγκαταβέβληται, ἔδει τὰ βρέφη τοῖς μαστοῖς ἔτι περικαθήμενα, καὶ τῆς ὑγρᾶς αὐτῶν τροφῆς ἐκεῖθεν ἐπινοούμενα τράπεζαν, γνωμικῷ θελήματι τὴν φύσιν αὐτῶν ἐμφανῆ παρέχειν, καὶ τῶν δισταγμῶν αἵρεσιν ὕπω λαβεῖν ἔχοντα δύναμιν ὅλως ἀποσκευάζεσθαι.

Ἔτι δὲ εἰ ὁ Χριστὸς βρέφος γέγονεν, καὶ ἄνθρωπος κατὰ πάντα ἡμῖν ὡμοιώθη χωρὶς τῆς ἁμαρτίας· τοῖς δὲ βρέφεσι τὸ γνωμικὸν ὑ συγκατεβλήθη φρόνημα, δῆλον ὅτι οὐδὲ τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ. εἰ δ' ὕστερον ἡ τοῦτο γέγονεν πρόσληψις, λεγέτωσαν, πόθεν διπλὴν ἔμαθον τὴν πρόσληψιν, καὶ διὰ τοῦτο καὶ τὴν ἐνανθρώπησιν, μᾶλλον γε

σά γε ὅτι παραβὰς ὁ Ἀδὰμ, ἐ τῷ Φυσικῷ, τῷ γνωμικῷ δὲ καθυπηρετήσαλο θελήμαλι.

Ἀλλὰ γὰρ ταῖς ἀντιλογίαις αἱ συμπλοκαὶ ἔρπειν ἔτι φιλονεικῆσι, καίτοι πολλάκις ἐ παραχόντες μεμπτὰς τὰς εὐθύνας, καί φασιν· εἰ ἐπὶ πάντων τῶν Φύσει συνεχώτων πραγμάτων ἡ Φύσις πάντως ὁμοειδῆ περιέχει ἄτομα, ἐπὶ δὲ Χριϛῦ Φυσικὸν ἀνθρώπινον θέλημα λέγομεν, τέτε δὴ τῦ Φυσικῦ θελήμαλος καὶ ὑποσατικὸν καὶ γνωμικὸν θέλημα εἰκότως ἂν λέγοιλο.

Ἔτι δὲ εἰ τὸ γνωμικὸν θέλημα ἐδὲν ἕτερόν ἐσιν, ἢ Φυσικὸν ποιὸν, ὁ Χριϛὸς δὲ τὸ Φυσικὸν ἔχων, ἐχ ἁπλῶς μόνον ἐνεργεῖ, ἀλλὰ καὶ ὡς τόδε τι πράτλων· ἔσιν ἄρα καὶ ἐν αὐτῷ λαβεῖν γνωμικὸν θέλημα.

Ἀλλ' ἑκάτερον τῶν εἰρημένων σοφισικῆς ἥρτηλαι πλοκῆς. τὸ μὲν πρῶτον, ὅτι ἀπὸ τῶν Φυσικῶν ἐπὶ τὰ ὑποσατικὰ ἐποιεῖτο τὴν κάθοδον, τέμνων τὴν Φύσιν εἰς τὰ καθ' ἕκασα· ὁ δὲ τῆς εὐσεβείας λόγος ἐπὶ Χριϛῦ ἐκ ἀπὸ μιᾶς τινος Φύσεως ἐπὶ τὰ καθέκασα πιεῖται τὴν τομὴν καὶ τὴν κάθοδον. ἐ γάρ ἐσί τις ἡ τεμνομένη Φύσις ἐνλαῦθα μία, ἀπὸ δὲ τῆς ὑποσάσεως μᾶλλον εἰς τὴν τῆς Φύσεως ἀναπλεῖαι δυάδα. καὶκεῖ μὲν το Φυσικὸν ὑποσατικὰ ἔξει, ὅτι καὶ πολλαὶ πεφύκασιν ὑπ' αὐτὴν ὑποσάσεις· ἐπὶ δὲ τῦ καθ' ἡμᾶς μυϛηρίε, ἐπεὶ ἓν μόνον τὸ καινὸν ὑπὸ τὸν ἥλιον ὤφθη, καὶ μία ἐσὶν ἡ τῦ Χριϛῦ καὶ ἀδιαίρετος ὑπόσασις, ἔτε ὑποσατικὸν ὅλως ἡ Φύσις δύναλαι περιέχειν, ἔτε Φύσις ὅλως ἐπινοεῖθαι μία.

Τὸ δὲ δεύτερον τῶν αἱρετιζόνλων σόφισμα παρὰ τὸ ἑπόμενον κατασκευάζει τὸ κακέργημα. τὸ μὲν γὰρ γνωμικὸν θέλημα καὶ ὑποσατικὸν πάντως ἐσὶ καὶ ποιόν. τὸ δὲ ποιὸν ἐ πάντως ἐσὶν ὑποσατικόν. καὶ γὰρ καὶ τὰ κοινὰ Φυσικὰ θελήμαλα ποιότητι Φυσικῇ τῶν ἑτερογενῶν διενήνοχεν, ἀλλὰ ποιὰ ὄντα ἐκ εἰσὶ θελήμαλα γνωμικά. ἀλλὰ γὰρ εἰ καὶ συνεφέλκειαι τὸ ἑπόμενον ὁ παραλογισμὸς, ὅμως ἐ παρὰ τῦτο τὸ ψεῦδος ἐχηματίζελο. ἔσι γὰρ εἰπεῖν, ὡς εἰ καὶ τὸ ποιὸν θεωρῆται διτλὸν, τὸ μὲν ἐπὶ τῦ Φυσικῦ θελήμαλος, τὸ δὲ ἐπὶ τῦ ὑποσατικῦ, ἐδὲν κωλύει λέγειν, μᾶλλον δὲ καὶ χειραγωγήσει, ὡς διτλῦ τυγχάνονλος τῦ ποιῦ, ἐπεὶ ἐκ ἔσι Φυσικὸν, ἐκεῖνο γὰρ κοινὸν, ὑποσατικὸν ἂν εἴη θέλημα καὶ γνωμικόν. ὥσε εἰς ταυτὸν ἂν εἴη περιεννεγμένον, εἰ καὶ μὴ παρὰ τὸ ἑπόμενον ἡ τῦ λόγυ πρέθη σύνθεσις, τὸ τῆς αἱρέσεως κατασκεύασμα. τί ἓν δεῖ λέγειν; ὅτι ὁ Χριϛὸς, εἰ καὶ μία ἦν ὑπόσασις, ἐχὶ ποιῷ τινι κεχρημένος ὑποσατικῷ θελήματι φαίνεται. ἀλλὰ τροφῆς μὲν, ὡς Φυσικὸν πληρῶν θέλημα, μελαχεῖν ἠθέλησεν· γλυκαζέσης δὲ ἢ συφέσης ἢ ἄλλως ἡδυνέσης ἐκ ἔτι. καὶ ποτὸν μὲν κατὰ τὸν αὐτὸν τῆς ἀνθρωπίνης Φύσεως λόγον ἠθέλησε προσενέγκαθαι, ἀνθοσμίαν δὲ οἶνον καὶ σίκερα ἢ τι τοιῦτον ἐκ εἶχεν τὸ ἐρεθίζον ἐδὲ παρορμῶν αὐτὸν θέλημα. ἀλλ' ἁπλῶς μὲν τροφῆς τε καὶ ποτῦ κατὰ τὸν τῆς ἀνθρωπίνης Φύσεως λόγον, ὥσπερ εἴρηται, ὁ εἷς καθ' ὑπόσασιν Χριϛὸς ὁ Θεὸς ἡμῶν προσεφέρελο· εἰς ἡδυλίζεσαν δὲ καὶ κολακεύεσαν παρὰ

τὸ ἀναγκαῖον τὴν αἴσθησιν τροφῆς ἢ πόσεως ἰδιότητα ἐ μὴν ἐδαμῶς συναπενήνεχθαι τῷ θελήματι. διὸ καὶ τῆς ἀνθρωπίνης Φύσεως μετὰ τὴν ἀνάτασιν πιστέμενος τὴν ἀλήθειαν, καὶ ὅτι ταύτην ἐκ ἀπεσκευάσατο, ἐ τόδε τι τῶν βρωμάτων ἐπεζήτησεν, ἀλλ' ἁπλῶς, ἔχετέ τι βρώσιμον ἐνταῦθά; φησιν· καὶ ἄλλην μὲν τῷ λόγῳ θεωρίαν ἴσως συνεισάγοιτος, ἐδὲν ἧττον, εἰ μὴ καὶ μᾶλλον, τὴν διδάσκουσαν ἡμᾶς, ὅτι μία ὢν ὁ Χριστὸς ὑπόστασις, ἀδιαίρετός τε καὶ ἀχώριστος, τὸ μὲν ἀνθρώπινον Φυσικὸν εἶχέν τε καὶ συνετήρει θέλημα. τὸ δὲ γνωμικὸν δεδεγμένος ἐδαμῆ θέλημα ἐπιδέδεικται, καὶ διεάζουσα τῶν νῦν ἐχόντων ἔννοια παρενοχλήσει ἀδενί. ὅπερ γε καὶ τῶν ἱερῶν ἀνδρῶν πολλοὶ πολλάκις ἀσκητικοῖς ἀγῶσιν ἐνδιαπρέποντες τῆς μὲν ἐμφύτε τῷ σώματος ἀπορρόης τὴν κατὰ Φύσιν ἀναπλήρωσιν διὰ πρεπέσης ἁπλῶς τῇ Φύσει τροφῆς προσελθεῖν ἐκ ἀνανεύσει θελήματι· καρυκείαις δὲ καὶ λαιμὸν καταγοητευέσαις τροφαῖς, καὶ τοιαύταις ἄλλαις περιεργίαις, αἳ ἀπὸ τῷ γνωμικῷ θελήματος βλαστάνει καὶ Φύεται, ἐ πολλὴν ἐπιτροφὴν ἔχουσιν. ἐ μὴν ἐδὲ παντελῶς ὑπερορῶσι ταῦτα καὶ τῷ ἀνορέκτῳ περιτέθεινται.

Ἀλλ' οἱ μὲν ἀμέμπτως τε ζῆν ἐπιθυμοῦσιν καὶ ἀμέμπτως μετέχουσιν· οἱ δὲ ἑκάτερον αὐτῶν ἡμαρτημένως καὶ ἐπισφαλῶς διαπράττονται. ἔχεις τὸν Ἰσαὰκ τῷ προλέγει παραδείγματος, ἐπιθυμήσαντα ἄγραν καὶ τυχόντα καὶ μεταχόντα πανευλαβῶς καὶ σωφρόνως· ἐξ ἧς βρώσεώς τε καὶ ἀπολαύσεως ἡ εὐλογία γένος ἀνθρώπων ἐκ εὐαριθμητον ἐπηύξησέν τε καὶ πολλὴν τῆς οἰκεμένης κατεκληροδότησεν. ὁ δὲ τότε παῖς ὁ Ἡσαῦ, κατάχετος τῇ ἐπιθυμίᾳ γεγονὼς, ἐκ ὀρθῶς ἠθέλησεν ἐδ' ἐπεθύμησεν, καὶ βραχείᾳ ἡδονῇ μεγάλην δόξαν καὶ τιμὴν νόμῳ κυρωμένην ἀπεμπόλησεν, κριτὴν τὸν λαιμὸν τῶν πράξεων ἀντὶ τῷ νῷ προβαλόμενος, ἐξ ἧς πάσεις καὶ μυρία κακὰ τοῖς ἐνόχοις κατεβάλετο.

Ὁ δὲ δι' ἐναντίας λόγος ἔτι προσαναισχυντεῖ καὶ φησὶν, ὡς αὐτὸ τοῦτο, τὸ θέλειν εἶναι σπουδαῖον, καὶ τῆς τῶν πολλῶν διαίτης ἀνηγμένον, μηδ' ἧττον εἶναι γαστρὸς καὶ βρωμάτων, γνωμικόν ἐστι θέλημα. εἰ γὰρ Φυσικὸν ἦν, ἔδει πάντας τοῦτο ποιεῖν. Ἀλλὰ γὰρ εἰ γνωμικὸν, ὦ τᾶν, θέλημα τὸ πόνοις αὐτὸν καὶ ταλαιπορίαις κατατρύχειν καὶ τῶν ἀνιωμένων μᾶλλον ἢ τῶν εὐπαθέντων γίνεσθαι· πρῶτον μὲν οὐχ ἕξει τι τῶν καθ' ἕκαστα (ὥσπερ ὁ λόγος ὁ τὸ γνωμικὸν ἐπιδεικνὺς μὴ προσεῖναι θέλημα) παραδείγματι πρὸς συγκατάθεσιν ἄγον παρακομίζειν, ἀλλ' εἰς κοινόν τι καὶ ἀποφατικὸν καταφεύγων ὄνομα, καὶ τό, τε τὸ ἰδικόν τε καὶ ὑποστατικὸν ἀφοριζόμενος θέλημα, τὴν οἰκείαν ἐρεχελίαν ἐπιζητήσει κρατύνεσθαι. Δεύτερον δὲ, ἐκ ἀκριδὲς καὶ μέλι ἄγριον γνωμικῷ θελήματός ἐστι προβολή, καὶ γὰρ βιαστή ἐστιν ἀπὸ τῶν ἡμερῶν Ἰωάννε ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. βίαιος ἦν ἦν, καὶ ἐ μόνον ἔξω γνωμικῷ θελήματος, ἀλλ' ἐδὲ θελήματος ὅλως ἡ τῷ Ἰωάννε τροφή.

Εἰ

Εἰ δέ τις προσεπιφιλονεικῶν φαίη, ὡς αὐτὸ τὸ βίαιον θελήματός ἐστι γνωμικοῦ, πολλὰ μὲν τὰ ἄτοπα ἕξεται· πρόχειρον δὲ ὅτι λέληθεν ἑαυτὸν κοινόν τι θελήματος εἶδος, ἀλλ' ὁ γνωμικὸν ἐπεισάγων θέλημα. ἔσαι γὰρ αὐτῷ τὸ τοιοῦτον θέλημα ἀβίαιον βίαιον, καὶ ἀθέλητον θέλημα. ὅπερ ἀναπλάττων ὁ τῷ γνωμικῷ θελήματος προεχῶς λαβεῖν σύνθεσιν ἐκ ἠθέλησεν. ὁ αὐτὸς δὲ λόγος καὶ ἐπὶ τῶν ἄλλων, ὅσα τὸ γνωμικὸν περιλαμβάνειν δύναται θέλημα. εἰ δὲ καλὰ τὸ ἀνθρώπινον χῶραν ἐχ εὗρεν τὸ γνωμικὸν καὶ ὑποστατικὸν θέλημα ἐπὶ Χριστῷ, σχολῇ γ' ἂν εἴη τοῦτο ἐπὶ τῆς θείας τῷ Λόγῳ φαντάζεσθαι Φύσεως, μάλιστά γε ὅτι μηδὲ τῷ Πατρὶ, μηδὲ τῷ παναγίῳ Πνεύματι, καὶ διὰ τοῦτο μηδὲ τῷ Υἱῷ καὶ Λόγῳ, διακεκριμένον τι ποιότητι καὶ διαιρούμενον ἰδιότητι οὔμενουν ἐδεὶς εὐσεβῶν λογισμὸς περιάπλειν ἂν ἔζει τὸ γνωμικὸν θέλημα.

Ἴσως δ' ἄν τινι ἐπέλθοι λέγειν, ὡς ἐδὲν ἐστιν ἀδύνατον, ἀβίαιον βίαιον λέγειν καὶ ἀθέλητον θέλημα. ἔστος ἂν εἴη ὁ μὴ συνηθημένος ἀδύνατον. εἰ δὲ καθ' ἕτερον μὲν βίαιον, καθ' ἕτερον δὲ ἀβίαιον, καὶ καθ' ἕτερον μὲν ἀθέλητον, καθ' ἕτερον δὲ θέλημα. πῶς ἂν εἴη παρεισδυσιν ἔχον τὸ ἄτοπον; καὶ γὰρ ἵνα νῦν παρῶ τὰ ἄλλα, ὁ τῶν μαρτύρων χορὸς ὑπὲρ εὐσεβείας πάσχων τὰ ἀνήκεστα, καθὸ μὲν ἠλγύνετο καὶ τὴν ἀκαρτέρητον ἐκείνην βίαν ὑφίστατο, τῷ βιαίῳ ἂν εἴη συνοχωρέμενος· καθὸ δὲ ἐξὸν τὰς βασάνους ἐκκλίνειν πρὸς τὴν εἰδωλικὴν ἀπονεύσαι πλάνην, ἐκ ἠνέσχετο, ἀβιαίσν τε αὐτὸ ἐποίει τὸ τοσαύτην βίαν ἐπαγόμενον. ἐκ δὲ τῆς αὐτῆς εἰκότος καὶ τὸ ἀθέλητον διευκρίνεται θέλημα.

Ἡ ἔτος ὁ λόγος ἀνάπτυξις μέν ἐστι ῥημάτων μαχομένων καὶ σαφήνεια, ἀ μὴν τὴν κατασκευαζόσην ἀπόδειξιν, ὡς ἐκ ἔστι ἐπὶ Χριστῷ γνωμικὸν ἀνθρώπινον θέλημα, παρασαλεύειν ἰσχύει; ἢ τὸ ταύτης ἐναντίον περαίνει; καὶ γὰρ τὸ κατά τι βίαιον, κατά τι δὲ ἀβίαιον, καὶ τὸ κατά τι μὲν ἀθέλητον, κατά τι δὲ θέλημα, ἐδαμῶς μέχρι τοῦ νῦν τῷ γνωμικῷ περιάψειν ἐτεραιτεύσαιτο θελήματι. ἢ ἐκ, εἰ μὴ εἴρηται, τὸν καθαρῶς εἰδότα καὶ ἀδεκάστως Φιλοσοφεῖν προσήκει σκοπεῖν· ἀλλ' εἰ τὸ πεφυκὸς εἶναι ὡς μὴ ὂν παρεώραται, καὶ ἅμα τῷ μὴ συνορᾶν τὴν Φύσιν τῷ λόγῳ θεωρεμένην, καὶ πρὸς τὴν κλῆσιν διαμάχεσθαι, ἐκ εἴρηται, ἀλλ' ἐχὶ καὶ τὴν ὕπαρξιν ἐρευνώμενον ψεύδεται;

Οὐκοῦν εἰρῆσθαι (δεῖ) διότι τῶν ὄντων ἐστὶν, ἀλλὰ μὴ διότι τοῖς πολλοῖς σιγᾶται καὶ τὴν ὕπαρξιν παραγράφεσθαι. πολλὰ γὰρ, πρινὴ μὲν ἀκριβεστέρᾳ ὑποβληθῇ ἐρεύνῃ, ἁπλῶς τε λέγεται, καὶ τὸ ὄνομα πᾶσι δῆλον παρέχεται· ἀναπλυσσόμενα δὲ καὶ λεπτολογέμενα συμπλοκήν τινα προβάλλεται, καὶ κλῆσιν ἐπιζητεῖ κατάλληλον τῷ νοήματος. αὐτίκα τὸ Φυσικὸν ἀνθρώπινον καὶ ὁμολογέμενον θέλημα πολυπραγμονέμενον, διαφορεὶς ἂν ὀφθεὶν προϊόμενον, αἳ καὶ τὴν ἑτερότητα συνιοῦσι, καὶ τὸ κοινὸν εἶδος εἰς ἑτέρας κοινότητας οὐ διατέμνουσιν. οἷον, θέλει τις φαγεῖν καὶ πιεῖν· ἀλλ' ὁ μὲν μᾶλλον, ὁ δὲ ἧττον

τὴν

τὴν τοιαύτην ἔφεσιν διὰ βίᾳ κέκτηται, καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον τὸ Φυσικὸν ἀ μερίζει καὶ συζεῦξει πρὸς εἰδικώτερον θέλημα, διότι μηδὲ πέφυκε τὸ μᾶλλον καὶ ἧττον εἴδες τινὸς ἢ κοινότητος σύμφυλον ἐξαλλαγὴν ἀπεργάζεσθαι.

Ἐρεῖ ἔν τις ὀρθῇ διασκεπτόμενος κρίσει, ὡς τοῦτο δὴ τὸ Φυσικὸν θέλημα, καθὸ μὲν ἐπὶ πάντας ἀνθρώπους ὁμοτίμως διαβαίνει, εἰς ὑποβεβηκότα εἴδη ἀ τέμνεται· καθὸ δὲ τὰς ἀπὸ τῷ μᾶλλον καὶ ἧττον ἐπιδέχεται παραλλαγὰς, ἀναλογίαν τινὰ σώζει πρὸς τὰ διαιρέμενα, καὶ τὴν διαίρεσιν εἰς εἴδες προβολὴν ἀκ ἐπιδέχεται. ἐδὲν ἔν ἐκώλυσε καὶ τὸ Φυσικὸν ἁπλῶς ὁμολογεῖν ἀνθρώπῳ θέλημα, καὶ τοῦτο πολυπραγμονέμενον καὶ διαφορᾶις ὥσπερ αὐτὸ διαξεῦλόμενον ποικιλωτέραις διανοίαις καὶ ποικιλωτέροις ὀνόμασιν ὑποβάλλεσθαι. τὸ αὐτὸ δὲ καὶ ἐπ' ἄλλων μυρίων προβλημάτων εὑρήσει τις θεωρέμενον.

Ἀλλὰ τὰ πορρωτέρω λέγω, ἑνὸν ἐγγυτέρω τὸν λόγον πιστώσαθαι παραδείγματι. Παῦλος ζυρᾶται καὶ ἁγνίζεται, καὶ περιτέμνει Τιμόθεον. ἆρα καθαρῶς καὶ ἁπλῶς θέλων, καὶ μηδὲν ἐφιζάμενος τῶν ἀθελήτων ἐπιπλεκόμενον τῷ θελήματι; καὶ πῶς ζημίαν ἡγεῖται τὰ τῷ νόμῳ καὶ σκύβαλα, καὶ τῷ περιτέμνεσθαι τὸ τῷ Χριστῷ καταργεῖσθαι κήρυγμα; ἐκ ἔν ἀκόσια ταῦτα καὶ ἀθέλητα λόγος ἐδεὶς ἀντιφθέγξειλο, καὶ τρόπος οἰκονομίας τῷ ἀπρεπεῖ μάλιστα καὶ ἀθελήτῳ ςηριζόμενός τε καὶ ἐπιπλεκόμενος τῷ θελήματι. ἆρ' ἔν τις ἡμῖν φθονήσει τῶν ὀνομάτων, ὁρῶν τὰ κατὰ συμπλοκὴν πράγματα προσφυῶν καὶ καταλλήλων ῥημάτων δεόμενα; τί δαὶ ἄτοπον, μᾶλλον δὲ πῶς ἐκ ἀναγκαῖον ὀνομάζειν, (ἐπείπερ ὑπάρχον ὁρᾶται καὶ ἀθελήτου θέλημα καὶ βίᾳ ὑποδυομένη τὸ ἑκούσιον,) καὶ τοῖς σημαίνουσιν ἀπαγγέλλειν ταῦτα γνώριμά τε ποιεῖν καὶ τοῖς ῥήμασιν; ἀναθεωρεῖν τοίνυν προσῆκεν, ἐχ ὅτι μὴ πρόχειρά σοι καθέζηκε τὰ ὀνόματα, ἀλλ' εἰ ἐπιζητεῖ τῶν πραγμάτων ἡ Φύσις διὰ τῶν προσφυῶν ὀνομάτων σημαίνεσθαι.

Ἀλλὰ ταῦτα μὲν εἰς τἐναντίον πάλιν ἐρεῖ περιτρέπων τὴν ἀπόδειξιν, δι' ἧς γνωμικον ἐπὶ Χριστῷ μὴ δεῖν λέγεσθαι κατεσκευάζετο θέλημα, ὁ τῆς ἀντικειμένης προϊζάμενος μερίδος. ἀλλ' ἐδεὶς ἀπήντησεν, ἀνθυποφέροι ἂν ἡ ἀλήθεια, ἔτε διερευνᾶσθαι τὴν Φύσιν τῷ προτεθέντος πράγματος, ἔτε εὑρεθεῖσαν σιωπῇ ταύτην ἀφηνιάζειν καὶ ἀποκρύπτεσθαι· ἐδ' ἀπὸ τῆς τῶν ὀνομάτων σπανιζέσης χρήσεως τὴν τῶν πραγμάτων διασκεδάζειν ὑπόςασιν. οὔμενουν ἐδεὶς τέτων ἐδὲν ἔτε προέθετο ἔτε ἠτιάσατο. ἀλλ' ὅτι τὸ γνωμικὸν θέλημα καθαρῶς καὶ χωρίς τινος ἐπιπλοκῆς ἀλλοτρίας προτεθὲν εἰς ζήτησιν, τοῦτο μὲν ὥσπερ μηδὲ ῥηθὲν ὅλως, μηδὲ νοηθὲν, παρέδραμέν τε καὶ παρεβλέψαλο, συμφωνήσας δὲ τὸ ἑκούσιόν τε καὶ τὸ βεβιασμένον καὶ ἀβίαςον, καὶ τέτῳ τῷ πολυπλόκῳ νοήματι τὴν τῆ ἁπλῆ περιθέμενος διάνοιαν, οἴεται τὲς ἀκροατὰς λανθάνειν ὁ τὴν ἀντιλογίαν βίον ποιέμενος. ἄλλως τε δὲ ἐδὲ καθόλε περιαιρεῖμεν τῶν ἁγίων ἀνδρῶν τὸ γνωμικὸν θέλημα, μήτι γένηται.

ἄνθρω-

ἄνθρωποι γὰρ ὄντες, καὶ μήπω τῇ σαρκὶ τὸ φορτίον ἀποθέμενοι· καὶ ἀνθρωπίνοις πολλάκις γνωμικοῖς ἐχρῶντο θελήμασιν. ἀλλ' ἐκεῖνο φαμὲν, ὡς εἰ ἐν ἐκείνοις πολλάκις, ἔτι σαρκὶ συνδεδεμένοις καὶ αἵματι, τὸ γνωμικὸν συνεξέλειπε θέλημα· ἐπιλέλειπται δὲ, παρεῖναι, μὴ κωλυόμενον· τίς ἂν ἐκ ἐγκαλύψαιτο φρονεῖν ἢ λέγειν, ἐπὶ Χριστῷ γνωμικὸν ὑπάρχειν θέλημα; ὃ μὴν ἐδὲ ἡ συνεχὴς ἀντιλογία τῷ κατασκευάζοντος τὴν ὀρθὴν δόξαν ἐπιχειρήματος ἀνελοῖ ραν τὴν περὶ τῆς ἀληθείας ἀπόδειξιν ἀπεργάζεται, ἀλλὰ τἐναντίον καὶ ἀναντίῤῥητον ἐπιδείκνυσιν. τὸ γὰρ πάσας μὲν λαβὰς κατ' αὐτῆς ἐπινοεῖν, πάσας δὲ ἐκείνην ῥᾳδίως διαλύειν, καὶ πάσης ἐκλὸς διαβολῆς καὶ ἐπηρείας ἔσάναι, πῶς ἐκ ἀνυπέρβλητον αὐτῆς τὸ κράτος ἀνακαλύπτεται; καίτοιγε εἰ καὶ τὸ ἐπιχείρημα τοῦτο ἀντιλογίαν οὐ ῥᾴον ἦσαν ἐδέχετο διαλύεσθαι, ἐδ' ἔτως ὁ ἐναντίος λόγος ἐρώνυτο. τὰ γὰρ λοιπὰ τῶν ἐπιχειρημάτων ἐπὶ τοσοῦτον ἐμφανεστάτην παρέχεται τὴν ἀλήθειαν, ὡς μηδὲ ἐπιχειρῆσαι ὅλως πρὸς αὐτὴν ἀντιβλέψαι τὸν πάσας τόλμας ἕτοιμον ὄντα τολμᾶν, εἰ καὶ τὴν ἀἰχύνην διὰ πασῶν ἀποφέρεται. οἷς μὲν γὰρ οἱ προσενεχθέντες λόγοι τὸ ἧττον ἠνέγκαντο, τὴν νίκην κηρύττουσιν ἄμαχον. οἷς δὲ καὶ αὐτῷ τῷ συμπλακῆναι τεθήπασι, τὸ κράτος τῶν ἀρισευμάτων ἐδ' ἀμφίβολον ἐμαρτύρησαν.

Ἄλλως τε δὲ, εἰ ἄριστος μὲν λόγος, ἐ τῆς ἀληθείας ἐπὶ τοσοῦτον ἡ αὐγὴ ἀπαστράπτει, ὡς μηδ' ἀντιβλέψαι πρὸς αὐτὸν τὴν ἔριν, μηδὲ τὴν ἀρχὴν προσβαλεῖν ἐπισκιάζειν αὐτῆς ταῖς Φιλονεικίαις τὴν λαμπρότητα· κράτιστος δὲ πάλιν λόγων, ὁ ἀπάσας τὰς τῶν ἀντιπάλων λαβὰς, αἳ τούτοις ἐπενοήθησαν, διαφυγὼν, καὶ κατὰ πάντας ἀγῶνας τὴν νίκην ἀναδησάμενος, εἰς τέλος καταβληθέντων τῶν ἀνταγωνιστῶν· ὁ ἄμφω συλλαβὼν ἐν ἑαυτῷ, τῷ μὲν τὸ ἄμαχον κράτος, τῷ δὲ τὸ ἀναφαίρετον ἀρίστειον, καὶ τὴν ἐξηρημένην καὶ ἀπαραμίλλητον ἀρετὴν ἑκατέρᾳ μόνος ἔχων ἐλλαμπρύνεσθαι· πῶς ἐκ ἂν ὁ λόγος ἦτος, οἷος ὁ παρὼν, τελεωτάτην τε καὶ ἀνυπέρβλητον τὴν τῆς ἀληθείας ἰσχὺν ἐπιδείκνυσιν; ἀλλὰ γὰρ διὰ τοῦτο ταῦτά τε καὶ τὰς ἀντιλογίας προήνεγκεν ἡ τῆς ὑποθέσεως ἔρευνα, ἵνα σαφῶς ἐπιγνῶς, ὡς, εἰ καὶ συντόμως, πλὴν ἐ παρέργως, τὴν τῶν πραγμάτων Φύσιν εἰς Φῶς προβαλλομένη προήνεγκεν.

Ὁ μὲν ἓν παρὼν λόγος, ἐ κατὰ πολὺ ἔλαττον τῆς συγγυμνασίας ἰσχαζόμενος, ἢ τῆς ἐν τῇ Φύσει τῶν πραγμάτων ἐπιγνώσεως, ἐπιτόμως ἦτως ταῦτα διελήλυθεν. Εἰ δέ τις ἀπὸ τῶν ἱερῶν λογίων, ἢ τῶν θεοφόρων ἡμῶν πατέρων, γλαφυρωτέραν τινὰ θεωρίαν μᾶλλον καὶ πρὸς ἀλήθειαν ἀνηγμένην μαθὼν ἀποκαλύψοι, θᾶττον ἂν ἡμᾶς ὄψαιτο τὴν τῶν μαθητῶν καταλαμβάνοντας τάξιν, ἀντὶ τῷ ζητεῖν διδασκάλες νομίζεθαι.

ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΠΡΟΣ ΤΑ ΕΝ ΤΩι ΒΙΩι ΛΥΠΗΡΑ ΕΠΙΣΤΡΕΦΕΣΘΑΙ.

Ἀγαθὸν ἀνθρώπῳ βίος ἄλυπος, χαλεπὸν δὲ τυχεῖν, μᾶλλον δὲ τοῖσγε τὴν κρίσιν μὴ ἔχουσιν ἀπ' ὀρθῆς διαίτης προϊοῦσαν, ἀδύνατον. οἷς μὲν ἔν ἡδόμεθα, τῷ πλάσαντι καὶ χορηγοῦντι τὴν ἀνεύθυνον ἡδονὴν χάρις· ἃ δὲ ἀνιώμεθα, ἐν ἑαυτοῖς ἐσὶν εὑρεῖν, ὥσπερ τέτων τὸ αἴτιον, ἕτω καὶ τὸ φάρμακον τῆς ἰάσεως. τὰ γὰρ πλεῖσα τῶν λυπηρῶν, ἐκ ἐξ ἑαυτῶν τὴν πληγὴν ἐπάγει, ἀπὸ δὲ τῆς ἡμετέρας κρίσεως λαμβάνει τὸ πλήττειν. ἐσερήθη τις πλέτε; τί δύναλαι ἡ σέρησις λυπῆσαι; ἀλλ' ἐγὼ τὴν σέρησιν βαρὺ νομίζω· δῆλον ὡς αὐτὸς ἐγὼ καὶ τὴν ὠδὲν κατ' ἐμὲ κινοῦσαν ὁπλίζω πικρὸν ἀφεῖναί μοι βέλος. ὁ μὲν γὰρ φθόνος, ἢ κοινόν τι πόλεως ἢ παλριδος πάθος, ἢ ἄλλο τῶν ἔξωθεν, ἴσχυσέ με καὶ μὴ βελόμενον πένηλα ποιῆσαι· λυπῆσαι δὲ ὠδὲν τέτων ὠδαμῶς ἂν ἂν δυνηθείη, εἰ μὴ ἐγὼ βελοίμην. ἀλλὰ φίλλατοι παῖδες ἀπέσησάν μοι τῶν κόλπων, καὶ ὡς ὀρῶν ἡδόμην καὶ τὰς ἐλπίδας πάσας ἀνῆπλον τῷ βίῳ, ἕτοι τὸ χρεὼν ἀθρόον ὑπῆλθον; ὠδ' ἐκεῖνοι πλήττειν οἴδασιν ὅλως, μάλισά γε Φύσεως ὥσπερ ἐν τῇ γενέσει, ἕτω κἀν τῇ ἐξόδῳ λειτεργήσαιλες νόμοις. ἀλλ' ἐγὼ τὰς τὰ ἔχαλα ἠρεμοῦντας ὡς ἐν μεγάλῳ κλύδωνι καὶ σάλῳ ταλαιπωρεμένες, τὰς ἐμὰς ποιῶν λογισμὰς, καὶ τὴν μηδὲν αὐτοῖς συνεισάγουσαν συμπάθειαν ἀνακινῶν, ἐμαυτῷ τὴν πληγὴν μηδὲν ὠφελῶν ἐπιφέρω. οἰκία δέ μοι συνέπεσε; τί ἔν; εἰ μὲν καλαλαβοῦσα καμὲ, ὠδὲν πρὸς ἐμέ· ὠδὲ γὰρ αἰσθάνομαι. εἰ δὲ πολλῶν πεσόντων, ἐγὼ τῷ πλώματος κρείτλων ἐγενόμην, πῶς ἀντὶ τῷ χάριν ἔχειν οἷς ἐρρύσθην, ὑπὲρ ὧν ἄψυχα κεῖται δυσφορῶν, ἐκ ἐμαυτῷ προξενῶ τὴν λύπην; ἕτω δὴ καὶ ἐπὶ τῶν ἄλλων ἀπάντων. ἃ γὰρ ὡς ἐπὶ παραδειγμάτων τέτων εἴρηλαι, κοινὰ πάντων ἐσὶν, ὅσα καθεκάσην ὁ βίος, τὰ μὲν ἄνω Φέρων, τὰ δὲ κάτω, τὸν ἑαυτῷ πολύτροφον ἑλίσσεται κύκλον. ἓν ἔν ἐσι μόνον τῶν ἐν τῷ βίῳ πάντων, περὶ ὃ χρὴ καὶ τὴν ἀλγηδόνα βαρεῖαν δέχεσθαι, καὶ σπεδὴν εἰσάγειν ταύτης ἀπαλλάτλεσθαι. τὰ δ' ἄλλα μικρὰ πάντα ὅσα συμβῇ, ἂν μὲν ἐγὼ κρίνω Φαῦλα ταῦτα εἶναι, ὡς λυπηρά μοι ἐπιτίθεται· ἂν δ' ἐκ ἐπιτρέΦωμαι πρὸς αὐτὰ, ὠδὲν αὐτῶν ἰσχύει προσάψασθαι ὠδεμίαν μοι θλῖψιν. Τί ἔν ἐσι, περὶ ὃ με δεῖ Φροντίζειν, καὶ ἐ πρὸς τὴν ἀλγηδόνα ἐπιτρέΦεσθαι; τὸ ταῖς ἀκίσι τῶν ἁμαρτημάτων ἀπαθῆ τὴν

τὴν ψυχὴν καὶ ἀνάλωτον συντηρεῖν· κἄν τι προσάψηται ταύτης, καὶ πρὸς μώλοπα τὴν πληγὴν ἐκλείνη, διανίσασθαι τὸ τραῦμα θεραπεύειν καὶ πρὸς ὑγίειαν ἀνακαλέσασθαι. τὰ δ' ἄλλα πάντα, δόξα καὶ πλοῦτος, κάλλος καὶ ἰσχὺς, δυναστεία καὶ ῥώμη σώματος, καὶ κράτος λόγων τιμιώτερον, παῖδές εἰσιν ἐν βίῳ παίζοντες· μᾶλλον δὲ οὐδὲ παῖδες, σκηνὴ δὲ παίδων ὑποκρινομένη δράμα, καὶ εἴ τι τούτων ἀπατηλότερον.

ΛΟΓΟΣ ΕΙΣ ΤΟ ΓΕΝΕΣΙΟΝ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ.

Πᾶσα μὲν ἑορτὴ, καὶ πᾶσα πανήγυρις, καθ' ἣν ὁ τῶν εὐσεβέντων φοιτᾷ σύλλογος, λύει μὲν τὰς πρὸς ἀλλήλους διαφοράς, καὶ τὰς ἔριδας· συνάγει δὲ τοὺς ἀπαλλήλων γνώμῃ διεζῶντας, καὶ τὸν δεσμὸν τῆ φίλτρῳ σάσει λύσαντας, τὴν τῶν ἀσμάτων συμφωνίαν, παράκλησιν ἔργῳ καταβαλλομένη, πρὸς τὴν τῆς ὁμοφροσύνης ἐπανάκλησιν· δείκνυσι δὲ καὶ τῷ αὐτῷ δεσπότῃ καὶ δημιουργῷ τοὺς συναγηγερμένους πλάσματά τε καὶ ποιήματα· καὶ τῇ ἑνότητι τοῦ σεβάσματος, τὴν ὁμοτιμίαν τῆς πλάσεως ὑποφαίνουσα, τοὺς καταλλήλων πικρῶς ἐπαιρομένους πραΰνει καὶ κατασπᾷ, μέτρια φρονεῖν καὶ ἀνθρώπινα πείθουσα, καὶ πρὸς τὴν αὐτὴν τοῦ πλάσαντος παλάμην ὁρᾶν, καὶ τὸν αὐτὸν ἀναλογίζεσθαι τῆς πλάσεως πηλὸν ἐκδιδάσκουσα. εἰς τοῦτο γὰρ ἔμοιγε τὰς πανηγύρεις τελεῖν ὁ πρέπων Χριστιανοῖς θεσμὸς ὑποτίθεται· καὶ ἡ μὲν Χριστὸν ἐμφανίζει τικτόμενον· ἡ δὲ μαρτύρεται βαπτιζόμενον· ἄλλη φέρει μεταμορφούμενον· ἑτέρα δὲ τὰς θεοσημείας ἐργαζόμενον· δαιμονῶντας θεραπεύουσα· πηρὸς ὀμματοῦντα· πηγὰς αἱμάτων ξηραίνουσα· χωλοὺς καὶ παρειμένους συσφίγγουσα· νεκροὺς ἀνιστῶσα· τέλος ἐπὶ σταυρῷ κρεμάμενον ἄλλη παραδειγματίζει, καὶ ἄλλη πάλιν ἀνιστάμενον, καὶ τὴν ἐμὴν ἀνάστασιν ἔργοις ὁρωμένοις ἐγκαινίζουσα.

Ἀλλ' ἔστω πάσης θεοπρεπὴς πανηγύρεως, καὶ τῶν ἐπικοινῶν χαρισμάτων παρεχέσης τὴν ἀπόλαυσιν, καὶ ἰδίαν τινὰ συνεπαυγαζέσης τῆς χάριτος ἔλλαμψιν, παρὰ πολὺ τῶν ἄλλων ἡ παροῦσα πανήγυρις, τῆς παρθένου καὶ Θεοῦ μητρὸς φιλοτιμουμένη τὴν γέννησιν, λαμπρὰ κατὰ πάσης τὰ πρεσβεῖα ἀποφέρεται. ὥσπερ γὰρ τὴν ῥίζαν κλάδων καὶ στελέχους καὶ καρποῦ καὶ ἄνθους αἰτίαν γινώσκομεν, εἰ καὶ τοῦ καρποῦ χάριν ἡ περὶ τὰ ἄλλα σπουδὴ καὶ ὁ πόνος καταβάλλεται· καὶ οὐδὲν

τῶν ἄλλων χωρὶς τῆς ῥίζης ἐκφύεται· ἔτως ἄνευ τῆς παρθενικῆς πανηγύρεως ἐδεμία τῶν ἐξ αὐτῆς ἀναβλασησάντων ἐπιφαίνεται. ἀνάστασις γὰρ, ὅτι θάνατος· θάνατος δὲ, ὅτι σαύρωσις· σαύρωσις δὲ, ὅτι Λάζαρος τεταρταῖος ἄδε πυλῶν ἀνελήλυθε· καὶ τυφλοὶ βλέπουσι· καὶ κλίνην, ἐφ' ἧς ἔκειτο, φέρει τρέχων ὁ παράλυτος· καὶ τῶν παραδοξεμένων ἔργων (ἐ γὰρ ἐπίκαιρον πάντα καλαλέγειν) τὰ ἐπίλοιπα, ἃ τὸ Ἰεδαίων ἔθνος, δέον δοξάζειν καὶ ἀνυμνεῖν, εἰς φθόνον ἐξέκαυσεν· ἀφ' ἃ τὸν κατὰ τὸ σωτῆρος ἐπ' ὀλέθρῳ σφῶν φόνον ἐπαλαμήσαντο. ταῦτα δὲ, ὅτι Χριστὸς βαπτισάμενος, καὶ τὲς ἀνθρώπες τῆς πλάνης ἀπολυσάμενος, ἔργῳ καὶ λόγῳ τὴν θεογνωσίαν ἐδίδασκεν· βάπτισις δὲ, ὅτι γένησις· Χριστῦ δὲ γέννησις, συντόμως καὶ καλῶς εἰπεῖν, ὅτι παρθένε γέννησις· ἐν ᾗ καινιζόμεθα, καὶ ἣν ἑορτάζειν ἠξιώμεθα. ἔτω ῥίζης, ἢ πηγῆς, ἢ θεμελίων λόγον, ἢ ἐκ οἷδ' ὅ τι καὶ οἰκειότερον εἴπω, ἡ παρθενικὴ πληρῦται πανήγυρις, ἐκείναις τε πάσαις εἰκότως ἀγλαίζεται, καὶ πολλοῖς καὶ μεγάλοις ἐνδιαπρέπει χαρίσμασι, καὶ παγκοσμίῳ σωτηρίας ἡμέρα γνωρίζεται.

Σήμερον γὰρ ἡ παρθένος μήτης ἐκ σείρας μητρὸς ἀποτίκτεται, καὶ τῆς δεσποινικῆς ἐπιδημίας τὸ παλάτιον εὐτρεπίζεται. σήμερον δεσμὰ σειρώσεως λύεται, καὶ τῆς παρθενίας τὰ κλεῖθρα σφραγίζεται. οἷς γὰρ νηδὺς ἄγονος καὶ λόγες νεκρωθεῖσα τεκνώσεως, καρπὸν παρ' ἐλπίδα ὡραῖον προήνεγκεν· τέτοις καὶ τὸ τῆς παρθενίας μνησεύεται ἀδιάφθορον, καὶ τὸ θαῦμα τῆς κυοφορίας ἐπιδήλοις ἔργοις προαγγέλεται· ὑπερφυὲς μὲν τόκος ἄνανδρος, καὶ παρθενίας φυλακὴ μετὰ γέννησιν· νικᾷ δὲ θεσμὲς φύσεως καὶ σεῖρα μετὰ γῆρας γεωργεμένη καὶ τίκλεσα, καὶ τῆς παρθένε τὸν τόκον, δι' ὧν τερατεργεῖται, προοιμάζεται. σήμερον τὸν ὀνειδισμὸν τῆς ἀτεκνίας ἡ Ἄννα θερίζεται, καὶ τῆς χαρᾶς τὲς σάχυς ἡ οἰκεμένη καρπίζεται. πατὴρ παιδὸς ὁ Ἰωακεὶμ ὀνομάζεται, καὶ τῆς υἱοθεσίας ἡμεῖς ἀῤῥαβωνιζόμεθα τὸ ἀξίωμα. σήμερον ἡ παρθένος ἐξ ἀγόνων λαγόνων προέρχεται, καὶ τὰς γονὰς τῆς ἁμαρτίας ἡ σείρωσις διαδέχεται· καὶ τῆς συναγωγῆς τῶν Ἰεδαίων χηρεύει τὸ πλήρωμα, καὶ τῶν τῆς ἐκκλησίας κόλπων τὰ τέκνα προκύπλυσι, Χριστῷ τῷ νυμφίῳ θεοπρεπῶς αὐξανόμενά τε καὶ πληθυνόμενα. ἐξ ἀγόνων λαγόνων ἡ παρθένος προέρχεται, ὅτε καὶ γονίμων ὄντων ὁ τόκος παράδοξος. ὧ τῦ θαύματος· ὅτε τῆς σπορᾶς ὁ χρόνος ἐξέλιπε, τότε τῦ καιρῦ τῆς Φορᾶς ὁ καιρὸς ἐπεδήμησεν· ὅτε τὸ πῦρ ἐσβέσθη τῆς ἐπιθυμίας, τότε ἡ λαμπὰς ἀνήφθη τῆς παιδοποιίας. νεότης ἄνθος ἐκ ἤνεγκε, καὶ βλαστὸν τὸ γῆρας προβάλλεται. γαστρὸς ὄγκος ἀκμαζέσης ἐκ ἐγνώσθη φύσεως, καὶ ὑπεράκμε νηδύος ἀεισπάρθενον βρέφος γνωρίζεται κύημα.

Ἀλλ' ἀπορεῖς, ἄνθρωπε, εἰ ἡ σεῖρα τέτοκεν; μᾶλλον δὲ ζητεῖς, οἷς καὶ σὲ θαυμάζειν ἐχρῆν, δι' ὧν θαυμάζομεν, παρὰ φαῦλον θέσθαι τὸ θαυμαζόμενον, καὶ πῶς σεῖρα τέκοι λογομαχεῖς; εἰ γὰρ σεῖρα ἐ τίκλει· τίκλεσα δὲ οὐ σεῖρα·

σείρα· πῶς δὲ μαζοὶ ξηρανθέντες εἰς πηγὰς ἀνασομβῆναι γάλακτος. εἰ γὰρ θησαυρίζειν αἷμα τὸ γῆρας ἐκ οἴδε, πῶς ὅπερ ἐκ ἔλαβον αἱ θηλαὶ, λευκάνασιν εἰς γάλα; πῶς δὲ μήτρα νεκρωθεῖσα τελεσιουργεῖ καὶ ζωοποιεῖ, καὶ συνέχει καὶ τρέφει τὸ ἔμβρυον; ταῦτα σὺ κατὰ σεαυτὸν καὶ τῆς σῆς μηχανορραφεῖς σωτηρίας· τίς ὢν; τῶν πιστῶν γὰρ καὶ ἀξίων τὸ θαύματος, ἐκ ἂν εἴης· ἐ δὴ γὰρ ἐδὲ τοῖς, δι' ὧν ἡ πίστις, ἀπιστῶν ἔμεινεν ὁ πιστὸς παραθήσεται, ἀλλὰ Ἰουδαῖος. ἡ Σάρρα δὲ, πῶς ἢ πᾶ σοι διαπέπλωκεν; ἆρα γὰρ ἐ γήρως καὶ στειρώσεως εἶδε παῖδα τὸν Ἰσαάκ; ἂν ἡ Ἄννα σοι συγχεῖ καὶ ταράσσει τὸς λογισμὸς, ἡ Σάρρα μᾶλλον ὅτι καὶ πρῶτον. ἂν τοῦτο ποιῇ τὴν ἀμφιβολίαν, ἐκεῖνος σὺ, καὶ τῆς σῆς ἐκ αἰθάνῃ παραγράφων συγγενείας, καὶ τέμνων τὰς ῥίζας ἐξ ὧν σοι τὸ εἶναι κλάδῳ, καὶ τῶν Ἰουδαϊκῶν θεσμῶν ἐξελέγχῃ κατεννεγμένος.

Ἐγὼ δὲ, εἰ μὲν εἱρμῷ Φύσεως πεπράχθαι λέγων τὸν τόκον, ἔπειτά σε ὁμονοεῖν παρεκάλουν, καλῶς ἡ στεῖρα τὸ γῆρας· ἡ Φύσις τῶν συλλογισμῶν ἐγένετο τὸν πόνον· εἰ δὲ χάριτος θείας πρεσβεύω τὴν πρᾶξιν, τί τὴν χάριν ἐκβιάζῃ δηλεύειν τῇ Φύσει, ἧς ἀεὶ αὐτὴ πέφυκε κυρία. δέχῃ τὸν Ἀδὰμ πηλῷ πλασθέντα, καὶ χωρὶς παραχθέντα γεννήσεως; δέχῃ τὴν Εὔαν ἄνευ συναφείας, καὶ πλευρᾶς ὑπάρξασαν γέννημα; λόγον ταῦτα Φύσεως ἐκ ἂν εἰπεῖν ἔχων. ἡ γὰρ κατὰ διαδοχὴν τῶν ἀνθρώπων αὔξησίς τε καὶ γέννησις, ἄλλην τάξιν τῆς προόδου διασώζουσα, ἐκ ἐᾷ τὴν προβολὴν ἐκείνων Φύσεως δοξάζειν ἔργον· ἀλλ' ἐδέ γε παρὰ Φύσιν πάλιν· ἀρχὴ γὰρ τῆς κατὰ Φύσιν τῶν ἀνθρώπων συστάσεως. θείας ἄρα βουλῆς καὶ ἰσχύος. τί δέ; τότε μὲν ἰσχύειν καὶ τοῖς παραδοξολέροις δίδως τὸ θεῖον, καὶ τὴν τάξιν τῆς Φύσεως κατὰ τὸ ταύτης ἐχ ὁπλίζεις πλάσμα· νῦν δὲ ὥσπερ γῆρας βαθὺ κατεγνωκὼς τῆς πανθενεσάτης καὶ ἀκηράτου δυνάμεως, ἀθενεστέραν τέτοις ἀποφαίνεις; ἐφ' ὧν τοῖς ἔμπροσθεν ἐγγεγυμνασμένος, δίκαιος ἂν ἦθα μᾶλλον καὶ τοῖς ἄλλοις ὀφθῆναι τὴν περὶ τέτων πίστιν ἀδίσακλον παρεχημένος. ἔκειν ἐδὲ Ἰουδαῖος ὁ ἀμφισβητήσων εἴη, ἄνπερ Ἰουδαῖος εἴη· ἀλλά τις τῶν ἕλληνα νῦν καὶ γνώμην κεκλημένων.

Ἀπιστεῖς δὲ ἄρα σὺ, καὶ φαυλίζεις ἐκ στείρας παῖδα προελθυθέναι, ὁ σήψεως τέκνα πλάττων τὸς ἀνθρώπος; ὁ δρακοντείος ὀδόντας μήτρας αὐτοργήσας τοῖς σοῖς γε προγόνοις; ὡς εἴθε τάφος ταῦτα λέγοντί σοι τέτος ἐδείκνυς, ὁ λίθος ἀνθρωπίζεσθαι προστάττων, καὶ τῶν σῶν προπατόρων τὸ γένος ἀξίως γε σαυτὸν γενεαλογῶν, εἰς τὸ τῶν μυρμήκων ἀναφέρων αἷμα. σὺ ταῦτα φρονῶν, κἂν μακρὸς ὑπάρχει λῆρος· καὶ ἐδαμῆ ἐδέν· ἐ χάριν· ἐ νᾶν· ἐ Φύσιν· ἐκ αἴσθησιν· ἐκ ἀλλοτρίαν δόξαν· ἐ τὴν σεαυτοῦ· ἐκ ἄλλο ἐδὲν συνήγορον ἔχων, πλὴν τῆς σῆς ἀναισχυντίας ἢ ἀναισθησίας· ὅμως περιέπεις καὶ πρεσβεύεις· ἃ δὲ καὶ δόξαι κυρῆσι μαχόμεναι, ταὐτὰ περὶ τέτων ὑπὸ τῆς ἀληθείας συνφθέγγεσθαι βιαζόμεναι· καὶ ὧν πρώτη μάρτυς ἡ αὐ-

τοψία καὶ αἴθησις, καὶ οἷς πολλὰ τῶν ὁμοιοτρόπως πάλαι γεγονότων, καὶ χωρὶς τῶν εἰρημένων τὴν πίστιν παρέχεται· ταῦτα χλευάζειν ἐπιχειρεῖς, καὶ ἐν φαύλῳ τίθεσθαι; καὶ ὃ τοῦτο φαίην ἂν ἔγωγε, ὡς οἷς ἐκεῖνοι τὰ ἀτοπώτατα πεπρεσβεύκασι, τούτοις ἡμᾶς δεήσει σεμνολογεῖν τὰ ἡμέτερα· ὧδε, πολλοῦ δεῖ, τὸ φῶς τῷ σκότει λαμπρύνεσθαι, ἢ τῷ ψεύδει συνίσασθαι τὴν ἀλήθειαν· ἢ τῇ πλάνῃ τὴν πίστιν ῥιζοῦσθαι· ἀλλ' ὡς ὅλως ἐκ ἐξῆν ἐκείνοις κάτω παντελῶς κατενεχθεῖσι, καὶ ὅσον ἡμεῖς ἄνω τῆς φύσεως, τὰ μὲν παρὰ φύσιν, καὶ ἃ μηδ' ὅστις ἔν τρόπος συγκροτήσοι, ταῦτα τιμᾶν καὶ θαυμάζειν· ἃ δὲ πολλῷ κρείσσω καὶ λόγου καὶ φύσεως καὶ αἰνέσεως· καὶ εἰσέτι μᾶλλον τάφοι, ἔστιν ὃ τῆς χρείας καλούσης, καὶ τῆς προνοίας οἰκονομούσης τερατουργοῦντες ἐπιμαρτύρονται, ταῦτα δὲ λόγῳ καὶ πλάνῃ πειρᾶσθαι παρασαλεύειν.

Ὅρα δὲ κἀκεῖνο· ὃ πάθος κρατεῖ φύσεως· ὃ νόσος· ὃ γῆρας· ἐκ αὐτὴ δὲ νεότης ἔτω ἠβάσκησα εἰ καί τι ἄλλο, ἀθένεια καθεζῶσα τῆς τεκνώσεως; καὶ τὸ παράδοξον, εἰ μὴ τῷ συνήθει τὴν ἔκπληξιν διεκλέπλετο, ὅτι δι' ἧς ἔρχεταί τις εἶναι πατὴρ, αὐτὴ τέως ἐκ ἐᾷ γενέσθαι πατέρα. τί ἔν; τὰ πάθη νικᾷ τὴν φύσιν, εἰ μή τι ἄλλο πάθος καὶ περίτλωμα ταύτης ὄν· ἡ δὲ χάρις ἣν ἔπλασεν ὃ βελτιοῖ φύσιν; τὸ γῆρας ψύχον, τῆς γονῆς ἀναζηραίνει τὰς πηγάς, καὶ ὁ πλάσης θάλπων ἐκ ἀρδεύει τὸ γεγηρακός; ἐκεῖνα πρὸς ἃ μήπω κατηνέχθη, καὶ τῷ καιρῷ μήπω παραξάντος, καὶ χειρόνων ὄντων πρὸς ἃ καθέλκεται, φέρει ὅμως εὐμαρῶς· ὁ δὲ πλάσης, ἐν οἷς ἐξ ἀρχῆς ὅροις ἔσησεν, ἐκ ἐπανάγει θέλων εὐχερῶς; ἀπιστεῖς τοῖς εἰρημένοις; καλῶς γε ποιῶν· ὃ γὰρ ἔμοιγε, ὃ πολλοῦ δεῖ τῶν σεμνῶν σε ταῦτα μεταπλάσεων, ἃς ἐγώ σοι ἀριθμήσομαι· μᾶλλον δὲ σόν ἐστι καταλέγειν ταῦτα, ἵν' ἔχῃς πλέον ἐν τοῖς σοι βιωφελεστάτοις ἀφηγήμασιν ἡμῶν κατεπαίρεσθαι.

Λέγε τὰς ἐξ ἀνθρώπων αἰγείρους· ὧν ἀπορρεῖ τῶν ὀμμάτων ἡ τοῦ μύθου ἤλεκτρος, ἀφ' ἧ σὺ πλουτεῖς τὴν εὐήθειαν· ἀρίθμει καὶ τὰς δάφνας, καὶ τὰς φοίνικας· τὰς ἀηδόνας, καὶ τὰς χελιδόνας· τοὺς ᾠδικοὺς σε κύκνους, καὶ τὰς ἀλκύονας, καὶ τὰς φιλανθρώπους σε δελφῖνας. ὕμνει σε τὰς ἀνδρογύνους Τειρεσίας, ἵνα θεῶν ἔριν, ἀξίαν τῆς ἐκείνων ἀσελγείας διαλύωσιν· οἱ πλέον τὴν ἡδονὴν ἐπιμετρησάμενοι τῇ θεῷ, εἰς κακὸν τῆς παῤῥησίας ἀπώναντο. βάλλει σοι προσαναμνήσω τοὺς ποντοπόρους ταύρους, κόρης δυσυχοῦς οἰκειζομένους ἔρωτι; καὶ τὰς μακρὰς ἀποδημίας· καὶ τὰς πολλὰς περιόδους· καὶ τὰς ποῤῥωτάτω τοῦ Ὀλύμπου διαλιβάς; σιγῶ τ' ἄλλα· ὧδε γὰρ ὧδε προσήκει μίαν πίστεως πλάνης συνανακιρνᾶσθαι βόρβορον· ἢ τὰς τῆς εὐσεβείας αὐγὰς τῷ βαθεῖ τῆς ἀσεβείας ζόφῳ καθυβρίζεσθαι. διὸ τοῖς μακροῖς ὕθλοις καὶ μύθοις μακρὰ χαίρειν εἰπόντες, καὶ τοὺς ἐπλουμένους περὶ ταῦτα τῆς παρανοίας ἐλεεῖλες, καὶ μισοῦλες τῆς ἀλαζονείας, ἐπὶ τὸν ἐξαρχῆς τοῦ λόγου δρόμον καὶ δὴ ἰθυνώμεθα.

Πάλαι

Πάλαι τοιγαρῦν τῆς ἀνθρωπίνης Φύσεως τῶν προγονικῶν ἁμαρτημάτων τῷ κράτει δεδελωμένης, ὁ τῆς ἀπογόνου τόκος τὸν καθαιρέτην τέτων ὑποσαλπίζων, ἀνενεγκεῖν τῆς τυραννίδος καὶ ἀπαλλαγῆναι τῆς δελείας λαμπρὰ παρείχελο τὰ συνθήματα. Διὸ καὶ Ἀδὰμ σὺν τῇ Εὔᾳ τὲς παλαιὲς ἐκείνες τῆς παραβάσεως ἀποκαθηράμενοι μολυσμὲς, καὶ τὸ τῆς καλῃφείας ἀποσκευασάμενοι σκυθρωπὸν, ἐλευθέρᾳ καὶ φωνῇ καὶ ὄψει, τὴν παρθενικὴν χοροσατᾶσι πανήγυριν χαίρουλες· μᾶλλον δὲ κορυφαῖοι ταύτης καθεζηκότες. δι' ὧν γὰρ ἡ τῆς ἁμαρτίας σπορὰ ὅλῳ παραφυεῖσα τῷ γένει, καὶ τᾶτο νοθεύσατα· ἔτοι μᾶλλον ταύτης ἀπορριζωμένης, κατάρχειν τῆς χαρᾶς καὶ τῆς χοροσασίας, καὶ μελέρχεθαι καὶ συγκαλεῖν τὲς ἐξ αὐτῶν πεφυκότας, τυγχάνεσι δίκαιοι. καὶ γὰρ διὰ πάντων μὲν ἀπὸ τῶν πρώτως παραζεβηκότων, τᾶ τῆς παραπλώσεως ἀρρωτήματος μεταῤῥυέντος· πάντων δὲ τῆς ὁμοίας θεραπείας ἐπιδεομένων· τῆς δὲ παγκοσμίε σωτηρίας σήμερον τῷ τῆς παρθένε τόκῳ θεμελιωμένης, κοινὴν μὲν καὶ παγγενῆ προσῆκε συνήσαθαι τὴν πανήγυριν· δημοτελεῖς δὲ καὶ ὑπερκοσμίες τὰς εὐχαριτηρίες ᾠδὰς ἀνακρέσαθαι. ὑπερκόσμιον γὰρ ἀπαιτεῖ τὴν εὐχαριτίαν, τὸ τῆς σωτηρίας παγκόσμιον.

Ἀναπέμψωμεν εὐχαριτηρίες ᾠδὰς, ὅτι Ἀδὰμ ἀναπλάττεται, καὶ ἡ Εὔα ἀνακαινίζεται, καὶ ἡ ἀρὰ διαλύεται· καὶ ἡ Φύσις ἡμῶν τὸ νεκρὸν τῆς ἁμαρτίας καὶ δερμάτινον ἀποδυσαμένη πρόσωπον, ἐπὶ τὸ ἀρχαῖον τῆς δεσποτικῆς εἰκόνος ἀναμορφᾶται ἀξίωμα. ἀναπέμψωμεν εὐχαριτηρίες ᾠδὰς, καὶ χορὲς παυδήμες συνησώμεθα, ὅτι κόλπων ἀγόνων παρθένος προκύπτεσα, τὴν ἄγονον μήτραν ἁγιάζει τῆς Φύσεως, εἰς ἀρετῶν εὐκαρπίαν τὸ ταύτης ἄκαρπον ἐγκεντρίζεσα. δι' ὧν γὰρ τῷ δεσπότῃ πάντων καὶ γεωργῷ, τὰ τῶν ἀχράντων αὐτῆς αἱμάτων ῥεῖθρα εἰς ἀρδείαν ὅλε καταξηρανθέντος ἔχρησε τᾶ φυράματος, τέτοις εἰκότως καὶ τῆς καρποφορίας εὐλογίαν ἀναδέχελαι. ἡ κλίμαξ ἡ πρὸς ἐρανὲς ἀναφέρεσα καλαρτίζεται, καὶ ἡ γενικὰ Φύσις τῶν οἰκείων ὁρῶν ὑπεραλομένη, πρὸς τὰς ἐρανίες μονὰς ἐνοικίζελαι. ὁ δεσποτικὸς θρόνος ἐπὶ γῆς ἑτοιμάζεται, καὶ τὰ ἐπίγεια ἁγιάζεται, καὶ τὰ τῶν ἐρανῶν ἡμῖν συναγελάζελαι τάγματα· καὶ ὁ πονηρὸς καὶ πρώτως ἡμᾶς ἀπατήσας, καὶ τῆς καθ' ἡμῶν ἐπιβελῆς ἀρχιτέκλων γενόμενος, τῶν δόλων αὐτᾶ καὶ τῶν μηχανημάτων ὑποσαθρεμένων, τὴν ἰσχὺν περιθραύελαι.

Τίς ἰσχύσει Θεᾶ θαυμάσια διηγήσασθαι; ποῖος δὲ λόγος ἐκφράσει τὰ ὑπὲρ λόγων τὴν δύναμιν; πῶς δὲ νῆς ἅπας ἐναρκήσει, τῷ μεγέθει τῶν ἔργων συμπαρατεινόμενος τὴν κατάληψιν; ἔπλασε τὸν ἄνθρωπον καταρχὰς ὁ Θεὸς, ἁφάτῳ φιλανθρωπίας πλότῳ κινέμενος· χειρὸς οἰκείας πλάσμα, καὶ εἰκόνα φέρειν χαριτώσας τᾶ πλάσαντος· ὧν τὸ μὲν τῆς σαρκὸς, τὸ δὲ τᾶ πνεύματος ἐδίδε δηλᾶν τὴν εὐγένειαν· παραδείσου δὲ χρῆμα τερπνὸν καὶ ἐπέρασον, κατὰ ἀνατολὰς πεφύτευτο, λειμώνων μὲν ἁμαράντοις καταπνεόμενος ἄνθεσι·

Φυτῶν

Φυτῶν δὲ καρποῖς ὡραίοις καὶ παντοδαποῖς ἐνευθηνέμενος· καὶ ποταμοὶ μέσοι ῥέοντες, καὶ καθαρῷ τῷ ῥείθρῳ τὸ πρόσωπον τῆς πεδίας καταρδεύοντες, ἀμήχανόν τινα τῇ χωρίᾳ τὴν ὡραιότητα κατεσκεύαζον. ἐν τούτῳ τῆς δεσποτικῆς παλάμης ὁ πλάστης ἐγκατοικίζει τὸ φιλοτέχνημα· πάντων μὲν δεσπότην καθιστησάμενος· πᾶσι δὲ τοῖς ἀγαθοῖς ἀφθόνως δείξας περιῤῥεόμενον. ἔπειτα δὲ σύνοικον ἐκ πλευρᾶς ἀφράστῳ τόκῳ μαιευσάμενος ὑπεσήσατο, ἵνα ἐξ ὅπερ ἐλήφθη, κεφαλὴν γινώσκῃ τὸν δανείσαντα, καὶ πρὸς ἐκεῖνον ἀφορῶσα εἴη, συλλογιζομένη τὸ ὑπόχρεον· καὶ τῷ συνδέσμῳ τῆς φύσεως, ὁ τῆς ὁμονοίας αὐτοῖς ἐμπολιτεύοιτο σύνδεσμος.

Ἀλλά γε πάντων τῶν ἐν παραδείσῳ τὴν ἀπόλαυσιν καὶ δεσποτείαν χαρισάμενος, ἐπείπερ ἔδει καὶ ἐντολῇ τινι παιδαγωγηθῆναι καὶ ἐγγυμνασθῆναι, τὸν τηλικαύτης καὶ τοσαύτης ἐξουσίας καταπιστευθέντα τὸ μέγεθος, εἰσφέρει νόμον αὐτῷ, καθ' ὃν ἔστε χαλεπὸν ἐμπολιτεύσασθαι, ἔστε ῥᾷον διόλου φυλάξασθαι· δι' ὧν τό γε ἔμμισθον ἢ τὸ ὑπόδικον ἐξεβεβεύετο. Φυτὸν γάρ τι τῶν ἀνθέντων ὡραιότητα τῷ λόγῳ τῶν ἄλλων ἀφορισάμενος, τοῦτο μὴ φαγεῖν μόνα τὴν ἐντολὴν παρεῖχεν ἀποθεσπίζουσαν. θηρίον δὲ πονηρὸν καὶ ἀρχέκακον, ὃν ἡ πρᾶξις διάβολον ἐπωνόμασεν, ἐξ αὐτῆς πλάσεως ἐποφθαλμίσας τὸν ἄνθρωπον, ἄλλῳ θηρίῳ τῶν ἑρπόντων ὀργάνῳ χρησάμενος, καὶ τῇ γυναικὶ προσομιλήσας ἐπαγωγὰ καὶ θελκτήρια, καὶ πολὺ τῷ νομοθέτῃ κατασκεδάσας τὸ βλάσφημον, πείθει τὴν γυναῖκα, καὶ δι' αὐτῆς τὸν ὁμόζυγα, τῆς μὲν ἐντολῆς κατολιγωρῆσαι· φαγεῖν δὲ ἃ μὴ φαγεῖν ἐτεθέσπιστο. οἱ δὲ, ἅμα τε τὸ προσταχθὲν ὑπερέβαινον, καὶ πάντων τῶν χαρισμάτων διεξέπιπλον· ὅπερ ἦν τῷ ἐπιβουλεύοντι σπέδασμα. εἰς τοῦτο γὰρ αὐτῷ σύμπαν καλεσκεύαστο τὸ μηχάνημα· κἀντεῦθεν ἀπὸ τῶν προγόνων εἰς τοὺς ἀπογόνους κατασπειρόμενα τῷ παραπλώματος, ὅλον ἡμῶν τὸ γένος ὁ ἐπιβουλεύσας ὑπὸ χεῖρα εἶχε δουλωσάμενος.

Τί δ' ἦν ὁ πλάστης καὶ κηδεμών; ἆρα παρεῖδεν εἰς τέλος τὸ πλάσμα ταλαιπωρούμενον, καὶ τοσαύτῃ πλάνῃ βυθιζόμενον, καὶ καθεκάστην τοῖς πάθεσιν ἀνδραποδιζόμενον; ἔμενεν. πῶς γὰρ ὅπερ φιλοτιμούμενος ἔπλασεν, ἠνέχετ' ἂν ἡδέως ὁρᾶν συλαγωγούμενον καὶ πλανώμενον. διὸ πρὸς ἑαυτὴν μὲν ἡ τῆς Τριάδος ἑνότης, εἰ θέμις εἰπεῖν, ἐκκλησιάσασα· θέμις δὲ τοῦτο λέγειν ἐπὶ τῆς ἀναπλάσεως, ὅτι καὶ τὸ, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν, ἐπὶ τῆς πλάσεως εἴρηται· τῷ ἐνιαίῳ τῆς γνώμης βουλήματι, τὴν ἀνάπλασιν τῷ συντριβέντος διετίθετο πλάσματος. ἡ δὲ, χαλεπῶς γὰρ τὸ ἀνθρώπινον ἐξηγριώθη καὶ ἐξημιώθη, ἔστε ἀπειλαῖς, ἔστε ποιναῖς, ἔστε νόμοις, ἔστε προφήταις ἐπαναγόμενον, ἄνθρωπον ἐζήτει τῆς αὐτῆς ἡμῖν λαχόντα φύσεως, ἐν ᾧ τῆς νομοθεσίας ἐνῆν ἰδεῖν ἀπαράβατον τὴν συντήρησιν· ὡς ἂν ἔχοι τε τὸ ἀνθρώπινον, οἷς ὁρᾷ τὸ ὁμογενὲς πολιτευόμενον, ἐκμιμεῖσθαι τὸ ὁμόφυλον· καὶ ἵνα, δι' ἃ τὸ καθ' ἡμῶν κράτος ὁ τὰς μηχανὰς ῥαψάμενος ἀνεδή-

ἀνεθήσαλο, διὰ τέτο καθαιρεθείη τῆς κυρείας, ἐννόμῳ νίκῃ καὶ ἀγωνίσματι.

Οὐκῶν ἔδει τινὰ τὸν τῆς Τριάδος εἰς ἀνθρώπες τελέσαι, ἵν' ἥσπερ ἦν τὸ πλασέργημα, ταύτης ὑπάρχον ὀφθείη καὶ τὸ ἀνάπλασμα. ἐκεῖνον δὲ πάντως υἱὸν ἔδει κάτω χρηματίσαι, καὶ μὴ καθυβρίσαι τὸ ἄνω ἀξίωμα, τὸν ἐξ αἰδίε τέτο καὶ ὄνλα καὶ δοξαζόμενον. τελεῖν δὲ εἰς ἀνθρώπων υἱὸς, ὃκ ἂν ἐγχωρῶν εἴη χωρὶς γε σαρκώσεως. σάρκωσις γὰρ, ὁδὸς ἐπὶ γέννησιν· γέννησις δὲ, κυοφορίας ὑπάρχει συμπέρασμα. ἡ δὲ, μητέρα συμπεριγράφσα, τὴν ἑτοιμασίαν ταύτης εἰκότως ἀπαιτεῖ προκαλαβάλλεθαι. μητέρα ἔδει κάτω διευρεπισθῆναι τῇ πλάσῃ εἰς τὸ, τὸ συντριβὲν ἀναπλάσαθαι· καὶ ταύτην παρθένον, ἵν' ὥσπερ ἐκ παρθένε γῆς ὁ πρῶτος ἄνθρωπος διεπέπλασο, ἕτω διὰ παρθένε μήτρας πραγματευθῇ ἡ ἀνάπλασις· καὶ ἵνα μηδεμία μηδ' ἐννόμε πάροδος ἡδονῆς, μηδ' ἐπινοηθείη τῷ τόκῳ τῆ κτίσαντος. ἡδονῆς γὰρ ἦν ἀνχμάλωτος, ὃν ὁ Δεσπότης ἐλευθερῶσαι τὴν γέννησιν καλεδέξατο. ἀλλὰ τίς ἀξία χρηματίσαι τῇ μυσηρίῳ διάκονος; τίς ἀξία μήτηρ γενέσθαι Θεῦ, καὶ σάρκα δανεῖσαι τῷ πλατῦντι τὰ σύμπαντα. τίς ἔν ἀξία; ἢ δῆλον ὅτι αὕτη ἡ ἐξ Ἰωακεὶμ καὶ Ἄννης τῆς ἀκάρπε ῥίζης παραδόξως βλασήσασα σήμερον; ἧς ἡμεῖς λαμπρῶς ἑορτάζομεν τὰ γενέθλια, καὶ ἧς ὁ τόκος, τῇ μεγίσῃ μυσηρίῳ, τῆς ἐν σαρκὶ Φημι τῇ Λόγῳ γεννήσεως, τὸ θαῦμα προοιμιάζεται· καὶ δι' ἣν ἡ πάνδημος αὕτη καὶ θεία πανήγυρις συγκεκρότηται.

Ἔδει γὰρ, ἔδει, τὴν ἐξ αὐτῶν σπαργάνων, ἁγνὸν μὲν τὸ σῶμα, ἁγνὴν δὲ τὴν ψυχὴν, ἁγνὲς δὲ τὲς λογισμὲς, κρεῖτον ἢ λόγῳ συντηρήσασαν, μητέρα ταύτην προορισθῆναι τῇ πλάσαντος. ἔδει τὴν ἐν Βρέφες ναῷ προσαχθεῖσαν, καὶ τοῖς ἁβάτοις τόποις ἐμβαίευσασαν, ἔμψυχον ναὸν ὀφθῆναι τῇ ταύτην ψυχώσαντος. ἔδει τὴν ἐξ ἀγόνων λαγόνων παραδόξῳ λόγῳ τεχθεῖσαν, καὶ τὸ τῶν τεκόντων περιελομένην ὄνειδος, καὶ τῶν προπαλόρων ἀνακαλέσαθαι τὸ ἐλάτλωμα. ἀνασώσαθαι γὰρ ἔχε τὸ προγονικὸν ἡ ἀπόγονος ἧτημα, τὸν σωτῆρα τῇ γένες ἀνάνδρῳ τόκῳ γεννησαμένη, καὶ τῆτον σωματεργήσασα. ἔδει τὴν τῷ κάλλει τῆς ψυχῆς ἑαυτὴν ὡραίως ἐμμορφώσασαν, λογάδα νύμφην ἐμφανισθῆναι τῷ ἐρανίῳ νυμφίῳ ἐμπρέπεσαν. ἔδει τὴν τῶν ἀρετῶν τοῖς τρόποις ὡς ἄστροις ἑαυτὴν ἐρανώσασαν, τὸν τῆς δικαιοσύνης ἀνίσχοσαν ἥλιον, πᾶσι τοῖς πισοῖς ἐπιγνωσθῆναι. ἔδει τὴν καθάπαξ ἑαυτὴν τῶν παρθενικῶν αἱμάτων τῇ βαφῇ πορφυρώσασαν, εἰς ἀλεργίδα χρηματίσαι τῇ παμβασιλέως. ὦ τῇ θαύματος. ὃν ἡ σύμπασα κτίσις ἐ χωρεῖ, ἡ παρθενικὴ γασὴρ ἀσενοχωρήτως κυοφορεῖ. ὃν τὰ Χερεβὶμ ἀτενίζειν ἐ τολμᾷ, πτλίναις χερσὶν ἡ παρθένος ἀγκαλοφορεῖ. τὸ ὄρος τὸ ἅγιον, ἐκ τῆς ἐρήμε καὶ ἀγόνε μήτρας προέρχεται, ἐξ ἧ τμηθεὶς ἄνευ χειρῶν λίθος ἔντιμος ἀκρογωνιαῖος Χριτὸς ὁ Θεὸς ἡμῶν, τὰ τῶν δαιμόνων τεμένη, καὶ τὰ τῇ ἅδε βασίλεια, αὐτῇ τυραννίδι συνέτριψεν. ὁ ἔμψυχος καὶ ἐράνιος ἐπὶ γῆς χαλκεύεται κλίβανος, ἐν ᾧ ὁ

πλάσης τὸ ἐμὸ Φυράμαλος τῷ θείῳ πύρι τὴν ἀπαρχὴν ὁπλησάμενος, καὶ τὴν τῶν ζιζανίων ἐπισπορὰν συμφλεξάμενος, ὅλον ἑαυτῷ καθαρὸν ἀρτοποιεῖται τὸ φύραμα.

Ἀλλὰ τί ἄν τις εἴποι, τί δ' ἂν ἄν τις πάθοι, τῶν τῆς παρθένε χαρισμάτων καὶ κατορθωμάτων διαπλέων τὸ πέλαγος; δειλιᾷ καὶ χαίρει, καὶ ἠρεμεῖ καὶ ἐξάλλεται, καὶ πάλιν σιγᾷ καὶ ἀναφθέγγεται, καὶ συσέλλεται καὶ πλαθύνεται· τὰ μὲν τῷ φόβῳ, τὰ δὲ τῷ πόθῳ συμμεθελκόμενος. ἐγὼ δ' ἐμαυτὸν τῷ πόθῳ μᾶλλον, ἢ τῷ φόβῳ νυνὶ χαρισάμενος, ἡδέως ἄν, εὖ ἴσε, καὶ πολλῶ ῥέων ἡμῖν ἐπέσην· εἰ καὶ ἀχρήσῳ τὸ λόγε τῷ ῥεύματι, τῶν παρθενικῶν θαυμάτων ἐλλιμνάζειν ἐμοὶ καὶ πλημμύρειν παρεχομένων· μάλιστά γε καὶ ὑμᾶς ὁρῶν προθύμως μὲν τὰς ἀκοὰς ἀναπεταννύντας, ὅλον δὲ τὸν νῶν πρὸς τὴν εὐφημίαν τῆς ἀειπαρθένε ἀνατεινομένες· καὶ ἅμα ἀφοσιέμενος, εἴ τι ἐγὼ τετελεσμένος τοῖς παρθενικοῖς ὀργίοις καθέσηκα. ἀλλ' ὅμως ὁ καιρὸς ἐπ' ἄλλα παρακαλεῖ, ἐπ' ἄλλην τιμὴν τῆς παρθένε, τῆς μυστικῆς φημι καὶ ἀναιμάκτε θυσίας ἀπάρξασθαι. τιμὴ γὰρ μητρὸς, ἡ τῶν ἑκουσίων τοῦ υἱῦ παθημάτων ἀνάμνησις· ἐφ' ἧν μεθελκόμεθα, καὶ ἣν ἐπικαιρότατον ἱερᾶσασθαι.

Ἀλλὰ σὺ, ὦ παρθένε καὶ μήτηρ τῦ Λόγε, τὸ ἐμὸν ἱλαστήριον καὶ προσφύγιον· ἡ παραδόξως μὲν ἐκ χειρὸς γεωργηθεῖσα, παραδοξότερον δὲ τὸν σάρκυν τῆς ζωῆς ἡμῖν καρποφορήσασα, πρὸς τὸν σὸν υἱὸν καὶ Θεὸν ἡμῶν διαπρεσβευομένη καὶ μεσιτεύσα, τὰς σὰς ὑμνητὰς παντὸς ῥύπε καὶ παντὸς ἀποσμηξαμένας μολύσματος, τῷ ἐρανίῳ νυμφῶνος ἀξίας ἀναδεῖξον, εἰς αἴδιον λῆξιν τῷ τῆς ὑπερσοῖε Τριάδος τρισσῷ φωτὶ καταυγαζομένας, καὶ ταῖς ταύτης ἐνδυφῶσαις ὑπερφυέσι καὶ ἀφθέγκλοις θεάμασιν· ἐν Χριστῷ Ἰησῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τὲς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΦΩΤΙΟΥ

ΦΩΤΙΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΕΚΦΡΑΣΙΣ ΤΗΣ ΕΝ ΤΟΙΣ ΒΑΣΙΛΕΙΟΙΣ ΝΕΑΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ ΥΠΟ ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΑΚΕΔΟΝΟΣ ΟΙΚΟΔΟΜΗΘΕΙΣΗΣ.

Φαιδρὸν ὁρῶ τῆς παρούσης ἡμέρας τὸν σύλλογον, καὶ οἷον ἐκ-άν τις ἀνθρωπίνῳ σπουδάσματι καὶ χωρὶς θείας συγκροτῆσαι ῥοπῆς κατιδεῖν. διὸ καὶ τερπνὰ τῆς χάριτος ὑποδέχομαι τὰ χαρίσματα, καὶ τῷ Χριστῷ ποιμνίῳ ἐνευθηνημένῳ καὶ χαίρουσι συναγελαζόμενος ἐπαγάλλομαι· ἃ μέχρις ἡμῶν περιγραφομένην τὴν τερπνότητα καὶ θυμηδίαν τῆς πανηγύρεως ἐπισάμενος, ἀλλ' εἰς αὐτὸν τὸν κοινὸν Δεσπότην ἀναφερομένην εἰδὼς τὴν σεβασμιότητα. λαμπρότης γὰρ πανηγύρεως, ὅσον ἡμῶν τῶν πανηγυριζόντων σὸ σεμνολόγημα, τοσοῦτον τῆς δεσποτικῆς ἀγάπης ἐναργῆ παρέχεται τὰ γνωρίσματα. ὅταν δὲ μηδὲ τῶν ἐτησίως καὶ συνήθως ἐπιτελουμένων εἴη τὴν ἀνάμνησιν ἑορτάζουσα, ἀλλὰ καινήν τινα καὶ ἀρτιφανῆ τὴν εἰς Θεὸν τιμὴν ἐγκαινίζουσα, πῶς ἃ μᾶλλον ἔτι καὶ τὸν θεῖον ἔρωτα ἀναδεικνυμένη ἐκπυρεύοντα, καὶ τὴν τῶν ἑορταζόντων κοσμιότητα καὶ τὸ κλέος ἐπιπλέον ἀναπτύσσουσα. ἀλλὰ τίς ἡ τοσαύτη τοῦ πλήθους συνδρομὴ καὶ συνέλευσις; τίς ἡ πανήγυρις; τί τὸ συγκαλέσαν καὶ συγκινῆσαν ἡμᾶς ἅπαντας; βούλεσθε εἴπω; ἢ καλὸν ἐκείνῳ παραχωρῆσαι καὶ εἰπεῖν καὶ διδάξαι τῆς πανηγύρεως τὴν ὑπόθεσιν, τῷ χορηγῷ τε ἅμα ταύτης καὶ σοφῷ γε ἀρχιτέκτονι; ἐκεῖνος καὶ ἱκανὸς λόγοις παραστῆσαι τὸ προκείμενον, ὃς τοὺς τύπους τῶν πραγμάτων ἐν τῇ ψυχῇ προενθέμενος, ἀμίμητον ἔργον ἐπὶ γῆς πανσόφως ὑπεστήσατο.

Λέγε τοιγαροῦν ἡμῖν, ὦ βασιλέων φιλοχριστότατε καὶ θεοφιλέστατε, καὶ πάντας τοὺς ἔμπροσθεν νικῶν τε ἅμα καὶ λαμπρῶς φαιδρύνων τῇ κοινωνίᾳ τοῦ ἀξιώματος. λέγε προθύμως, ὡς ὁρᾷς, τοὺς ἀκουομένους ἔχων, ἐφ' ὅπερ ἡμᾶς συνεκάλεσας. δεῖξον τοῖς λόγοις, ἃ τοῖς ἔργοις προϋπέδειξας. ἆρα γὰρ πάλιν κατὰ βαρβάρων νίκας ἀναστήσας καὶ τρόπαια, οἷς πολλάκις ἄλλοις ἐπ' ἄλλοις ἡμᾶς ἐδεξιώσω φιλοφρονούμενος, ἐπὶ τούτοις συνήγειρας, εὐφραίνῃ τε ἅμα καὶ τῷ δεδωκότι κοινὴν καὶ πάνδημον ἀναπέμψαι τὴν εὐχαριστίαν. ἢ λαβὼν ὑποσπόνδους ἄλλους, καὶ ταπεινώσας ὑψηλὸν καὶ γαῦρον καὶ ἀλλόφυλον

φρόνημα, ὡς ἐπὶ τὴν κραταιὰν χεῖρα τῦ Θεῦ εὐσεβοφρόνως ἀναφέρων πάντα τὰ σοὶ κατορθώμενα· ἢ πόλεις ὑπηκόους, τὰς μὲν πάλαι κατακειμένας ἀνορθώσας, τὰς δὲ καὶ ἐκ βάθρων αὐτῶν ἀνεγείρεις, καὶ ἄλλων ἀνοικισμὸς ἐργασάμενος, καὶ τῆς πολιτείας πυκνώσας τὰ ὅρια· ἢ πλετῶν, καὶ ποιῶν εὐδαίμονας τὸ ὑπήκοον. δίδαξον ἡμᾶς, πρὸς σὲ τὸν κοινὴν τῆς οἰκουμένης ἀφορῶντας ὀφθαλμὸν, ἐπὶ τίνι τῶν ἡμᾶς συνεκάλεσας; ἢ σιγᾶς μὲν αὐτὸς ἐπιεικείας τρόπω, καὶ τῷ μὴ βέλεσθαί σε τὰ σὰ ἡμῖν διηγεῖσθαι κατορθώματα, οἷς ἀνάγκη τὸς ἐπαίνες συνυφαίνεσθαι· ἐμὲ δὲ παρέχεις ὑπηχῆσαι τῷ λόγῳ τοῖς σοῖς ἔργοις ἐμπνεόμενον, τὸ παρόντος συλλόγυ τὸ αἴτιον.

Ἄλλη τοιγαρῦν, ὦ φίλοι, τελετὴ, καὶ ἄλλο μυστήριον σήμερον. ναὸς παρθενικὸς ἐπὶ γῆς ἐγκαινίζεται σήμερον, καὶ τῆς Θεομήτορος εἴπερ ἄλλο τι τῶν ἐγκοσμίων ἐπάξιον οἰκητήριον. ναὸς παρθενικὸς ἐπὶ γῆς ἐγκαινίζεται σήμερον, βασιλικῆς μεγαλοπρεπείας ἔργον, ὡς ἀληθῶς πολυύμνητον. ναὸς ἐν μέσοις αὐτοῖς ἀνακτόρεσι, ἀνάκτορον ἄλλο θεῖον καὶ σεβάσμιον ἀνισάμενος, καὶ τῇ πρὸς αὐτὸ παραβολῇ καὶ συγκρίσει, ἰδιωτικὰς οἰκίας ἀποφαίνων τὰ ἀνάκτορα· μᾶλλον δὲ καὶ τῇ ἐνέσῃ λαμπρότητι καὶ ταῦτα περιαστράπτων καὶ φαιδρύνων, καὶ πολὺ παρασκευάζων τῷ προτέρῳ κόσμῳ σεμνότερα. εἴποις ἂν εἰς αὐτὸν ἰδὼν, ἐκ ἀνθρωπίνης χειρὸς ἔργον, ἀλλὰ θείαν τινὰ καὶ ὑπὲρ ἡμᾶς δύναμιν τὸ κάλλος αὐτῷ ἐπιμορφώσασθαι. προπύλαια μὲν γὰρ τῷ ναῷ περικαλλῆ διεσκεύασαι. καὶ γὰρ μαρμάρων διαλεύκων πλάκες λαμπρόν τι καὶ χαρίεν ἀποσίλβουσαι, ὅλην ἐναπολάβουσαι τὴν πρόσοψιν, καὶ τὴν πρὸς ἀλλήλας θέσιν, καὶ τὴν τῶν περάτων συναφειαν τῷ ὁμαλῷ καὶ λείῳ καὶ τῷ προσηρμόσθαι λίαν ἀποκρύψασαι, εἰς ἑνὸς λίθυ συνέχειαν γραμμαῖς εὐθείαις ὥσπερ ἐπιγεγραμμένυ, θαῦμα καινὸν ὁραθῆναι καὶ ἡδιστον, τὴν τῶν ὁρώντων φαντασίαν ὑπάγυσιν. ἐξ ὕπερ τὰς ὄψεις συνέχυσαι, καὶ πρὸς ἑαυτὰς ἐπισρέφυσαι, ἐκ ἐθέλειν ποιῦσι τὸν θεωτὴν μεταχωρῆσαι πρὸς τὰ ἐνδότερα· ἀλλ' ἐν αὐτῷ τῷ προτεμενίσματι τῦ καλῦ θεάματος ὁ προσιὼν ἐμπιπλάμενος, καὶ τοῖς ὁρωμένοις ἐρείδων τὰ ὄμματα, ὥσπέρ τις ἐρριζωμένος τῷ θαύματι ἔσηκεν. Ὀρφεῖ μὲν οἱ μῦθοι τῷ Θρακὶ κηθάραν κροτῦσι, κινῦσαν τοῖς φθόγγοις τὰ ἄψυχα. εἰ δὲ καὶ ἡμῖν ἐξῆν εἰς μύθυς ἐπαίρειν καὶ φοβερὰν ποιεῖν τὴν ἀλήθειαν, εἶπεν ἄν τις, τὺς προσιόντας τῷ προτεμενίσματι, εἰς φυτῶν ἀποδενδρεμένυς φύσιν τῷ θαύματι μεταβαλλεσθαι· ἔτως ἅπαξ τις ἰδὼν δυσαποσπάσως κατέχεται.

Ἐπειδὰν δέ τις ἐκεῖθεν μόλις ἀποσπασθεὶς εἰς αὐτὸ παρακύψῃ τὸ τέμενος, ἡλίκης καὶ ὅσης ἔτος χαρᾶς τε ἅμα καὶ ταραχῆς καὶ θαύματος ἐμπίπλαται. ὡς εἰς αὐτὸν γὰρ τὸν ἐρανὸν ἐπιπροσθέντος μηδαμόθεν ἐπιβεβηκὼς, καὶ τοῖς πολυμόρφοις καὶ πανταχόθεν ὑποφαινομένοις κάλλεσιν, ὡς ἄσρεσι, περιλαμπόμενος, ὅλος ἐκπεπληγμένος γίνεται. δοκεῖ δὲ λοιπὸν τά τε ἄλλα ἐν ἐκτάσει εἶναι, καὶ αὐτὸ περιδονεῖσθαι τὸ τέμενος.

τέμενος. ταῖς γὰρ οἰκείαις καὶ παντοδαπαῖς περιτροφαῖς, καὶ συνεχέσι κινήσεσιν· ἃ πάντως παθεῖν τὸν θεατὴν ἡ παύλαχόθεν ποικιλία βιάζεται τοῦ θεάματος· εἰς αὐτὸ τὸ ὁρώμενον τὸ οἰκεῖον φαντάζεται πάθημα.

Ἀλλὰ γὰρ χρυσός τε καὶ ἄργυρος τὰ πλεῖστα τῶ ναῶ διειλήφασιν· ὁ μὲν ψηφῖσιν ὑπαλειφόμενος, ὁ δὲ εἰς πλάκας ἀποξεόμενος καὶ τυπέμενος, ἄλλος ἄλλοις ἐπιπλασσόμενος μέρεσιν. ἐνταῦθα ἐπικοσμούμενα κιονόκρανα, ἐνταῦθα δὲ διὰ χρυσῶν περιζώματα· ἀλλαχόθι δὲ ταῖς αὐλύσεσιν ἐπιπλεκόμενος χρυσὸς, ἢ χρυσῆ τι θαυμασιώτερον, ἡ θεία τράπεζα, σύνθημα. ἄργυρος δὲ παρὰ τὰς πυλίδας καὶ συλίδας τῆ θυσιαστηρίῳ, σὺν τοῖς περιστώοις· καὶ αὐτὸς ὁ κωνοειδὴς καὶ τῆ θείᾳ τραπέζᾳ ἐπικείμενος σὺν τοῖς ὑπερείδουσι συλίσκοις καὶ ὑπωρόφοις ὄροφος, καὶ μαρμάρων δὲ πολυχρώμων ὅσα μὴ χρυσὸς ἐπέδραμεν, ἢ ἄργυρος περιέλαβεν, ἁμήχανόν τε καὶ τερπνὸν φιλοτέχνημα, τὰ λοιπὰ τῆ ναῆ διεκόσμησεν. ἡ δὲ τῆ ἐδάφους θέα, εἰς ζώων μορφὰς καὶ σχημάτων ἄλλας ἰδέας ταῖς πολυμόρφοις ψηφῖσι διαμορφωθεῖσα, θαυμαστήν τινα τῆ τεχνίτῃ τὴν σοφίαν παρεσήσαλο, παῖδας ὡς ἀληθῶς καὶ πλασμάτων πλάστας τὸν Φειδίαν ἐκεῖνον καὶ Παρασίους καὶ Πραξιτέλεις καὶ Ζεύξιδας ἐν τῆ τέχνῃ ἐπελέγξασα. Δημόκριτος εἶπεν ἄν, οἶμαι, τὴν τῆ ἐδάφους λεπτουργίαν ἐνιδὼν, καὶ ταύτῃ τεκμηρίῳ χρώμενος, μὴ ἂν πόρρω εἶναι τὸ μὴ ἀχὶ καὶ τὰς ἀτόμους αὐτῆ καὶ ὑπ' ὄψιν πιπλάσας ἀνευρῆθαι· ἔτω πάντα πεπλήρωται θαύματος. ἑνὶ δέ μοι δοκεῖ μόνον ὁ τῆ τεμένους ἀρχιτέκτων διημαρτηκέναι, ὅτιπερ εἰς ἕνα καὶ τὸν αὐτὸν χῶρον ἅμα πάντα συλλέξας τὰ κάλλη, ἐκ ἐᾷ τὸν θεατὴν καθαρῶς ἐντρυφῆσαι τῆ θεάματος, ἄλλων ἀπ' ἄλλων ἐφελκόντων τε καὶ μεταστώντων, καὶ μὴ παραχωρούντων, ὅσον τις ἐθέλει, τῆ ὁρωμένῃ κορέννυσθαι.

Ὃ δέ με παρέδραμε, καὶ πρῶτον ῥηθῆναι ἔδει· ἀλλὰ γὰρ ἐν τοῖς λόγοις τῆ τεμένους τὸ θαῦμα παρέχει τῷ λέγοντι καθαρῶς τὸ ἴδιον τελεῖν ἔργον· καὶ δὴ νῦν εἰρήσεται. ἐπ' αὐτῆς γὰρ τῆς ὀροφῆς, ἀνδρείκελος εἰκὼν μορφὴν φέρουσα τῆ Χριστῆ πολυανθέσι ψηφῖσιν ἐγγέγραπται. εἴποις ἂν αὐτὸν τὴν γῆν ἐφορᾶν, καὶ τὴν περὶ ταύτης διανοεῖσθαι διακόσμησίν τε καὶ κυβέρνησιν· ἔτως ἀκριβῶς ὁ γραφεὺς καὶ τοῖς σχήμασι τὴν τῆ δημιουργῆ περὶ ἡμᾶς κηδεμονίαν ἐπίπνους γέγονεν ἐντυπώσασθαι. τοῖς δὲ περὶ αὐτῆ ὀροφῆ τῆ ἡμισφαιρίῳ τμήμασιν ἐγκύκλοις, πληθὺς ἀγγέλων τῷ κοινῷ Δεσπότῃ δορυφορεῖσιν διαμεμόρφωται. ἡ δὲ ἀπὸ τῆ θυσιαστηρίῳ ἀνεγειρομένη ἀψὶς, τῆ μορφῆ τῆ παρθένῳ περιαστράπτεται, τὰς ἀκραύλους χεῖρας ὑπὲρ ἡμῶν ἐξαπλώσης, καὶ πρατομένης τῷ βασιλεῖ τὴν σωτηρίαν καὶ κατ' ἐχθρῶν ἀνδραγαθήματα. χορὸς δὲ ἀποστόλων καὶ μαρτύρων, καὶ δὴ καὶ προφητῶν καὶ πατριαρχῶν, ὅλον πληροῦσι ταῖς εἰκόσι τὸ τέμενος ἐξωραΐζουσιν· ὧν ὁ μὲν καὶ σιγῶν, δι' ὧν πάλαι ἀνεφθέγξατο βοᾷ, Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων· ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς

τὰς αὐλὰς τῆ Κυρίε. ὁ δὲ, Ὡς θαυμαστός ὁ τόπος ἔτος· ἐκ ἔστι τῆτο, ἀλλ' ἢ οἶκος Θεῦ. ἐπιφωνεῖ δέ τις ἴσως καὶ τῶν ἐχ ἡμετέρων, ἐδ' ἐγγεγραμμένων, καὶ ἄκων ἐπιθειάζων τὰ ἡμέτερα, Ὡς καλοὶ σε οἱ οἶκοι Ἰακὼβ, αἱ σκηναί σε Ἰσραήλ· ὡσεὶ παράδεισοι ἐπὶ πόλαμὲς, καὶ ὡς αἱ σκηναὶ, ἃς ἔπηξεν ὁ Κύριος καὶ ἐκ ἄνθρωπος.

Πάλαι μὲν ἓν τῷ θεόπλῃ Μωσῇ θείῳ προστάγμαΐ σκηνὴ κατεσκεύασαι θυσίαν τε θῦσαι Θεῷ ἁμαρτίας ἐξιλάσασθαι. καὶ τῷ Σολομῶντι δὲ βασιλεῖ ὁ ἐν Ἱεροσολύμοις ναὸς ὕστερον τερπνόν τι χρῆμα, καὶ πάντας τὲς ἔμπροσθεν τῷ κάλλει καὶ μεγέθει καὶ τῇ πολυτελείᾳ ἀποκρυψάμενος. ἀλλ' ὅσον σκιὰ καὶ τύπος ἀληθείας καὶ πραγμάτων αὐτῶν ὑποδεδεῖκε, τοσῦτον ἐκεῖναι τοῦ νῦν ἐξοικοδομηθέντος ναῦ τῷ πιστῷ καὶ μεγάλῳ βασιλεῖ ἡμῶν· ἐχ ὅτι ὁ μὲν τῆς χάριτος καὶ τῦ πνεύματος, τὰ δὲ τῦ νόμε καὶ τῦ γράμματος, ἀλλ' ὅτι καὶ τῷ κάλλει, καὶ τῇ ἄλλῃ τεχνεργίᾳ καὶ δεξιότητι, τὰ δεύτερα φέρεσι.

Καὶ τί ἂν τις ἐν ἔτω βραχεῖ τὰ τῦ περιωνύμε τεμένες λόγῳ πειρᾶται περιέρχεσθαι θαύματα· ὅπεγε ἐδ' αὐτὴ ἡ ὄψις ἐδ' ἐπὶ συχνὸν χρόνον, καί τοι τὰς ἄλλας αἰσθήσεις τῷ τάχει καλόπιν ἄγεσα, ἀντιλαβέσθαι τέτων ἐδαμῶς ἐλέγχεται κατισχύσα. χαίρω γᾶν ἔγωγε ἐδὲν ἧττον, εἰ καὶ τὸ ἔλαττον ὁ λόγος ἀπηνέγκαλο, ἢ εἰ καὶ πρὸς αὐτὸ τὸ μέτρον τῆς ἱκανῶς ἐχέσης ἀφίκετο διηγήσεως. ἐ γὰρ τῆς ἐν λόγῳ δυνάμεως ἐπίδειξιν, ἀλλὰ τὸ κάλλιστόν τε εἶναι τὸν ναὸν καὶ ὡραιότατον, καὶ νικῶντα νόμες ἐκφράσεως, παρασῆσαι προῄρημαι.

Ἀλλά μοι πρὸς σὲ ὁ τῦ λόγε δρόμος, τὸν τῦ συλλόγε αἴτιον, ἐπιστρεφόμενος ἰθυνέσθω. χαῖρε τοιγαρῦν, ὦ βασιλεῦ, θεοχαρίτατε καὶ θεοφιλέστατε, καὶ ἀνακαινίζε τὴν κατά τε σῶμα καὶ ψυχὴν ἐπ' ἔργοις ἀγαθοῖς ἀκμάζων νεότητα· τῦ τε περιωνύμε ναῦ καὶ τῆς σῆς σοφίας ἔργων καὶ χειρὸς ἑορτάζων τὰ ἐγκαίνια. ἔντεινε, καὶ κατευόδε, καὶ βασίλευε, ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης. ὁδηγεῖ γάρ, ὡς ἔνεστιν ἰδεῖν ἐναργῶς, καὶ ὁδηγήσει σε ἡ τῦ ὑψίστε δεξιὰ τῦ κτίσαντός σε, καὶ ἐξ αὐτῶν σπαργάνων εἰς βασιλέα τῦ οἰκείε καὶ περισσίε λαῦ χρίσαντος. συνευφραίνε καὶ συνανακαινίζε καὶ αὐτὸς, τῶν ὅσες ἥλιος ἐπεῖδε Καισάρων τὸ ἐγκαλλώπισμα, σοφίᾳ τε καὶ συνέσει τὲς ἔμπροσθεν παρευδοκιμῶν· καὶ τῷ θείᾳ σε ψήφῳ, ἀλλὰ μὴ σπεδαρχήσαντα, μηδ' ἀνθρωπίναις περιδρομαῖς τὴν τηλικαύτην ἀρχὴν ἀναδέξασθαι. συνευφραίνε τοίνυν καὶ συνανακαινίζε τῷ μέτοχόν σε προσειληφότι καὶ κοινωνὸν τῆς βασιλείας ἐπὶ κοινῇ τε σωτηρίᾳ τῶν ἀρχομένων, καὶ ἀξίως τῆς εἰς αὐτὸν εὐνοίας καὶ ἀψευδεστάτης ἀγαπήσεως. διὰ γὰρ τῆς ὑμετέρας δυάδος ἡ Τριὰς εὐσεβῶς λατρευομένη τε καὶ προσκυνεμένη, τὴν ἑαυτῆς πρόνοιαν εἰς πάντας ἐξαπλῶσά τε καὶ διαπορθμεύσα, σοφῶς πηδαλιεχεῖ καὶ διακυβερνᾷ τὸ ὑπήκοον.

Χαίρετε καὶ ὑμεῖς, ὦ τῆς βελῆς πατέρες, πολιὰ σεμνὴ καὶ αἰδέσιμος πιστῷ καὶ μεγάλῳ βασιλεῖ καὶ σεβαστῷ, συναγα-

ανακαινιζόμενοι Καίσαρι, τῷ περιωνύμῳ ναῷ συνεορτάζουσι τὰ ἐγκαίνισματα. χαίρει δὲ καὶ συνευφραίνεται καὶ ὅσον ἱεροφαντικόν τε καὶ ἀρχιερέων πλήρωμα, οἰκεῖον κλέος καὶ καύχημα τὴν τοῦ ναοῦ ποιέμενοι καθιέρωσιν. χαίρετε δὲ καὶ συγχορεύετε καὶ ὑμεῖς, ὦ ὑπόλοιπον καὶ φιλόθεον ἄθροισμα, ἄλλον ἐρανὸν ὁρῶντες ἐπὶ γῆς τὸν τῆς παρθένου ναὸν ἐγκαινιζόμενον σήμερον· ἧς ταῖς πρεσβείαις τυχόντες ἅπαντες καὶ τῆς μακαρίας ἐκείνης καὶ ἀτελευτήτου χάριτος καὶ ἀγαλλιάσεως, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας, Ἀμήν.

ΕΚ ΤΩΝ ΑΜΦΙΛΟΧΙΩΝ ΦΩΤΙΟΥ
ΕΥΡΙΣΚΟΜΕΝΑ ΤΙΝΑ.

Α. (λζ'.)

ΑΠΟΡΙΑ.

Εἰ ἀπερίγραπτος ἡ ἐν τῷ Υἱῷ Θεότης· ἡ σὰρξ, ἣν ἀνέλαβεν, ἢ πανταχοῦ· ἔνθα γὰρ ἡ Θεότης, κἀκείνην παρεῖναι δεῖ· ἢ περιγραφομένη τόπῳ, τοῦ προσειληφότος διέσηκεν.

ΛΥΣΙΣ.

Ὁ διδοὺς τὸ θεῖον πανταχοῦ, πῶς οὐ δώσει καὶ ὅλον πανταχοῦ εἶναι; οὐ γὰρ ἔλαττον εἰς λόγον τοῦτο θεοπρεπὲς ἀξίωματος. εἰ δὲ ὅλον ὁλικῶς πανταχοῦ, καὶ τῇ ἡνωμένῃ σαρκὶ ὅλος ἐνυπάρχων ὁ Υἱός· εἰ πάρεστι μὲν αὐτὸς πανταχοῦ, ἡ δ' ἀνθρωπίνη φύσις περιώρισται τόπῳ καὶ χρόνῳ, ἀρχῇ τε καὶ τελευτῇ, καὶ μυρίοις ἄλλοις· ἦμεν ἂν εὐδαιμίαν πάροδον τῷ χωρισμῷ συνεπινοηθῆναι παραχωρήσειεν. ἐκεῖνος δ' ἂν εἴη, ὁ τὸ θεῖον καὶ χωρὶς τῆς προσληφθείσης σαρκὸς περιγενόμενον τόπῳ φανταζόμενος, ὃς καὶ τὰ μέρη τερατεύεται πανταχοῦ παρεῖναι, ἀλλὰ μὴ καθόλου οἷς ἂν πάρεστι τὸ θεῖον. λέγοι δ' ἂν κατὰ μέρη, κἂν μὴ λέγοι, ὁ φάσκων· εἰ μὴ συμπαρεκτείνοιτο τῇ θείᾳ τοῦ Λόγου ὑποστάσει, μηδ' ἡνωμένον αὐτῇ τὸ πρόσλημμα εἶναι· ἡ γὰρ παράστασις ἢ παρέκτασις, ἢ τὰ τοιαῦτα, καὶ τὸ μὴ καθόλου τοῖς ἔσι, μηδ' οἷς ἐπιλάμπει παρεῖναι, τῶν ἐπιδεχομένων ἐπὶ τὸν μερισμὸν, καὶ τούτοις τὸ ἐνιαῖον αὐτοῦ καὶ ἄτμητον καταλεμνομένων. καὶ ἔπω εἶπον, ὡς τὸ παρεῖναι τὴν θεότητα διὰ τὴν ἕνωσιν τῇ σαρκὶ, καὶ τὸ παρεῖναι πανταχοῦ· εἰ καὶ πρὸς διάφορον ἀναφέρεται καὶ νοῦν καὶ διάνοιαν. καὶ γὰρ ὁ μὲν τὸ πανταχοῦ γινώσκων καὶ διορίζων λόγος, οὐδὲ τῆς κοινῆς ἐπιφοιτήσεως τὴν ἑνωθεῖσαν ὑπερορίζει φύσιν. πάντα γὰρ, ὧν ὁ Θεὸς ἠξίωσε κτισθῆναι γενέσθαι, καὶ οὐδὲ τῆς

τῆς κατὰ πρόνοιαν παρρησίας ἀπολαύειν ταῦτα διατειχίζει. ὁ δὲ τὴν καθ' ἕνωσιν πρεσβεύων παρρησίαν, τῷ ἑνωθέντι μόνον αὐτὴν ἀφορίζει. ἀλλ' ἔν εἰ καὶ κατὰ διάφορον ἔννοιαν ἑκάτερον εἶδος ἀφορίζεται τῆς παρρησίας· πλὴν ὁ θατέραν θρασυνόμενος πολυπραγμονεῖν καὶ διαβάλλειν, ἀδὲ θατέρας φειδόμενος ἐξελέγχοιτ' ἄν.

Β. (οδ'.)

Τῇ Κυρίᾳ πρὸς τὴν Σαμαρεῖτιν εἰπόντος· πίστευσόν μοι, γύναι, ὅτι ἔρχεται ὥρα, ὅτε ἔτε ἐν τῷ ὄρει τούτῳ, ἔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί. ὑμεῖς προσκυνεῖτε, ὃ οὐκ οἴδατε. ἡμεῖς προσκυνοῦμεν, ὃ οἴδαμεν. ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων, καὶ ἐξῆς. Τούτων δὴ τῶν σεβασμίων λόγων τὴν δύναμιν διὰ ποίας ἐπιβολῆς καταλήψόμεθα;

Ἡ μὲν Σαμαρεῖτις τῶν Ἰουδαϊκῶν ἐθῶν καὶ δογμάτων τὰ τῆς Σαμαρείτιδος δόξης ἐξαίρειν καὶ ὑπερτιθέναι τὴν ὅτι μάλιστα σπουδὴν κατεβάλλετο. διὸ καὶ τό· μὴ μείζων εἶ σὺ τοῦ πατρὸς ἡμῶν Ἰακώβ; ὕδωρ ζῶν ὑποχομένῳ τοῦ Σωτῆρος, παραχεῖν ἀντεφθέγξατο. ὁ δὲ Σωτὴρ, οἰκονομεῖν ἅπαντα σοφῶς εἰδὼς, τὸ μὲν ἐξαίρειν τὰ Ἰουδαίων καὶ τὸ μείζονα εἰπεῖν αὐτόθεν πλῆξαι πρόχειρον ἐπισάμενος, καὶ τότε γυναικὸς διάνοιαν προλήψειν τῶν ἐναντίων προκαταλαχεθεῖσαν, καὶ ἀδὲν τῶν αἰσθητῶν ὑψηλότερον τέως φανταζομένης· τοῦτο μὲν ἀποθησαυρίζει τῇ σιωπῇ, ἄλλως τε καὶ μικρολογίας εἶναι καὶ ἀνάξιον εἶναι τῆς Ἰησοῦ μεγαλειότητος, καὶ τὸ μείζω εἶναι τὸν δοῦλον τοῦ δεσπότου ἀποφαίνεσθαι. Ἡ γὰρ ἐν συγκρίσει δεσπότου πρὸς δοῦλον διαφορὰ τοῖς δευτερείοις μᾶλλον σεμνύνει τὸν δοῦλον, καὶ διὰ τῶν πρωτείων μεγαλύνει τὸν δεσπόζοντα. Διὸ ταῦτα μὲν ἔχειν ἀφῆσι τὴν σιωπὴν, διὰ δὲ ῥημάτων ἑτέρων, ἀδὲν μὲν ἧττον τοῦτο κατασκευάζειν δυναμένων, καὶ φευγόντων δὲ ἅμα τὴν μικρολογίαν, λεαίνειν τε τὴν ἀκοὴν ἐπιτηδειοτέρων, τὴν γνώμην παρίησιν. Οὐδὲ γὰρ ἀδὲ τὴν σύγκρισιν καὶ τὴν ἐν δόξῃ διαφορὰν αὐτὸς ἐπάγει, ἀλλὰ παραπέμπει τὸ γύναιον ἐκ τῶν ῥηθησομένων τῆς ὑπεροχῆς τὴν ὑπερβολὴν συλλογίσασθαι. Καὶ γὰρ ἐκ τούτου, φησὶ, τοῦ ὕδατος ὁ πίνων διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, ὃ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα.

Καὶ ὅρα τὸ σοφὸν τῶν λόγων καὶ τὴν δύναμιν. τὸ μὲν, ὅτι διψήσει πάλιν, εἶπεν, ὡ δεόμενον καλασκευῆς ἀλλαχόθεν. αὐτόκλητον γὰρ εἶχε τὴν γυναῖκα μάρτυρα. τὸ δὲ, ὃ μὴ διψήσει εἰς τὸν αἰῶνα, τῷ μεγέθει τῆς ἀπαγγελίας εἰς ἔφεσιν αὐτὴν τῆς ὑποχέσεως διανιστῶν, δι' ἀμφοῖν δὲ πρὸς ἐπίστασιαν ἄγων θειοτέρας ὑπολήψεως· μόνον οὐχὶ λέγων· εἰ τὸν Ἰακὼβ ἄγεις ἐν μείζονι τιμῇ καὶ θαυμασίῳ κατορθώματι, ἐπεὶ παρέχεν ὑμῖν ὕδωρ, ἐξ οὗ πάλιν ὁ πίνων εἰς τὴν αὐτὴν ἐπαναῤῥέφει δίψαν· τίνα ἂν σε λογίσασθαι χρὴ, ὃς ὕδωρ παραχεῖν ἐστι δυνατὸς, ὃ σωματικὴν δίψαν ἐν ὀλίγῳ χρόνῳ πραῦνον, ἀλλὰ δυνάμενον τῷ πιόντι πηγὴν χρηματίσαι ὕδατος ἀενάου, καὶ παρέχειν ἐκεῖθεν σωτηρίας, ἃ

τοῖς

τοῖς ἀρυσαμένοις καταρδεύει καὶ προζενεῖ ζωὴν τὴν αἰώνιον; Καὶ γὰρ τὸ ὕδωρ, φησὶν, ὃ ἐγὼ δώσω, γενήσεται αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. Ὥσπερ δὲ τὸ ὕδωρ θεραπεύει μὲν τὴν δίψαν, καθαίρει δὲ τὸν ἔξωθεν τοῦ σώματος μολυσμὸν, οὕτω καὶ τὰ νοερὰ καὶ ἀνθρώπινα τῆς διδασκαλίας τοῦ Ἰησοῦ νάματα, καὶ ἡ περὶ αὐτοῦ θειοτέρα ὑπόληψις ἰᾶται μὲν τὴν ἀπὸ τῆς ἀπιστίας δίψαν, ὅλην ἐκδιπανῶσαν τῆς νοερᾶς ἐνεργείας τὴν ζωτικήν τε καὶ συνεκτικὴν ἰκμάδα, καθαίρει δὲ τὴν ψυχὴν τῶν ὑπασμάτων, ἃ ἁμαρτημάτων κατερρύπωσε μολυσμὸς, καὶ λογισμὸς ζοφώδης δυσσεβούντων δοξασμάτων. ἀλλ' ὁ μὲν Σωτὴρ τὴν ἀπόδοσιν τῆς ἐρωτήσεως, δι' ἧς καὶ Ἰακὼβ τὸ πρωτεῖον ἔχειν ἐδόκει, καὶ μεγαλύνεσθαι, ἔτως ὑπερφυῶς ἐμεθόδευσεν.

Καὶ ὅρα παραυτίκα τὴν ταύτης ἐνέργειαν ἀπασράπησαν. κατεφώτισεν εὐθὺς τῆς γυναικὸς τὴν διάνοιαν, καὶ εἵλεν ἐλθεῖν εἰς πίστιν τῆς ὑποχέσεως, καίτοι παράδοξον ὖσαν, καὶ γνῶσιν ἀναλαβεῖν, κατὰ πολὺ τῶν προγόνων μείζονα εἶναι τὸν Κύριον. Καταλιποῦσα γὰρ τῇ γνώμῃ τὸ ὕδωρ τοῦ πατρὸς αὐτῆς Ἰακὼβ, πρὸς τοῦτο τὸ ὕδωρ ἐπείγεται, καὶ φησίν· δός μοι, Κύριε, τὸ ὕδωρ τοῦτο. καὶ διατί τὸ προγονικὸν ὕδωρ ὑπερορᾷς; ὅτι ἐν βραχεῖ παῦον τὴν δίψαν, εὐθὲν ἔλαττον διψᾷν ἀφίησι πάλιν, καὶ κόπων ἐστί μοι πρόξενον. Καὶ γάρ, φησιν, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν, ἀλλὰ τῆς σῆς ἀπολαύουσα πηγῆς, ἐκέτι τοῦ προγονικοῦ δεήσωμαι Φρέατος.

Οὕτως δὲ καλαυγαθεῖσα τὴν διάνοιαν, ἐτεὶ καὶ περὶ τῶν ἀνδρῶν εἶπεν αὐτῇ, ὧν λαθραίοις καὶ μυστικωτέραις ὁμιλίαις τὴν κοινωνίαν ἠσπάζετο, εὐθέως μὲν προφήτην αὐτὸν ἀνακηρύττει, εὐθὲν δὲ τῶν βιωτικῶν αὐτῷ προτείνει· εὐθ' ὅσα σῶμα συνέχει, καὶ περὶ σῶμα συνίσταται, εὐθὲν τούτων ἔτε μαθεῖν, ἔτε λαβεῖν ἐπιζητεῖ, ἀλλὰ παλαιὸν ἀνακινεῖ ζήτημα, καὶ ἐν ἐρωτήσει γνῶναι τὴν λύσιν αὐτοῦ διανίσαται. οἱ πατέρες ἡμῶν, φησιν, ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, πατέρας μὲν τοὺς περὶ τὸν Ἀβραὰμ ὀνομάζουσα. καὶ γὰρ ἐν ἐκείνῳ τῷ ὄρει λόγος ἀρχαῖος τὸν Ἀβραὰμ ἀνενεγκεῖν αὐτοῦ τὸν υἱὸν ἰσορεῖ. εἶτα· καὶ ὑμεῖς λέγετε, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ἔνθα χρὴ προσκυνεῖν. δύο, φησὶ, προσκυνήσεις· δύο χωρία τῆς προσκυνήσεως. ἑκάτερον βωμὸς καὶ τέμενος λαθρείας Θεοῦ. τίς ἓν τὸ ἄμεινον διαπράτεται; ὁ Σαμαρείτης, ἢ ὁ Ἰουδαῖος; ὁ δὲ Φιλάνθρωπος σωτὴρ καὶ ταῦθα ταπεινοτέρᾳ ζητήματος λύσιν ἐπιζητήσῃ τῇ γυναικὶ πολὺ μείζω παρέχεται χάριν, καὶ θειότερον ἐκδιδάσκει δόγμα, ἀντὶ τῆς Φιλολόγου προαιρέσεως πρὸς θεωρίαν ἀνάγων Φιλόσοφον. Φησὶ γάρ· πίστευσόν μοι γύναι, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ Πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ. ἀντὶ τοῦ, σὺ ζητεῖς, πότερον ἡ Ἰουδαίου δόξα ἢ τῆς Σαμαρείτιδος γνώμης τὸ τιμιώτερον καὶ θειότερον ἀποφέρεται. ἐγὼ δέ σοι μυστήριον ἀποκεκρυμμένον ἀνακαλύπτω, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε

ἐν Ἱεροσολύμοις προσκυνήσειε τῷ Πατρί· ἡ μὲν γὰρ γυνὴ πρὸς Φιλοσοφίαν θᾶττον γυναικὸς τοῖς τῆ Σωτῆρος ῥήμασι μετελθοῦσα, ἐκ ἔτι τὰ ἑαυτῆς ἴσως προτιμώμενα δεῖξαι τῶν Ἰσραηλιτῶν, ὥσπερ καταρχὰς, ἐσπούδαζεν, ἀλλ' ἐνδιδοῦσα καὶ βελτιουμένη τῇ σωτηριώδει διδασκαλίᾳ μαθεῖν ἐζήτει τὸ ἄμεινον. διὸ καὶ οἱ πατέρες ἡμῶν, φησὶν, προσεκύνησαν ἐν τῷ ὄρει τούτῳ. τοῦτο γὰρ ἦν τὸ μάλιστα τῶν Σαμαρειτῶν ἀνυψοῦν καὶ ἐξαίρον τὴν ὑπόληψιν. οἷα γὰρ παρόντος προφήτου καὶ ἐμπνεομένου τῷ πνεύματι τῶν ἄλλοις ἀδήλων τὴν διάγνωσιν, παρ' ἐκείνου τὴν ἀληθεστέραν δόξαν καὶ τελειοτέραν ἐπεζήτει μαθεῖν.

Διά τοι τοῦτο καὶ ἀρχομένη τῆς ὑποθέσεως ἔλεγεν· Κύριε, θεωρῶ, ὅτι προφήτης εἶ σύ. ὁ δὲ φιλάνθρωπος Ἰησοῦς πρότερον μὲν τὸ τέλος ἑκατέρας προαγγέλλει, ἵνα μὴ λυπήσῃ ταύτην ἐν τῷ προκρίνειν τὴν Ἰουδαϊκὴν λατρείαν. Τί γὰρ ἂν καὶ ἀνιάσῃ τῆς ἰδίας δόξης προκρινόμενον σέβας, ὃ μετ' ὀλίγον ἔμελλεν εἰς τὸ αὐτὸ συγκαλαλήγειν τέλος; ἔπειτα τὴν διαφορὰν αὐτῶν ἀπαγγέλλει. ὑμεῖς γάρ, φησι, προσκυνεῖτε, ὃ ἐκ οἴδατε, ἡμεῖς δὲ προσκυνοῦμεν, ὃ οἴδαμεν. Πῶς δὲ ἐκ ἤδεισαν οἱ Σαμαρεῖται, ὅ προσεκύνουν; ὅτι τοῦτο μὲν, τῶν ἐνοικούντων ἐκ ὀλίγοι ἐκ τῆς αἰχμαλωσίας ἦσαν τῶν Βαβυλωνίων ἀνακληθέντες, καὶ τοῖς ἐκεῖθεν ἔθεσι διαβιοῦντες, καὶ τὴν Ἰσραηλιτικὴν θεοσέβειαν διεφθαρμένοι· τοῦτο δὲ, τὸ πλῆθος αὐτῶν Βαβυλωνίας καὶ Μήδων γενεᾶς καὶ λάτρειας ὄντες, εἰς τὴν Σαμάρειαν μετακισθησαν, καὶ τὸν παρὰ Ἰουδαίοις Θεὸν ὥσπερ πάλαι τὸς πατρῴους ἐπιχώριον Θεὸν, καὶ μόνον τοῦ ἔθνους τὴν ἐπισασίαν ἔχειν καὶ δεσποτείαν ἐνόμιζον. Ταύτῃ τοι καὶ τὴν λατρείαν ἐκείνῳ προσφέροιλες, ἐδὲ τὸς δαίμονας θεραπεύειν ἀφίσανλο. Τὸ δὲ Ἰουδαίων ἔθνος, εἰ καὶ μὴ σύμπαν, ἀλλ' οὖγε τῶν Μωσαϊκῶν νόμων τὴν μνήμην ἀντὶ τῆς λήθης προτιμήσανλες, ταύτης παντελῶς ἀπηλλαγμένοι τῆς ἐναγοῦς ἦσαν ὑπολήψεως, καὶ ὥσπερ δημιουργὸν συμπάσης κλίσεως, ὕτω καὶ ἔφορον καὶ προνοητὴν τὸν λατρευόμενον Θεὸν ἐπεγίνωσκον. Διὰ τοῦτο μέν φησιν, ἡμεῖς προσκυνοῦμεν, ὃ οἴδαμεν· ὑμεῖς προσκυνεῖτε, ὃ ἐκ οἴδαλε. προσκυνοῦμεν δὲ, φησὶ, συγκαλαλέγων ἑαυτὸν τοῖς Ἰουδαίοις, ὅπω γὰρ ἐναρξάπλειν πάσας ἠφίει τῆς ἐν αὐτῷ θεότηλος τὰς ἀκτῖνας. διὸ καὶ ὕδωρ πιεῖν ἐπεζήτει, καὶ κόπον βαδίζων ὑφίσαλο, καὶ τὸν κόπον τῆς ὁδοιπορίας αὐτοχεδίῳ θρόνῳ τῷ ἐδάφει διελύετο. ἄλλως τε καὶ πρὸς γυναῖκα διελέγελο, σεβασμίαν μὲν λαβοῦσαν ὑπόληψιν περὶ αὐτοῦ, ὡς ἕνα μέντοι γε τῶν προφητῶν ὅμως αὐτὸν ἡγεμένην καὶ ὡς Ἰουδαῖον, καὶ θεοφιλέστερόν τε τῶν ἄλλων καὶ ἁγιοπρεπέστερον διακείμενον. Διὰ τοῦτο ἦν τὸ Προσκυνοῦμεν εἴρηται.

Ἀλλ' εἴρηται μὲν ἡ μία διαφορὰ, καθ' ἣν τὸ Ἰουδαῖον σέβας τῆς τῶν Σαμαρειτῶν θρησκείας ὑπερεῖχεν. ἡ δὲ ἑτέρα τίς; ἡ σωτηρία, φησὶν, ἐκ τῶν Ἰουδαίων. πῶς δέ ἐσιν ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων; ἢ διότι, πανλαχοῦ τῆς τῶν εἰδώλων πλάνης τὸ γένος ἐπινεμομένης, ἐκεῖθεν ηὔγασε τοῖς ἄλλοις ἀνθρώποις ἡ θεο-

ἡ θεογνωσία, καὶ διότι αὐτὸ τὸ ὅλως προσκυνεῖν τὸν Σαμαρείτας τὸν Θεὸν ἀπὸ τῶν Ἰουδαίων ἀρχὴν ἔχει. μᾶλλον δὲ σωτηρίαν ἀπὸ τῶν Ἰουδαίων προελθοῦσαν ἐστιν ἐννοεῖν τὴν αὐτῇ τῇ Χριστῷ παρουσίαν, καὶ τὴν δι' αὐτῆς γεγενημένην τῷ γένει ἀνάκλησίν τε τῷ παλαιῷ πλάσματος, καὶ τὴν μηκέτι κλεπτομένην καὶ παραφθειρομένην ἐχθρῶν ἐπιβουλαῖς καὶ βασκανίαις ἀποκαλύψασαν. Τὸ δὲ, ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, τὸ πάντως καὶ διὰ ταχέων ἐπόμενον μηνύει. ὁ γὰρ, ὥσπερ οἱ προφητικοὶ χρησμοὶ χρόνῳ ὕστερον ἔλαβον τὸ πέρας, ἀλλ' ὁ περὶ ἐμοῦ ῥηθεὶς λόγος ἤδη πάρεστιν, ἤδη ἐνέστηκεν τὴν ἀπὸ τῶν ἔργων ἐπαγόμενος μαρτυρίαν.

Γ. (ος'.)

Τί δηλοῖ τὸ παρὰ τῷ Κυρίῳ τοῖς μαθηταῖς ἐν τῷ εὐαγγελίῳ εἰρημένον· Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ, τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς, ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσι;

Τὸ ῥητὸν, ὃ μαθεῖν τὴν διάνοιαν ᾔτησας, τοῖς τέτρασι μὲν τῶν εὐαγγελιστῶν ἀναγέγραπται, ἔστι δὲ προειρημένον Ἡσαΐᾳ τῷ προφήτῃ. ἀλλ' οἱ μὲν τρεῖς παραφράσεως νόμῳ συνυφαίνουσι τὸ ῥητὸν λόγοις ἰδίοις, ὁ δέ γε θεσπέσιος Ματθαῖος κατὰ παράθεσιν αὐτὸ καὶ μαρτυρίας τύπῳ εἰσάγει. Ἡσαΐας γὰρ, ἡνίκα τῆς δόξης Κυρίου θεατὴς ἠξιώθη γενέσθαι, καὶ τῷ ἀνθρακι δι' ἑνὸς τῶν Σεραφεὶμ ἐκαθάρθη τὰ χείλη, τηνικαῦτα καὶ τῆς θείας ἐκείνης ἤκουσεν φωνῆς, πορεύθητι λεγούσης, καὶ εἰπὸν τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε· ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ ὀφθαλμοὺς ἐκάμμυσαν, μήποτ' ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσιν, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσιν, καὶ ἰάσωμαι αὐτούς. Ἀλλὰ ταῦτα τὰ προφητικὰ ῥήματα, ἐν ᾗ χρῆσις τοῖς εὐαγγελίοις περιέλκηται, δηλοῦσι μὲν τὴν ἀγνωμοσύνην τῶν κατ' ἐκεῖνο καιροῦ Ἰουδαίων· ἐδεῖν δὲ ἦν προλέγουσι καὶ τῶν ὕστερον αὐτῶν τὴν μίμησιν ἐναπομαξαμένων, καὶ τῇ τοῦ Σωτῆρος διδασκαλίᾳ μὴ πειθέντων, ὃς ἔργοις τε παραδόξοις καὶ λόγοις ὑπερφυέσι τήν τε ἀκοὴν αὐτῶν καὶ τὴν ὄψιν διήλεγξεν, τὴν μὲν κωφεύσαν ἐκουσίως, τὴν δὲ τυφλώτησαν τῇ λήμῃ τῆς ἀπιστίας τῶν ἔτε πρὸς τοσαύτην ῥημάτων ὠφέλειαν τὴν ἀκοὴν ἀνοῖξαι ἐθελόντων, ἔτε πρὸς ἕτω θεοπρεπεῖς θαυμάτων λαμπηδόνας τὰς ὀφθαλμὰς ἀναπετάσαι βεληθέντων. Διὸ καὶ ὁ προφήτης τὸ κωφὸν αὐτοῖς καὶ τυφλὸν ἐκ ἀλλαχόθεν, ἐκ δὲ τῆς ἰδίας μοχθηρίας περιεῖναι διαμαρτυρόμενος, ἐπαχύνθη, φησὶν, ἡ καρδία τοῦ λαοῦ τούτου. Καὶ ἐπεὶ τὴν καρδίαν αὐτῶν ἐπάχυναν, διὰ τοῦτο καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν.

Εἶτα μηδ' ἀνανῆψαι τούτους ἐθέλειν δηλῶν τῆς ἐκουσίου πηρώσεως, ἐπάγει· μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνιῶσι

σι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. Ἐπαχύνθησαν τοιγαροῦν τὴν καρδίαν, διὰ τοῦτο βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν. ἐκάμμυσαν δὲ τοὺς ὀφθαλμούς, καὶ τὰ ὦτα ἐβάρυναν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσιν. καὶ τούτων δὲ τὴν πήρωσιν ἐκόντες ὑπῆλθον, ἵνα μὴ ἐπιστραφέντες τῶν τηλικούτων παθῶν τῆς ἰάσεως τύχωσιν. Οὕτω μὲν ἦν σαφῶς ὁ προφήτης τοῦ τυφλώττειν καὶ κωφεύειν τὴν αἰτίαν τῆς Ἰουδαϊκῆς ἀνάπλεως γνώμης καὶ προαιρέσεως, ἀλλ' ἐχὶ Θεοῦ ψῆφον ἐμενοῦν ἐκ εἰσάγει, ταῦτα τοῖς Ἰουδαίοις ἐπιφέρουσαν. ὥσπερ δὲ κατ' ἐκεῖνο καιροῦ τῶν Ἰουδαίων τοὺς ἀγνώμονας ὁ προφήτης τηλικεύων, ἔλεγεν, μήτε τοὺς ὀφθαλμοὺς ἐθελῆσαι διανοῖξαι, μήτε πρὸς ἀκοὴν παραχεῖν τὰ ὦτα πρὸς τὴν σωτηρίαν αὐτῶν, καὶ θεοπρεπῆ διδασκαλίαν· (οὕτω κἀκεῖνοι,) ἔκ τε τῶν συνήθως αὐτοῖς ἁμαρτανομένων, μάλιστα δὲ τοῦ τύφλ καὶ τῆς ἀλαζονείας, καὶ τοῦ πρὸς τὴν πλάνην μᾶλλον ἢ τὴν εὐσέβειαν βλέπειν, ἔμυόν τε τὰ ὄμματα, καὶ τὴν ἀκοὴν συνεῖχον, αὐτοὶ ἑαυτοὺς τυφλοὺς καὶ κωφοὺς ἀπεργαζόμενοι. καὶ τὸ χαλεπώτερον, οὕτω παθόντες ἑαυτοὺς βλέπειν τῶν ἄλλων μᾶλλον ἐνόμιζον, καὶ τῷ τῆς αἰσήσεως ἐφλέγμαινον πάθει. Διότι νομοθετῆς τε ἐδόκουν, καὶ τῶν προφητῶν τὰς φωνὰς, ὃ πλέον αὐτῶν τὴν κατηγορίαν ἐπέτεινεν, τοῖς χείλεσιν περιέφερον, διὸ καὶ ἀνίατον αὐτοῖς τὴν νόσον κατεσκεύαζον. Ἐντεῦθεν ὁ μὲν Σωτὴρ τὸν ἐκ γενετῆς τυφλὸν θεωροῦντα, τῶν δὲ τὴν θεομάχον γλῶτταν ἀντὶ τοῦ θυσιάζειν εἰς ὕβριν κινούντων, εἰς κρίμα, φησὶν, ἐγὼ εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα οἱ μὴ βλέποντες βλέψωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. καὶ δὴ καὶ τῶν Φαρισαίων ἐπιφθεγγομένων, μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν; εἰ τυφλοὶ ἦτε, φησὶν, οὐκ εἴχετε ἁμαρτίαν· νῦν δὲ λέγετε, ὅτι βλέπομεν, διὰ τοῦτο ἡ ἁμαρτία ὑμῶν μένει. ὁ μὲν γὰρ εἰδὼς ἑαυτὸν ἐξ ἀγνοίας τυφλὸν, συνῆκέν τε τὸ πάθος, καὶ θᾶττον χωρεῖ πρὸς τὸν ἰατρὸν, καὶ τοῦ φωτὸς ἐπιζητεῖ τὴν ἀπόλαυσιν, καὶ πρὸς ἐκεῖνο σπεύδει, καὶ τῆς φιλανθρώπου διὰ τοῦτο προνοίας καταξιοῦται, ταῖς σελασφόροις αὐτῆς ἀκτῖσι τὸν νοῦν φωτιζόμενος, καὶ πρὸς τὴν σωτήριον θεωρίαν ἀναγόμενος. Ὁ δὲ τῇ πωρώσει μὲν ἐσκοτισμένος, βλέπειν δὲ οἰόμενος, διπλὴν ἑαυτῷ τὴν τύφλωσιν κατεσκεύασεν, ὅτι τε μὴ βλέπει, καὶ ὅτι μὴ βλέπων ὀξύτερον δοκεῖ τῶν ἄλλων ὁρᾶν. ἡ γὰρ οἴησις σκότος ἔσα ψυχικῶν ὀμμάτων βαθὺ, τῆς περικαλαχούσης ἀμαυρώσεως ἐπιτείνει μᾶλλον τὸ νόσημα.

Ἀλλὰ γὰρ ὕτω μὲν τῶν προφητικῶν ῥημάτων τεθεωρημένων, ὕτω δὲ τῶν σεπτῶν λογίων διευκρινημένων, καὶ εἴ τι μέρος αὐτῶν ὑπάρχον τῇ εὐκρινείᾳ μὴ συμπεριείληπται, ἐκέτι τοῖς ἀκροωμένοις ὁμοίως οἶμαι ἐδὲ τοσαύτην πρόφασιν ζητήματος παρέξει. δῆλον μὲν γὰρ, ὡς τοῖς μαθηταῖς δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ, ἐπεὶ μήτε τὴν καρδίαν ἐπαχύνθησαν, μήτε βαρέως ἤκουον, μήτε τὰ ὄμματα ἔμυον. τοῖς δὲ λοιποῖς, οὓς καὶ τοὺς ἔξω καλεῖ, ἔξω γὰρ τῆς σωτηρίας σφᾶς αὐτοὺς περιέστησαν,

σησαν, ἐκέτι δέδοιλαι. τοῖς γὰρ εἰρημένοις πάθεσι πᾶσαν ἑαυτοῖς ἀποτειχίσασι σωτηρίαν καὶ ὠφέλειαν, εἰκότως ἐ δέδοιλαι, ὅτι μηδὲ λαβεῖν αὐτὲς ἐπιηδείως παρεσκεύασαν. Διὸ καὶ παραβολαῖς προσῆκε μᾶλλον λαλεῖν, ἢ γυμνὰ προτιθέναι τῆς χάριτος τὰ μυστήρια. Οὔτε γὰρ συμφέρον, ἔτε κρίσεως ἀδεκάστε, εἰς τὴν αὐτὴν τάξιν τῆς διδασκαλίας καὶ σωτηρίας τιθέναι τὸν ἄξιόν τε καὶ τὸν ἀνάξιον. ὥσπερ ἐδὲ τοῖς χοίροις τὲς μαργαρίτας προβάλλειν, ἐδὲ τοῖσκυσὶ ῥίπτειν τὰ ἅγια.

Ἐξ ἓν τῶν εἰρημένων καὶ τὸ, ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκέοντες μὴ συνιῶσιν, ὁδὸν εὑρίσκει τῆς διαγνώσεως. Τὸ γὰρ Ἵνα νῦν συγγενές τε ἐστὶ τῷ Διότι, καὶ μεταλαμβάνεθαι πέφυκεν θάτερον πρὸς τὸ ἕτερον. ὡσαύτως δὲ καὶ τὸ Μὴ ἐκ ἀπαγορεύσεως, ἀρνήσεως δὲ χώραν νῦν ἐπέχει. Καὶ ὅτι τὸ λαμβάνειν τὰς λέξεις ἔτως ἐνταῦθα μεῖζον τῷ εἰκάζειν καθίσαλαι, τῶν τε προφητικῶν ῥημάτων ἡ διάνοια, δι' ὧν προῆλθε καὶ τὰ Κυριακὰ λόγια, μάρτυς ἐστὶν ἀπαράγραπλος. ἀλλὰ καὶ ὁ ἱερὸς Ματθαῖος ἐπὶ τῆς αὐτῆς ἐννοίας ἀντὶ τῷ Ἵνα χρησάμενος τῷ Ὅτι, καὶ ἀντὶ τῷ ἀπαγορεύειν ἀρνητικῶς ἀπαγγείλας τὸ χωρίον. καὶ γὰρ εἰσάγει τὸν Κύριον λέγονλα· διὰ τῦτο ἐν παραβολαῖς λαλῶ, ὅτι βλέποντες οὐ βλέπωσι, καὶ ἀκέοντες ἐκ ἀκέωσι. δῆλον ἔν, ὅτι σαφὲς κατέστη καὶ τὸ Ἵνα τοῖς ἄλλοις εὐαγγελισαῖς ἀντὶ τῷ Ὅτι παρειλημμένον, καὶ τὸ ἀπαγορευτικὸν μόριον τὴν τῷ ἀρνητικῷ δύναμιν ἀναδεδεγμένον.

Ἀλλ' ἕτω μὲν τὴν προγονικὴν τὸ Ἰουδαίων ἔθνος ἀπόνοιαν καὶ ἀγνωμοσύνην οἰκειέμενοι, τῆς δεσποτικῆς διδασκαλίας καὶ ὠφελείας ἀποξερεῖν ἑαυτὲς κέρδος ἐτίθενλο. καὶ γὰρ ἐ τοσῦτον τὰς πηγὰς τῆς σωματικῆς γενέσεως εἰς ἐκείνας ἀνέφερον, ὅσον τὴν πώρωσιν τῆς καρδίας καὶ τὸ τῆς γνώμης ἀχάριστον. Θαλάσσης ὁ παλαιὸς Ἰσραὴλ ὑγρὰ κύμαλα πεζοπορῦντες διέβαινον, ξύλος πυρὸς καὶ νεφέλης τὴν ὁδὸν αὐτοῖς παρεσκεύαζεν ἄλυπον· ὁ μὲν ἐν νυκτὶ πυρσὸν ἀνάπλων, ἅμα καὶ χειραγωγῶν τὸν ἀχάριστον· ἡ δὲ τὴν λυπῦσαν τῷ ἡλίῳ Φλόγα ἀντὶ τῆς κατ' οἶκον ὀροφῆς ἀποσέγουσα, καὶ τὴν ἡμέραν τῆς ὁδοιπορίας εὐφροσύνης ἡμέραν ἀποφαίνουσα. Καὶ, ἐν κεφαλαίῳ φάναι, τῶν ὑπὲρ λόγον εὐεργεσιῶν ἀπολαύοντες, καὶ πᾶσι τοῖς κατὰ τὸν βίον ἀγαθοῖς περιῤῥεόμενοί τε καὶ πιαινόμενοι, ἀπελάκλιζον μᾶλλον, καὶ πρὸς τὴν τοῦ θείε ὕβριν ἐξεμαίνονλο, τῶν εἰδωλικῶν μιασμάτων τὸ σέβας τῆς εἰς τὸν δημιεργὸν ἀνταλλατλόμενοι πίστεως. καὶ οἱ τῆς ἐκείνης δὲ γνώμης ἐκ ἔλαττον ἢ τῆς γονῆς Φύντες, διὰ τῆς τῷ Σωτῆρος ἡμῶν ἐπιδημίας παραπλησίων καὶ ὑπερφυῶν θαυμάτων τελεμένων θεαταὶ γινόμενοι, νῦν μὲν παθῶν σωματικῶν ἀνιάτων ἐλαυνομένων λόγῳ, νῦν δὲ βλάβης δαιμονίας καὶ ἐπιβελῆς τῷ πλάσματος ἀπαλλατλομένε, καὶ ψυχικῶν δὲ τραυμάτων τῇ διδασκαλίᾳ θεραπευομένων, καὶ τῶν νεκρῶν ἀναβιάντων, νεκρεμένην δ' ἤδη θανάτε τὴν ἰσχὺν εὐαγγελιζομένων. καὶ πολλῶν ἄλλων δωρεῶν τε καὶ εὐεργεσιῶν ἀξιέμενοι, ἐδὲν μὲν τύτων

καθορᾶν γνώμην εἶχον, ἐδ' ἀμείψασθαι τὸν εὐεργέτην, πρὸς μόνην δὲ τὴν θεομάχον ἐξωτρύνοιλο γλῶσσαν, καὶ τῶν βλεπόντων καὶ ἀκουόντων ἁρπάζοντες τὸ ἀξίωμα, καὶ σφίσιν αὐτοῖς περιτιθέντες, ἅτε ἀκέων ἤθελον τῶν δεσποτικῶν ῥημάτων, σάλπιγγος γεγονότερον αὐτὸς πρὸς τὴν σωτηρίαν ἀνακαλεμένων, καὶ πολλὸς τῶν ἐθνῶν πρὸς αὐτὴν συναγόντων, καὶ τὴν τῆς ἀληθείας ἐπίγνωσιν ἀναδιδασκόντων. ἅτε τὰ ὑπ' ὄψιν τελέμενα τῶν θαυμάτων βλέπειν ἐβέλοιλο, πρὸς μόνας δὲ τὰς δυσφημίας καὶ τὸν νῶν αὐτῶν καὶ τὴν γλῶτταν ἐξώπλιζον. Διόπερ εἰκότως αὐτοῖς τὰ μυστήρια τῆς βασιλείας ἐκ ἐπιστεύελο. χωρὶς γὰρ τῶν ἄλλων, καὶ διότι μεῖζον αὐτοῖς κρίμα περιῆπλε πιστευόμενον. Ὅσῳ γὰρ ἄν τις μειζόνων ἀξιῶται, ὁ δὲ πρὸς τὸ χεῖρον ἀντὶ τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς ἀπονεύει, ἅτος διπλῆς ἔνοχος κατακρίσεως, τῆς τε προλαβέσης κακίας, καὶ τῆς ἐπ' αὔξησιν μοχθηρίας τὴν εὐεργεσίαν ποιησαμένης προαιρέσεως.

Ὅτι δὲ μὴ ἀποκληρωτικὸν εἴη τὸ δεδόθαι μὲν τοῖς μαθηταῖς ἐπιγνῶναι τὰ μυστήρια, τοῖς δὲ μὴ, καὶ πρότερον μὲν ἀποδέδεικται· ἐδὲν δὲ ἧττον παρίστησι καὶ ὁ Σωτὴρ, μακαρίζων τὰς μαθητὰς, ὅτι βλέπουσι καὶ ἀκέουσιν. ὁ μακαρισμὸς γὰρ παρά γε τοῖς λογίοις καὶ μάλιστα τοῖς κυριακοῖς, ἐκ ἀνάγκης ἐστὶν εἰσαγέσης τὸ ἀπαραίτητον, προαιρέσεως δὲ γινομένης τῷ βελτίονος. μακάριος γὰρ ἀνὴρ, ὃς ἐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν. καὶ μακάριος ἀνὴρ, ὃς οἰκτείρει ψυχὰς κτηνῶν αὐτῷ. ὁ δὲ Σωτὴρ καὶ κατὰ συνέχειαν πολλὰς μακαρισμὰς συνάπλων, ἐδέν᾽ τέτων, ἐφ' ὧν ἀποκλήρωσις ἔχει τὴν ἰσχὺν, ἀπονέμει, εἰς ἐκείνας δὲ συνάγει πάντας, ἂν ἀρετὴ καρπὸς ὑπάρχει καὶ γεώργιον τῆς προαιρέσεως. Οὐκοῦν ἅτε τοῖς μαθηταῖς κατ' ἀποκλήρωσιν ἐδέδοτο τὰ μυστήρια γνῶναι τῆς βασιλείας τῷ Θεῷ, ἅτε τοῖς ἀγνώμοσι τῶν Ἰουδαίων τέτων ἡ ἄγνοια, ἀλλ' ὅτι τυφλὸς τε καὶ κωφὸς ἑκόντες ἀπέφηναν ἑαυτὸς, τέτων ἀναξίως ἡ θεία καὶ ἀδέκαστος κρίσις διήλεγξεν. Πᾶς ἓν τῶν μαθητῶν ὁ ἠγαπημένος, τὸ τῆς θεολογίας ὄργανον, λέγει· τετύφλωκεν αὐτῶν τὰς ὀφθαλμὰς καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν· ἐδὲν ἔργον ἐκ τῶν εἰρημένων ἤδη συνιέναι. Εἰ μὲν γὰρ μὴ ἐκάλει τῷ λόγῳ τὸν Ἡσαΐαν μάρτυρα, ἢ ἐφ' ἑτέρῳ θεωρήματος προῆγε τὰς αὐτὰς φωνὰς, ἀπορίας ἄν τινος ὑπῆρχεν ἀφορμὴ, καὶ ζήτησις παρὰ τὰς εἰρημένας ἄλλης ἐπιλύσεως. Ἐπεὶ δὲ διὰ τῶν προφητικῶν καὶ ταῦτα προάγεται λόγων, ἐξ ὧν σαφεστάτη καὶ ἐδὲν ἄπορον ἐπιφέρουσα ἐξέλαμψεν ἡ διάνοια, καὶ μὴν καὶ τῶν ἄλλων εὐαγγελιστῶν, ὅσον ἦν ἀμφισβητέμενον, διεκρίθη· δῆλον, ὅτι προδιαλέλυλαι καὶ ὅπερ ἔμελλεν ἐπὶ τῶν ῥημάτων τέτων διαπορεῖσθαι. ἴσον γάρ. Ὁ πρῶτος ἀναγραψάμενος τὰς δεσποτικὰς πράξεις ἐκδιδάσκειν δύναται τὸ, τετύφλωκεν καὶ πεπώρωκεν. καὶ τὸ, διὰ τῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι βλέποντες ἐ βλέπουσι, καὶ ἀκέοντες ἐκ ἀκέουσιν.

Εἰ δέ τις τὸ, τετύφλωκεν καὶ πεπώρωκεν, ἐ προηγέμενα πάθη, ἀλλ' ἐκείνοις

—

νοις ἑπόμενα μᾶλλον θείῃ οἷόν τινα ἀντιμιθίαν τῶν φθασάντων ὄντα· ἀδ' οὗτος ἂν εἴη σκοπῷ διαμαρτάνων, δι' ἣ φέροιτ' ἂν ἐ πόῤῥω τῆς ἀληθείας. Ἐπεὶ γὰρ ἑκόντες ἔμυσαν τὲς ὀφθαλμὲς καὶ τὰ ὦτα συνέχον, τέτων προηγησαμένων τῶν παθῶν ποινὴ γέγονεν αὐτοῖς ἑπακολεθήσασα τῇ ἑκεσιότητι τῆς μοχθηρᾶς γνώμης ἡ τύφλωσις καὶ ἡ κώφωσις. ὧν ἓν εἴη καὶ τὸ μὴ δεδόθαι αὐτοῖς τὰ μυςήρια τῆς Βασιλείας γνῶναι. Ἔςι δὲ καὶ πρὸ βραχέως ἀκέσαι λέγοντα τὸν Ἰησᾶν, ὡς αὐτὸς ὁ τῆς βροντῆς ἔγραψεν υἱός· ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμᾶν ἐςι· περιπατεῖτε, ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ τὸ σκότος ὑμᾶς καταλάβῃ· καὶ, ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ ἐκ οἶδε, πᾶ ὑπάγει. ἔλαμψεν μὲν γὰρ τὸ φῶς τὸ ἀληθινὸν παραγεγονὼς ὁ τᾶ κόσμα σωτήρ· οἱ δὲ ἐκ ἠθέλησαν ἐνατενίσαι πρὸς αὐτό, ἀδ' ἐν τῇ σελασφόρῳ αἴγλῃ τῶν δογμάτων αὐτᾶ περιπατεῖν. Διὸ ἀκολέθως αὐτὲς κατέλαβεν ἡ σκοτία δίκην ἀπαιτᾶσα τῆς προκαταχέσης αὐτὲς μοχθηρίας. καὶ τᾶτο λέγοιτ' ἂν τετυφλῶθαι καὶ πεπωρῶθαι εἰκότως. καὶ ὥσπερ τῷ θελήσαντι περιπατεῖν ἐν τῷ φωτὶ ἕπεται καὶ τὸ εἰδέναι, πᾶ ὑπάγει, ἕτως τῷ μὴ θελήσαντι περιπατεῖν ἐν τῷ φωτὶ συνακολεθεῖ τὸ, βαδίζοντα ἐν τῇ σκοτίᾳ εἶναι, καὶ τυφλῶν καὶ πεπηρωμένων ὁδὸν ἀθλίως ἐξανύειν. Προείρηται δὲ καὶ, ὡς τῆς δεσποτικῆς καὶ σωτηρίε διδασκαλίας ἡ ἀτραπὴ τυφλὲς καὶ πεπηρωμένες ἐτηλίτευσεν τὲς Ἰεδαίες, καὶ τὴν πρὶν ἐνᾶσαν τοῖς ψυχικοῖς αὐτῶν ὄμμασι λήμην καὶ ἀβλεψίαν ἐμφανεςέραν δὲ καὶ καλάδηλον ἐποίησε μᾶλλον. Ὥσπερ γὰρ ὁ αἰθητὸς ἥτος καὶ περικαλὴς ἥλιος λαμπρὰς τᾷ δίσκῳ τὰς ἀκτῖνας ἐναφιεὶς ἐλέγχει τὲς νοσᾶντας τὰ ὄμματα· ἕτω καὶ ὁ νοητὸς ἥλιος, τὸ φῶς τὸ ἄδυτον καὶ ἀνέσπερον, Χριςὸς, ὁ Θεὸς ἡμῶν, ἐπιδημήσας τῷ κόσμῳ, καὶ διὰ τῶν θεοπρεπῶν τε καὶ ὑπὲρ λόγον θαυμάτων ἐναςράψας αὐτᾷ τῆς θεότητος τὴν αἴγλην, ἐπὶ πλέον διήλεγξεν τῶν ἀγνωμόνων Ἰεδαίων τὸ προκαταχὸν αὐτῶν τὰ τῆς ψυχῆς ὄμματα σκότος καὶ τὴν ἀβλεψίαν. ἀλλ' ὥσπερ ὁ ἐγκόσμιος ἥλιος ἐκ ἔςιν αἴτιος τῆς τυφλότητος, ἐλέγχων τὴν ἀβλεψίαν τῶν ἐνεχομένων τῇ νόσῳ· ἕτω καὶ ὁ ὑπερκόσμιος καὶ νοητὸς ἥλιος, τὸ ἀπαραλλακτον καὶ ἀληθινὸν ἀπαύγασμα τᾶ Πατρὸς, τὴν προκαλαχᾶσαν τύφλωσιν τῶν ἑαλωκότων τῷ πάθει ςηλιτεύων, ἐμενᾶν ἐκ ἂν αἴτιος νομισθείη, εἰ καὶ τελυφλωκέναι λέγοιτ' ἄν, διότι μηδὲ πρὶν λανθάνεσαν τὴν πήρωσιν αὐτῶν τὸ ἐσκοτισμένον τῶν λογισμῶν μᾶλλον ἐθριάμβευσεν. Εἰ γὰρ μὴ τοσαύτη τᾷ θείᾳ φωτὸς ἐνήςραπτεν ἡ λαμπρότης, ὥςε καὶ τῶν ἐν σκότει καὶ σκιᾷ καθημένων ἐθνῶν καλαυγαθῆναι τὰς διανοίας, καὶ πρὸς τὴν θεογνωσίαν ἀναβλέψαι, ἐκ ἂν ἐπὶ τοσᾶτον τυφλὸν τὸ Ἰεδαίων ἐδείκνυτο γένος. ἀλλ' ἡ διὰ τῶν ἔργων προῖσα τῆς αἴγλης ὑπερβολὴ, καὶ τῆς φωτιςικῆς δυνάμεως ἡ ἐνέργεια καὶ τῶν ἐθνῶν ἡ ἀνάβλεψις, ἔλεγχος σαφὴς κατέςη τῶν μὴ προσδραμόντων τῷ φωτὶ τῆς ἀληθείας, καὶ καταυγαθέντων τὴν εὐσεβείαν, ὅτιπερ

ἑκάσιον

ἑκάσιον ἑαυτοῖς κατεσκεύασαν τὴν τύφλωσιν, καὶ τῆς παγκοσμίου σωτηρίας ἑαυτὸς ἐξ ὑπερβαλλούσης ἀπονοίας ἀπεστέρησαν.

Δ. (πά.)

Τί ἐστιν, ὑπὲρ Χριστοῦ ἓν πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, καλαλάγητε τῷ Πατρί;

Εἴρηται τὸ ὑπὲρ Χριστοῦ ὡς ἀντὶ τοῦ Χριστοῦ, τῶν μαθητῶν ἀντὶ τοῦ διδασκάλου τὴν διακονίαν παρειληφότων. Νοήσαις δ' ἂν, ὡς καὶ ἡμεῖς πολλάκις ὑπέρ τινων σπουδαίων πρεσβείαν ποιούμενοι, καὶ τοῦ προσώπου προσεπιβαλλόμενοι μνήμην, αἰδεσιμωτέραν τὴν πρεσβείαν ποιοῦμεν. τοῦτο καὶ Παῦλος πράττει, ὑπὲρ Χριστοῦ πρεσβεύομεν, λέγων, ἐκ τοῦ κατὰ τὸ πρόσωπον μεγέθους εὐλάβειαν καθιστῶν τούτοις, οἷς προσάγεται ἡ πρεσβεία. ὑπὲρ ἐκείνου τοίνυν παρακαλοῦμεν, φησὶ, τοῦ τὸν κόσμον ἐν θανάτῳ καταλλάξαντος. ὥστε χρὴ καὶ ἡμᾶς πειθηνίους εἶναι, ἐπεὶ τό γε ἐφ' ἡμῖν, ἡ πολλὴ καὶ ἄφαλος ἐκείνη περὶ ἡμᾶς φιλανθρωπία τὸ ἄπρακτον ἔξει καὶ ἐφύβριστον. εἶτα τὸ πρόσωπον ἐπὶ πλέον ἐπαίρων φησὶν, ὅτι ὁ Θεὸς ἁμαρτίαν μὴ γνόντα αὐτὸν ἁμαρτίαν ἐποίησεν. καὶ πάλιν ἑτέρας αὐξήσεως προσθήκη, ἐκ τῆς εὐεργεσίας λαβοῦσα τὸ ὕψωμα· ἵνα ἡμεῖς Θεοῦ, φησιν, δικαιοσύνη γενώμεθα ἐν αὐτῷ. συνεργοῦντες δέ, φησι, καὶ παρακαλοῦμεν, μὴ εἰς κενὸν τοῦ Θεοῦ τὴν χάριν δέξασθαι ὑμᾶς. ὅτως ἑαυτὸν ὁ Παῦλος διασαφεῖ οἷον ὑπὲρ Χριστοῦ πρεσβεύομενος. ἵνατί γένηται; ἵνα τὴν ἐκείνου χάριν τοσαύτην οὖσαν μὴ κενὴν τό γε ὑμέτερον μέρος ἀπελέγξῃ. οὐχ ἡμεῖς δὲ μόνον τὴν πρεσβείαν ὑμῖν προσάγομεν, ἀλλ' ὡς καὶ αὐτοῦ τοῦ Θεοῦ καὶ Πατρὸς μεθ' ἡμῶν ὑπὲρ τοῦ Υἱοῦ παρακαλοῦντος. ἐντρέπητε τοὺς πρεσβευτὰς, δυσωπήθητε τοὺς παρακαλοῦντας, εὐλαβήθητε τὸν ὑπὲρ οὗ ἡ παράκλησις. οὕτω δὲ τοῦ ῥητοῦ ἐκλαμβανομένου, καὶ τὸ ὑπὲρ Χριστοῦ ὑπ' ἀντὶ Χριστοῦ, ἀλλ', ὡς εἴρηται, κατ' εὐθείαν παραληφθήσεται.

Ε. (πε'.)

Διατί προσκυνεῖ τὸ ἄκρον τῆς ῥάβδου;

Προσκυνεῖ μέντοι τὴν ῥάβδον τοῦ παιδὸς, ὁ νοῦς ὁ ὁρῶν τὸν Θεόν. τοῦτο γὰρ ὁ Ἰσραήλ. τὸ δὲ ἐκ τῆς ῥάβδου ἄνθος προεμήνυε προσκυνηθήσεσθαι, οὐ μόνον ὑπὸ τοῦ νοῦ, ἀλλὰ καὶ ὑπὸ τοῦ γεγηρακότος Ἰσραήλ. Ἀλλὰ καὶ τὰς εὐλογίας τοῖς παισὶν οὐκ ἐπίσης μερίζει. ἀλλὰ τοὺς μὲν εὐλογίαις ὑποβάλλει, τοὺς δὲ υἱοὺς ἀρᾶς ἀπελέγχει. διότι ὥσπερ ἔτος τὸν παλαιὸν ἀπέτεκεν λαὸν, οὕτω καὶ ὁ Κύριος ταῖς πνευματικαῖς ὠδῖσι τὸν νέον ἀπογεννᾷ λαὸν, καὶ τῆς εὐλογίας μεταδίδωσιν οὐ πᾶσιν, ἀλλὰ τοῖς παρασκευακόσιν ἀξίους ἑαυτούς. οὐ φιλοτιμίᾳ τοίνυν διανέμει τὴν εὐλογίαν τοῖς τέκνοις ὁ Ἰακὼβ, ἀλλὰ τὰς πράξεις τούτων κριτὴν ποιεῖται τῆς διανομῆς.

ς. (πζ'.)

Τί ἐστιν· οἶδα, ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ, τοῦτέστιν ἐν τῇ σαρκί μου, τὸ ἀγαθόν;

Τοῦτο

Τοῦτο ἐκ σὲ ἑαυτὸν ὁ Παῦλος εἴρηκεν, ἀλλὰ τὸ πρόσωπον τῆς ἀνθρωπίνης οἰκειόμενος φύσεως. Τότε δὲ ἐκ οἰκεῖ τὸ ἀγαθὸν ἐν τῇ σαρκὶ ἡμῶν, ἡνίκα ἔθει καὶ χρόνῳ καταδελωθέντες τῇ ἁμαρτίᾳ ἔμμονόν τε καὶ δυσεξάλειπτον ἐν ἑαυτοῖς φέρομεν τὸ κακόν. ὁ γὰρ δελωθεὶς τῇ χρονίᾳ τέτων διατριβῇ, κἂν βεληθῇ πάλιν πρὸς τὴν ἀρετὴν ἐπαναδραμεῖν, δύσεργόν τε καὶ δυσήνυσον εὑρίσκει τὴν βελήν. διό φησι· ἐκ ἔτι ἐγὼ κατεργάζομαι αὐτὸ, τετέστιν, ἐκ ἐμῇ οἶδα τὸ ἔργον. πῶς γὰρ ὅγε τενοχωρέμενος ὑπ' αὐτῆ; ἀλλὰ τῆς οἰκέσης ἐν ἐμοὶ ἁμαρτίας, ἑδραίαν καὶ ἀμετακίνητον τὴν ἄκησιν κεκτημένης. διὸ καὶ ἀποδύρομαι, τὴν ἐλευθερίαν ζητῶν, καὶ ἀνακράζων· ταλαίπωρος ἐγὼ ἄνθρωπος, καὶ ἐξῆς.

Ζ. (πή.)

Τί ἐστι τὸ, ὑμεῖς ἐκ τῆ πατρὸς τῆ διαβόλε ἐστὲ, καὶ τίς ἔστιν ὁ τῆ διαβόλε πατήρ;

Πρῶτον μὲν ἀντιφθέγγεται τὸ μηδαμῆ τῆς ἱερᾶς ἡμῶν γραφῆς, μήτε κατὰ τὰ παλαιότερα τῆς νομοθεσίας, μήτε ἐν αὐτῇ τῇ χάριτι, πατέρα τοῦ διαβόλε λαβεῖν τὸ ῥῆμα τὸ εἰρημένον, καίτοι γε πολλοὶ πολλάκις περὶ τῆς πονηρᾶς ἐκείνης δυνάμεως καταβέβληνται λόγοι. ἀλλὰ Σατανᾶν μὲν καὶ διάβολον καὶ ἀποστάτην, καὶ τὰ τοιαῦτα, τὸν ἀρχέκακον τῆ γένες ἡμῶν ἐχθρὸν εὑρίσκεται τὰ λόγια ὀνομάζοντα, καὶ υἱὸν ἕωθ' ὅτε διαβόλε τὰς πονηρὰς αὐτῆ γονὰς ἐν ἑαυτῷ δεικνύντα, καὶ τῷ χαρακτῆρι τῆς πλάνης διαμορφέμενον, ὡς τὸ πρὸς τὸν Ἐλύμαν εἰρημένον τῷ μακαρίῳ Παύλῳ, υἱὲ διαβόλε. ἀλλ' ἐν μὲν τῦτο, τὸ μηδαμῆ κατονομάζεσθαι πατέρα διαβόλε τῷ ἰδιώματι τῆς γραφῆς.

Δεύτερον δὲ, ὃ περὶ τῆ πατρὸς τῆ διαβόλε, τίς ὅλως ἦ, τῷ Σωτῆρι πρόκειται σκοπός· ἀλλὰ τίνος πατρὸς παῖδας ἑαυτὲς ὁ τῶν Ἰεδαίων ἀγνώμων λαὸς παρεσκεύασαν καὶ εἶναι καὶ ὀνομάζεσθαι. Καὶ γὰρ νῦν μὲν ἔλεγον πατέρα ἔχειν τὸν Ἀβραάμ· νῦν δὲ, ἡμεῖς πατέρα ἕνα ἔχομεν τὸν Θεόν. ἐχὶ δὲ, πατέρα ἔχομεν τὸν πατέρα τῆ Θεῦ. καὶ ὁ Σωτὴρ ἀπάγων τῆς πατρικῆς ἐν τῇ κλήσει σχέσεως, ἐπείπερ αὐτοὶ ἑαυτὲς διεχίσαντο καὶ διετέμοντο τῆς πρὸς αὐτὸν ὁμοιότητος, τολμᾶτέ, φησι, λέγειν ἑαυτὲς υἱὲς εἶναι τῆ Πατρὸς, ὑμεῖς τῆ διαβόλε ἐστέ. ἔτα, καὶ τὰς ἐντολὰς αὐτῆ θέλετε ποιεῖν. ἐχὶ τῆ πατρὸς δηλονότι τῆ διαβόλε. πῆ γὰρ παραδέδωκεν ἐκεῖνος ἐντολὰς, ὃς ὅλως ἐδὲ γνωρίζεται τῇ γραφῇ; ἀλλὰ τὰς ἐντολὰς τῆ διαβόλε, ὃς ἔστιν ὑμέτερος πατήρ. αἵτινές εἰσι πορνεία, μοιχεία, κλοπὴ, φόνος, ψεῦδος, καὶ ὅσων ἄλλων ἐκεῖνος κακῶν σπορεὺς τῇ γνώμῃ γέγονεν, καὶ ἀρχηγὸς τολμᾶσθαι τὰ ἀτόλμητα, καὶ καταπράττεσθαι. καὶ τὸ, ἐκεῖνος ἀπ' ἀρχῆς ἀνθρωποκτόνος ἐστὶν, εἰς τίνα ἂν οἰκειότερον ἀνενεχθείη, ἢ εἰς αὐτόν γε τὸν διάβολον, ὃς τῇ γλώσσῃ τὸν Ἀδὰμ τοῦ παραδέισε ἐξέβαλεν, καὶ πρόξενος αὐτῆ θανάτε καὶ φθορᾶς γεγένηται; Θεὸς γὰρ θάνατον ἐκ ἐποίησεν, ἐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων. Τίς δὲ

ἕτερος τὸν θάνατον διὰ τῆ ψεύδες ἐχαλκεύσαλο, καὶ κατὰ τῶν σπλάγχνων τῆ Ἀδὰμ τὴν φθοράν, εἰ μὴ ὁ παραδὺς μὲν τὸν ὄφιν, δι' αὐτῆ δὲ τὸν θανατηφόρον ἰὸν τῆς εἰς Θεὸν βλασφημίας τῆ γυναικὶ, καὶ διὰ ταύτης τῷ Ἀδὰμ κερασάμενος;

Ἐκ τέτων ἓν ἁπάντων καὶ ἑτέρων τοιάτων δείκνυται περὶ τῆ διαβόλε τὸν σωτήριον διαλαμβάνειν λόγον, καὶ τῆτον πατέρα καλονομάζειν τῶν ἀγνωμόνων Ἰεδαίων. Καὶ γὰρ κἀκεῖνοι τὸν Θεὸν ἐφιλοτιμῆντο παλέρα καλεῖν, καὶ εἰς υἱὸς αὐτῆ καλαλέγεθαι. εἰς δύο δὲ μοίρας μερίζων ὁ Σωτὴρ τὸν παρόντα λόγον, συμπλέκει μὲν πάλιν ἑκατέρᾳ ἑκάτερον· νῦν μὲν προτάτλων τὸν διάβολον, καὶ ὑποτάτλων τὸς Ἰεδαίος, νῦν δὲ προκαλαλέγων τὸς Ἰεδαίος, εἶτα ἐπάγων τὸν διάβολον. Διὸ περὶ τῆ διαβόλε προδιαλαβὼν, καὶ ἐκ τῆς τῶν ἔργων συγγενείας καὶ ὁμοιότητος δείξας τὸς Ἰεδαίος πατέρα ἔχειν αὐτὸν, μεταβαίνει πάλιν ἐπ' αὐτὸς τὸς Ἰεδαίος, δι' ὧν καὶ ἡ ὅλη τῆ λόγε γέγονεν εἰσβολή. καί φησιν· ὅταν ὁ Ἰεδαῖος τὸ ψεῦδος λαλῇ, ὥσπερ καὶ ὑμεῖς νυνὶ λέγοληες, πάλερα ἔχομεν τὸν Θεὸν, καὶ, πατέρα ἔχεμεν τὸν Ἀβραὰμ, ἐκ τῶν ἰδίων λαλεῖ. τετέχνιν ἀπὸ κοιλίας φωνεῖ, καὶ ἐκ ἐκ τῶν κριμάτων τῆ πνεύματος. ὅτι δὲ ψεύςης ἐςὶ, καὶ ἐξ ὧν αὐτὸς ἀλαζονεύελαι, δείκνυλαι, καὶ ἐξ ὧν ἔθετο ἑαυτῷ παλέρα διὰ τῆς τῶν πράξεων ὁμοιότηλος, περιφανῶς ἀναδείκνυται. διὸ καί φησιν, ὅταν ὁ Ἰεδαῖος τὸ ψεῦδος λαλῇ, ὅτι ψεύςης ἐςὶ καὶ αὐτὸς, καὶ ὁ πατὴρ αὐτῆ. ὃν ὁ Σωτὴρ, ὡς πολλάκις εἴρηλαι, τὸν διάβολον καὶ ἐκ ἄλλον εἶναι, καὶ ἀπεφήνα̃λο, καὶ κατωνόμασεν.

Η. (ζ΄.)

Ἐξαπέςειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτῆ, γεννώμενον δεῖ λέγειν, ἢ γενόμενον, δι' ἑνὸς ν̄;

Γενόμενον δεῖ λέγειν ἐκ γυναικὸς, ὥσπερ καὶ γενόμενον ὑπὸ νόμον, διὰ τῆ ἑνὸς ἀμεταβόλε. πρῶτον μὲν ἐκ τῆς συνεχῆς παραθέσεως τῶν νοημάτων τε καὶ ῥημάτων. δεύτερον δὲ, ὅτι γεγέννηλαι μὲν ὁ Χριςὸς ἐκ παρθένε, τῶν δύο γραφομένων κατὰ τὴν δευλέραν συλλαβὴν ἀμεταβόλων. ἐ μὴν δὲ γεννᾶται. ἅπαξ γὰρ ἐκ παρθένε γεγέννηται. Μηδενὶ δὲ ἡ τῆ Θεολόγε Γρηγορίε φωνὴ πλάνης αἴτιον γενέθω. ἐκεῖνος γὰρ ἔφησεν, Χριςὸς γεννᾶται, ἐχ ὅτι διὰ παντὸς ἐκ παρθένε γεννᾶται, ἀλλ' ὅτι γε ἡ παρῆσα τότε πανήγυρις τῆς τῆ Δεσπότε γεννήσεως ἐτύγχανεν ἡμέρα. διὸ παντὶ τρόπῳ φυλακλέον, τῆ Γενόμενον ἐκ γυναικὸς διὰ τῶν δύο ν μήτε τὴν γραφὴν μήτε τὴν ἐκφώνησιν ποιεῖθαι.

Θ. (ζβ΄.)

Τίνα νῦν ἀναπλύσσει τὸ τῆ ἀποςόλε ῥητόν· ἐκάθισεν ἡμᾶς ἐν δεξιᾷ τῆ Θεῆ καὶ Πατρός;

Ὅτι κρείτλες ἀγγέλων γεννῆθαι διὰ τῆς ἐν σαρκὶ τῆ Λόγε παρεσίας ἡμᾶς ἡ θεία γραφὴ διακέκραγεν, καὶ ἐν τῇ ἀναςάσει ἰσαγγέλες ἔσεθαι. Ἐκάθισεν γὰρ ἡμᾶς ἐν δεξιᾷ τῆ Θεῆ καὶ Πατρὸς, ὡς ὁ θεῖος Παῦλος βοᾷ, καὶ

καὶ ἑξῆς. καὶ ἐ μάχεται ταῦτα. τῷ μὲν γὰρ συνεδριάσαι τῷ θρόνῳ τῷ πατρικῷ τὸ ἐξ ἡμῶν πρόσλημμα, τῆς ἀγγελικῆς καὶ δόξης δῆλον ὅτι καὶ τιμῆς ὑπερανεσήκαμεν. τῷ δὲ μηκέτι μηδενὶ τῶν τῆς σαρκὸς ἐν τῇ ἀναστάσει μήτε καθέλκεσθαι, μήτε παρασύρεσθαι, μηδ' ὅλως ἐν χρείᾳ καθίστασθαι τῶν, ὅσα σαρκὸς φύσει ἐδέλευεν, τῆς τῶν ἀσωμάτων λήξεως χαρίζεται τὴν συγγένειαν, ὥσε εἰκότως καὶ ἰσάγγελοι καὶ κρείττους ἐκείνων ἐσόμεθα. τῷ μὲν τὴν φύσιν ἡμῶν ἐν τῷ προσλαβόνθαι συνεδριάσαι τῷ Πατρὶ, κρείττως. τῇ δὲ καθ' ἕκαστον ἡμῶν ἀπαθείᾳ καὶ ἀφθαρσίᾳ, καὶ τῷ τῶν σωματικῶν πάντων καὶ παθῶν καὶ σκιρτημάτων καὶ παχύτητος ἀπηλλάχθαι προσύλε, τὴν πρὸς τὰς ἀσωμάτους νόες ἰσότηλα ἀναδεδεγμένοι.

Ἐπισκεπτέον δὲ, ὅτι τὸ, ἔσονται ὡς ἄγγελοι Θεοῦ, ἐ τὴν ἰσοτιμίαν κηρύττει τῆς φύσεως, ἀλλὰ τὸ μηδὲν πάσχειν, ὧν ἔπαθον πρότερον, σαρκικῶν· παραπλησίως δὲ τῆς ἀγγελικῆς ἀπαθείας καὶ αὐτὰς ἐν τῇ ἀναστάσει τῶν σαρκικῶν ἀπηλλαγμένας πολιτεύεσθαι, κρείττως δὲ καὶ ἄλλως ἀγγέλων, ὅτι ἡμῶν μὲν ὀλιθησάντων τὴν φύσιν ἀνέλαβεν ὁ τοῦ Θεοῦ υἱὸς καὶ ἀνεσώσατο, ἐκείνων δὲ ἐκέτι. καὶ ζητεῖν δεῖ τὴν αἰτίαν, ὅτι αὐτοὶ μὲν ἐπλάνησαν, ἡμεῖς δὲ τῶν πλανηθέντων. καὶ ὅτι αὐτοὶ μὲν πολλὰς ἀφορμὰς εἶχον τοῦ μὴ ἐξαμαρτῆσαι, τὸ δυσπαθές τε, καὶ τὸ πλησιάζειν μᾶλλον Θεῷ, καὶ τὸ ἀσώματον· τοῖς δὲ ἑσπὴν ἐλέου παρέχει καὶ τὸ εὐπαθέστερον καὶ τῷ σώματι καθέλκεσθαί τε καὶ συνδεδέσθαι. καὶ, τὸ μεῖζον, ὅτι ἐκ ἐπιγεγέννηλαι ἐκ τῶν πεσόντων ἕτεροι, δι' ὃς ἂν τὸν φιλάνθρωπον ἕλκεν τὸ πλῶμα πρὸς ἔλεον. ἀλλ' αὐτοί γε οἱ παραβάντες τὴν παράβασιν διαπαντὸς μένουσι σέργοντες. ἔτι δὲ ὅμοιον ἐδ' ἐγγὺς ἀγγέλων τε φύσεως καὶ ἀνθρώπων ἐπιλαβέσθαι. τί γὰρ καὶ ὤνησεν τοὺς ἐ πεσόντας; εἰ δὲ διὰ τοὺς πεσόντας, πῶς ἐ χείρους οἱ μὴ πεπλωκότες τῶν πεπλωκότων, εἰ τοῦτο ἐπεργαστέον; ἔτι σαρκωθεὶς ὁ Λόγος τά τε τῆς ἀρετῆς καὶ τὰ τῆς εὐσεβείας μαθήματα ἡμᾶς ἐξεπαίδευσεν, δι' ὧν ἡμῖν γένοιτο τῇ παρ' αὐτοῦ χάριτι κατορθοῦσιν, ἃ ὑπέθετο τῆς τῶν ἐρανῶν βασιλείας ἀδιάδοχος κληρονομία. ἡ δὲ ἀγγελικὴ φύσις καὶ τῆς ἀρετῆς καὶ τῆς εὐσεβείας εἶχεν τὴν γνῶσιν. τῆς μὲν ἀρετῆς, ἐξ ὧν τοὺς ὑπ' αὐτῆς ὑποσκελιζομένους πρὸς ταναντία μεθελκέν τε καὶ ὑπεδελέαζεν. καὶ τῆς εὐσεβείας δ' ὁμοίως, καὶ ἐξ ὧν ἐβόα· οἶδά σε τίς εἶ· ὁ ἅγιος τοῦ Θεοῦ. καὶ, ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς. καὶ μυρία ἄλλα. ὥσε εἰς μάτην αὐτὴν τῶν ἀγγέλων ὑπῆρχεν Φύσιν. Ἔτι σαρκοῦται ὁ Λόγος, ὁδὸν ἡμῖν, δι' ὧν ἔπραξεν, ὑποδεικνὺς, δι' ἧς ἡμῖν ἡ πρὸς τὸν ἐρανὸν ἄνοδος πορισθήσεται. τοῖς δὲ δαίμοσι πρόκειται τὰ ὁμογενῆ τάγματα τῆς ἀρχαίας λήξεως, δι' ὧν πράττουσι, τὴν μακαριότηλα προδεικνύοντα. ἀλλ' ἐκεῖνοι γνώμης ἀπονοίᾳ ὅτε ἔπεσαν, οὔτε πρὸς αὐτοὺς ἐπιστρέφονται· ὥσε περίεργόν ἐσιν, ἀγγέλων τὴν τοῦ Θεοῦ Φύσιν ὑπελθεῖν. μᾶλλον δὲ εἰς μείζω καὶ βαρυτέραν, εἴπερ οἷόν τε ἐσι, τῆς ἀποκειμένης αὐτοῖς κολάσεως. Ἔτι ἀγγέ-

λων εἴπερ ἔμελλεν ὁ Λόγος Φύσιν ὑπέρχεσθαι, πῶς ἂν ὑπῆλθεν, τόκῳ μὴ μεσιτεύοντος; εἰ δ' ἁπλῶς κατ' οἰκείωσιν καὶ χετικὴν σύνοδον τοῦτο προσῆν τοῖς δαίμοσιν, ἀλλ' ἐκεῖθεν διερρύγησαν. Ἔτι τίνες τῶν ἀγγέλων ἔπεσεῖτο τὴν κατὰ τὸ ἄκρον οἰκείωσιν; εἰ μὲν τῶν ἐσώτων, καὶ τί ἂν τὸ πεπλωκὸς ὤνησε; ἐκείνων γὰρ καὶ πρὶν μὲν ὄντων ἐν τοῖς ἀμείνοσι τὸ δαιμόνιον ταλανίζεται. εἰ δὲ τῶν πεπλωκότων, πῇ τὸ δίκαιον; πῶς δ' ἂν ἐκ ἔχεν χάραν ἐκλέγεσθαι τὸ καλεγνωσμένον Παύλῳ· ποιήσωμεν τὰ κακά; ἔτι δὲ τόκῳ ταῖς ἀγγελικαῖς δυνάμεσι μὴ μεσιτεύοντος, οὐδὲ Φύσιν ἦν δυνατὸν αὐτῶν ἀναλαβεῖν τὸν Λόγον τοῦ Θεοῦ, ἀλλά τινα τὸν καθ' ἕκαστον. ὃν δ' ἂν ἔλαβεν, μόνον ἐκεῖνον ἂν καὶ ἔσωζεν. ὥστε συνέβαινεν ἂν αὐτὸν μυριάκις ἀγγέλων ἄτομα ὑποδύεσθαι. μᾶλλον δὲ ἀνίλεως εἴη δαιμόνων, οἳ πάσης κακίας ἑαυτὸς ἀπέδειξαν ὄργανα.

I. (ϛ΄.)

Διατί ἐπετίμησεν ὁ Ἰησοῦς τῷ Πέτρῳ, τὸν θάνατον δυσαναχετοῦντι;

Ὅτιπερ εἰ καὶ φίλτρῳ ζέοντι καὶ στοργῇ ἐμπύρῳ ἐδόκει προσαγαγεῖν τὸ ῥῆμα, ἀλλ' οὖν ἡδονὴν ἔφερεν τῷ διαβόλῳ. τὸ γὰρ μὴ παθεῖν τὸν Χριστὸν, κέρδος ἦν μέγιστον τῷ Σατανᾷ, ἅτε δὴ τῆς τῶν ἀνθρώπων τυραννίδος ἐκ ἐξισαμένῳ. διὰ τοῦτο ἔν καὶ ἡ ἐπιτίμησις λέγει· ὕπαγε ὀπίσω μου, Σατανᾶ, διότι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ.

IA. (ϛ΄.)

Πῶς ἐντελλόμενος ὁ Σωτὴρ πάντας ἀγαπᾶν, ἐπιτάττει πέμπων τοὺς μαθητὰς εἰς τὸ κήρυγμα, μηδένα ἀσπάζεσθαι κατὰ τὴν ὁδόν;

Ἴσθι, ὅτι ἐκ ἔστιν ἐναντία ταῦτα ἀλλήλων. ἀπασχολεῖσθαι γὰρ περὶ τὰς ἀσπασμοὺς καὶ τὰς δεξιώσεις, ταῦτος προκρίνοντας τοῦ κηρύγματος, οὐκ ἐᾷ. οὐ μὴν γε κωλύει τὴν ἀγάπην, ἐπιτείνει δὲ μᾶλλον, εἴπερ τὸ κήρυγμα τῶν μαθητῶν τοῖς ἀνθρώποις τὴν ἐλευθερίαν ἐχαρίζετο τῶν παθῶν, καὶ τὴν εὐμένειαν, καὶ τὴν σωτηρίαν τὴν ἀπὸ τοῦ Θεοῦ.

IB. (ϛ΄.)

Πῶς συμβαδιθήσεται τὸ ἀποστολικὸν ῥητὸν, τὸ Φάσκον, τὰ σημεῖα οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις, τοῖς δεσποτικοῖς λογίοις, τοῖς λέγουσιν, ἡ πίστις σου σέσωκέ σε· καὶ, οὐκ ἠδυνάσθη ποιῆσαι σημεῖα διὰ τὴν ἀπιστίαν αὐτῶν, καὶ ὅσα ἄλλα τὴν αὐτὴν ὑποβάλλει διάνοιαν;

Τῷ διερευνῶντι φιλομαθῶς ἐκ ἐργώδης τῶν εἰρημένων ἡ καλανόησις. τοῖς τε γὰρ ἤδη χρόνῳ πεπιστευκόσι, καὶ μηδεμίαν ἀμφιβολίαν περὶ τοῦ καθ' ἡμᾶς μυστηρίου παραδεχομένοις, ὡσαύτως δὲ καὶ τοῖς τελείως τῇ ἀπιστίᾳ κεκρατημένοις, καὶ μὴ θέλουσι διὰ τῶν σημείων πρὸς τὴν εὐσέβειαν χειραγωγηθῆναι, κενὸν καὶ μάταιον ἡ τῶν σημείων ἐπίδειξις. τοῖς δέ γε ἐν τῇ ἀπιστίᾳ μὲν τεθραμμένοις, εἶτα ἠρέμα πως τὰς λογισμὰς πρὸς τὴν εὐσέβειαν ἐνδιδόναι

δόναι διανισαμένοις, τούτοις οἰκεία καὶ πρόσφορος τῶν παραδόξων ἔργων ἡ Φανέρωσις. Διὰ τοῦτο καὶ ὁ Κύριος ὅτε παρὰ τῶν παηλεκᾶς ἀπίστων πίστιν ἐπιζητεῖ· ἤδει γὰρ ὐχ εὑρίσκων ἐν αὐτοῖς. ὅτε παρὰ τῶν εἰλικρινῶς πεπιστευκότων· προειλήφει γὰρ καὶ ταύτην προεισενεγκόντων αὐτῶν. ζητεῖ δὲ παρ' ἐκείνων, οἳ, ἐξ ἀσεβείας εἰς εὐσέβειαν μεταβαλλόμενοι, ἤδη τὴν πίστιν ὠδίνουσιν ἐν ἑαυτοῖς. Τοῖς τοίνυν πιστοῖς ὐ δίδοται τὰ σημεῖα· περιττὸν γάρ. ἐδὲ τοῖς ἀμεταβλήτως ἔχουσιν ἀπὸ τῆς ἀπιστίας· εἰς κενὸν γάρ. ἀλλὰ τοῖς ἐξ ἀπιστίας εἰς πίστιν μεταβαλλομένοις· ἐν καὶ ἡ πίστις ἐπιζητεῖται τελεσφορηθῆναι, καὶ τελεσφορεμένη πρόξενος γίνεται τῆς ἀπολαύσεως τῶν θεοσημείων. Οὐδὲν ἓν διαμάχεται τῷ θεσπεσίῳ Παύλῳ ἡ Φωνὴ τοῖς εὐαγγελικοῖς ῥήμασι. πρὸς μὲν γὰρ τὸν πεπωρωμένον τὴν καρδίαν ὐκ ἠξίω παραδοξοποιεῖν ὁ ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων πάντα πράττων Θεός· οἱ δὲ εἰλικρινῶς πεπιστευκότες ὐκ ἐδέοντο τούτων εἰς τὸ πιστεῦσαι. ὑπόλειπον ἦν, πρὸς ἐκείνους τοὺς θαυματουργίας τὸν τῷ γένει ἡμῶν σωτῆρα ἐπιτελεῖν, οἳ ὅπως μὲν πεπιστευκότες ἦσαν, καὶ τὴν τῶν ἀπίστων ἔτι χώραν ἀνεπλήρουν, ὅμως δὲ ἐζήτουν, δι' ὧν πιστεύσουσιν, καὶ χειραγωγὸν λαμβάνοντες τὰ σημεῖα, εἰς τὴν τῶν πιστῶν μεθιλάττοντο μοῖραν.

ΙΓ. (ρβ'.)

Δι' ἀγγέλων μνήμην ὐκ ἔχει ἐν τῇ κοσμογενείᾳ Μωσῆς; καὶ τί σημαίνει τό· τοῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ;

Ἄμφω μὲν τὰ ζητήματα ταῦτα καὶ ἐν ἑτέροις ἡμῶν γράμμασιν οἶμαι τὴν λύσιν εὑρεῖν, τῆς μὲν ἀκριβείας ὐκ ἂν ἔτοιμα μηδὲν ἀποδέουσαν, τῆς δὲ δυνάμεως ὐδὲν ἔχουσαν ἐνδεέστερον. Ἐπεὶ δέ σοι φίλον, καὶ ἰδικώτερον ἔχειν τὴν περὶ αὐτῶν θεωρίαν καὶ ἀνάμνησιν, καίτοιγε κεχαριτωμένος ἂν καὶ αὐτὸς ὐ μόνον εὐδένειν τὰ τοιαῦτα, ἀλλὰ καὶ ἄλλοις μαθεῖν παρέχειν, τῆς σῆς συνέσεως τὴν αἴτησιν ὐ παρητησάμεθα. Διὸ φαμὲν, ἐξ ὧν τῆς μνήμης καὶ τῶν λογισμῶν ὁ πολὺς ὄχλος, καὶ τῶν πεφασμῶν καὶ τῶν θλίψεων ὐκ ἀφείλαντο, ἀλλ' ἔτι μένειν τινὰ τῶν λειψάνων ὑπελείποντο, ὡς καὶ δι' ἄλλας μὲν αἰτίας, Μωσῆς, τῆς κοσμογενείας εἰς ἐμφανῆ διήγησιν καθισάμενος, ἀγγέλων ὅτε ὐσίας ὅτε γενέσεως ἐπεμνήσθη. Κεχωρισμένα τε γὰρ ταῦτα τῆς αἰσθητῆς κτίσεως. καὶ τοῖς ἐξ Ἰσραὴλ ἄρτι πρὸς θειοτέραν θεωρίαν ἀναγομένοις ἀπὸ τῆς Αἰγυπτιακῆς μάλιστα δεισιδαιμονίας, ἐν ᾗ πολὺν χρόνον, εἰ καὶ μὴ τῇ πλάνῃ κάτοχοι, ἀλλ' ἔν γε τοῖς κατεχομένοις τὸν βίον διέτριβον, ὐκ ἦν εὐχερὲς ὐδὲ ῥᾴδιον φέρειν πρὸς τὴν τῶν ἀσωμάτων καὶ θεοειδῶν νόων ἐπανάγεσθαι μάθησιν. Οὐδὲν δὲ ἦττον, εἰ μὴ καὶ μᾶλλον τῶν εἰρημένων, ὅτι μηδ' ἀγγέλοις τὸν νόμον εἰσφέρειν ἔμελλεν, ἀλλ' ἀνθρώποις, εἰς ἣν καὶ ἡ γένεσις, καὶ ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πρόοδος. καὶ ὁ γενεσιουργὸς ἀναγκαῖα μαθήματα, καὶ τὸ χρήσιμον παρεχόμενα, ἐρανὸν μέντοι καὶ γῆς καὶ τῶν ἄλλων εἰσάγει γένεσιν, ὅτι ταῦτά τε πρὸ τῆς τοῦ ἀνθρώπου ὐσίας ὑπέστη, καὶ ὅτι

ἐν αὐτοῖς τὴν διαιταν ὁ ἄνθρωπος ἔμελλεν ἔχειν, καὶ διότι τὰς κατὰ τὴν αἴθησιν ἄλλας ἀναγκαίας χρείας τοῖς νομοθετουμένοις ἔμελλε παρέχειν. Θεῦ μὲν γὰρ ὁποίαν δήποτε ταῖς ψυχαῖς, εἰ καὶ μὴ πρὸς τὴν ἀκρίβειαν ἀνηγμένην, ὅμως ἔννοιάν τινα καὶ φαντασίαν εἶχον, ἀγγέλων δὲ ἠδαμῶς. ὅπου γε καὶ τὸ Σαδδεκαίων μέλαν πολλὰς γενεὰς ἔθνος Θεὸν μὲν ὁμολογεῖν ἐφρόνει, ἀγγέλους δὲ καὶ πνεύματα ἐδὲ ἀκοῇ παραδέχεσθαι ἀνεκλὸν ἡγεῖντο. Ὅτι δὲ δι' ἀσθένειαν τῶν δεχομένων ἡ τῶν ἀσωμάτων νόων διήγησις τῷ θεόπλῃ κατ' ἀρχὰς παραλελῆφθαι Μωσεῖ, δῆλον, ἐξ ὧν ἐπὶ τέλει τῆς ἄλλης ἱστορίας καὶ τῶν πολλῶν λόγων εἰς μνήμην αὐτῶν περιῆλθεν, εἰ καὶ μηδὲ τότε γένεσιν εἰσάγων, ἀλλ' εὐφροσύνην μὲν ἐρανῶν, προσκύνησιν δὲ ἀγγέλων. εὐφράνθητε, λέγων, ἐρανοὶ ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεῦ. ὁ μέντοι γε Θεοπάτωρ Δαβὶδ πυρός τε αὐτῶν ἀνεῖπεν τὴν ἐσίαν, καὶ δημιεργὸν ὑπάρχειν, ὃς καὶ τῆς ἄλλης ἐξ ἀκτίσεως ἅπασης καὶ ἐπιγινώσκειαι δημιεργός. ὁ μὲν ἓν καιρὸς περὶ τῶν ἀγγέλων τοιαῦτα παρέχειν εἰπεῖν.

Τὸ δὲ, τῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτῦ, ἀντὶ τῦ, ἐπισυνάξεις τὰς κατανεμομένας αὐτῦ καὶ διαφθείρουσας τὴν κεφαλὴν ἄνθρακας. καὶ γὰρ θᾶττον ἂν αὐτὴν διεργάσαιντο, εἰ μὴ θᾶττον αὐτὰς σὺ ταύτης ἀποσωρεύσης καὶ ἀπαλλάξης τῦ ἕρπουτος καὶ καλεθίοντος αὐτὴν πάθους. Πῶς δ' ἐκ ἂν ὀφθείης ἄριστος ἔτως πράττων τῦ πλησίον ἰατρός; τραπέζῃ γὰρ καὶ φιλοτησίᾳ παρὰ σῦ δεξιώμενος ὁ ἐχθρὸς, εἰ καὶ μὴ διότι φιλόκαλος καὶ τῆς ἀρετῆς ἐραστὴς, ἀλλ' ἔν γε διὰ τὴν ἀπάθειαν, ἣς παρὰ σῦ τὴν ἀπόλαυσιν ἔχει, πῶς ἐκ ἂν ἐκσῆναι μὲν τῆς ἔχθρας λογισμὸν ἀναλάβοι, ἐκσῆναι δὲ δικασαίη τῆς ἐπιβελῆς, καὶ ἀνανήψας τὰς λογισμὰς καὶ τὴν ἐν αὐτοῖς πύρωσίν τε καὶ φλεγμονὴν, ἣν ἀνέφλεγεν ἡ ἔχθρα, πρὸς τὸ μαραίνεσθαι καὶ παύεσθαι μελαβαλὼν, κατὰ μικρὸν ἐπὶ τὸ εἰδέναι καὶ σέργειν τὸν εὐεργέτην χειραγωγηθείη διὰ τῆς εὐεργέτιδος καὶ φιλοφρονέσης δεξιᾶς, πᾶσαν τὴν τῦ μίσες διαγλυκάνας πικρίαν, τήν τε ἀναλίσκεσαν καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα καὶ τὴν κεφαλὴν κατὰ τῦ εὐεργέτυ δυσμένειαν εἰς αἰδὼ διαλυσάμενος καὶ σοργήν; Εἰ δέ γε μετὰ τὴν τοσαύτην εὐεργεσίαν, δι' ἧς τὸ τῆς ἀγαθότητος ἐξεικονίζεται κάλλος, ἐδὲν πρὸς τὸ βέλτιον ὁ τῷ φθόνῳ τῦ πλησίον καὶ τῷ μίσει κάτοχος, ἐδὲ πρὸς μεταβολὴν καὶ διόρθωσιν ἐπιβλέψαι βέλοιτο, θηρίον μὲν ἂν ὁ τοιῦτος καὶ ἐκ ἄνθρωπος εἴη, καὶ σπάνιον ἐν ἀνθρωπίνῃ φύσει τὸ τοιῦτον κακόν. σὺ δὲ ἐδὲν μὲν ἧττον ἐδὲ μετὰ τὴν τοσαύτην ἀπόνοιαν, ἀλλὰ καὶ μᾶλλον τὰς κατανεμομένας αὐτῦ τὴν κεφαλὴν ἄνθρακας τῇγε σῇ προνοίᾳ σωρεύων, τὴν δεσποτικὴν ἂν εἴης μίμησιν ταῖς εὐεργεσίαις ἀναπληρῶν, ἐκεῖνος δ' αὐτῦ τὸ ἁμάρτημα πάσης ἀθλίως ἐπὶ πλέον ὥσπερ εὐεργεσίας, ἔτω καὶ συγγνώμης ἔδειξε δυνατώτερον. Εἰ δέ τις τὸ, ἄνθρακας πυρὸς ἐπισωρεύσεις ἐπὶ τὴν κεφαλὴν

φαλὴν αὐτῷ, καὶ κατὰ τὴν πρόχειρον ἐκδοχὴν, καὶ τὰς πολλὰς παρακαλέσαν, εἰς τὸ μὴ τὴν ἔχθραν ἔχθρᾳ καὶ ἀμύνῃ χαλεπωτέραν ποιεῖν, θελήσει νοεῖν, ἐδὲ τοῦτο ἂν εἴη ςοχασμῷ διαπεσεῖν, ὑφ' ἧ παρασκευάζεται. καὶ πρὸς συγκατάθεσιν ἕλκειν μᾶλλον δύναται ἡ τῷ μὴ ἀμύνασθαι παραινέσασα τὰς πολλὰς πειθώ. εἰ δ' ἐ παύεται βέλη κινῶν ὁ μάτην κατὰ σὲ τὴν ἔχθραν ὑπελθών, ἄμεινον μὲν ἂν εἴη, τὸν κοινὸν πλάσην καὶ τὴν πλάσασαν δεξιὰν καὶ τὴν αὐτὴν φύσιν ἐννοῦντα νικῆσαι γνώμης χρηςότητι τὸν μισέμενον. διότι παράγει δι' ἔχθρας τὸ ὁμοφυές. εἰ δὲ μὴ, βέλει δὲ τοῦτον ἀμύνασθαι καὶ λυπῆσαι, καὶ μηδὲν ἐν τούτοις διαμαρτεῖν, ψώμιζε, πότιζε αὐτόν. πῶς καὶ διατί; τὸν κοινὸν Δεσπότην διὰ τούτων σαυτῷ παρασκευάζεις ἐκδικητὴν, ἐκεῖνον δὲ διὰ τῶν εὐεργεσιῶν εἰς ἐκδίκησιν κινήσεις, θᾶτλον ἂν ἴδοις τὸν ἐχθρὸν οἷα πυρὶ τῇ ἐκείνε δίκῃ καὶ κρίσει φλεγόμενόν τε καὶ καταπιμπράμενον, καὶ αὐτῇ συναπολύμενον ἔχθρᾳ καὶ ἐπιβολῇ.

ΙΔ. (ριά.)

Πόθεν ἐςὶ τῆς γραφῆς λαβεῖν ὑπὸ τῷ διαβόλε τὸν Ἀδὰμ ἀπατηθῆναι;

Ὁ δὲ ἐπηρώτησας, ὡς πόθεν ἐςὶ τῆς γραφῆς λαβεῖν, ὑπὸ τῷ διαβόλε τὸν Ἀδὰμ ἀπατηθῆναι, πᾶσι μὲν εὐσεβέσι νομίζεται τοῦτο, ἀλλ' ἡ γραφὴ, ἣ διὰ τῷ ὄφεως μόνον ἀπατηθῆναι τὴν Εὔαν, δι' αὐτῆς δὲ τὸν Ἀδὰμ εἰσάγει, περιφανεςέραν τῷ ζητήματος τὴν λύσιν ἔχει. Αὐτὸς γὰρ ὁ Κύριος ἐν εὐαγγελίοις ἐδίδαξεν ἡμᾶς εἰπών· ἐκεῖνος ἀπ' ἀρχῆς ἀνθρωποκτόνος ἐςὶν. Καὶ γὰρ ἐχ, ὡς ἐνίοις ἔδοξε, τὸν Καὶν μηνύει. ἀλλ' εἰς αὐτὸν τὸν Σατανᾶν τὴν κατηγορίαν ἀναφέρει. Ὁ γὰρ ὄφις, ὄργανον μὲν τῷ διαβόλε χρηματίζων, ἐδεμίαν παρέχεται ἀπορίαν, αὐτουργὸς δὲ καὶ πρωταίτιος τῆς ἀπάτης ἐδαμῶς ἂν ἔχη χώραν νομισθῆναι. διὰ τοῦτο δὲ, καὶ ἐχὶ δι' ἄλλε ζῴε, προσάγει ὁ πονηρὸς τὴν ἀπάτην τῇ Εὔᾳ, ὅτι κεχαρισμένον ἦν τοῦτο τὸ ζῷον τῇ γυναικὶ, ὃ πλὴν τὴν ἄλλην εὐφυΐαν καὶ πρὸς τὸ μιμήσασθαι δυνατὸν ἦν. ἄλλως τε δὲ καί τινος ἐμφύτε μελέχον τοῦτο τὸ ζῷον ὁρῶν Φρονήσεως ὁ διάβολος, ἐπιτήδειον ἐνόμισε πρὸς τὴν ὑπηρεσίαν αὐτῷ τῆς ἀπάτης χρηματίσαι ὄργανον, ἅτε δὴ μάλισα καὶ γλῶτταν ῥήμασιν ὑπηρετήσασθαι λαχόνα τότε τὸν ὄφιν. ἀφράσε δὲ προνοίας ἔργον ἦν καὶ τὸ, τὸν ὄφιν φωνὰς ἐναρθρες ἀφιέναι. Ἐνορῶν γὰρ ὁ πλάσης τὰς τῷ πονηρῷ ἐννοίας, καὶ ὡς εἰ μὴ τὸν ὄφιν ὄργανον τῆς ἀπάτης λάβοι, αὐτὸς ἐκείνες τὸς ἀνθρώπες εἰς τὴν ἑαυτῶν ἀπάτην συλαγωγήσει, συγχωρεῖ τὸν ὄφιν ἀνθρωπίνες φωνὰς προϊέναι, ἵνα μὴ ἐξ αὐτῶν τῶν ἀνθρώπων ἡ τῶν ἀνθρώπων λύμη ἐκβλασήσῃ, καὶ ἡ τῷ κακῷ ἀρχὴ ἐκεῖθεν τὴν πρόοδον λάβει. Εἰ γὰρ αὐτοὶ τῆς εισηγήσεως τῷ ἁμαρτήματος καθεσηκότες ὤφθησαν ἀρχηγοὶ, ὅπερ ἂν ἐπὶ τῷ ὄφεως ἐπράχθη, καὶ ἐπ' ἐκείνων ἂν διεφυλάχθη. καὶ ἐδ' ἀνακρίσεως τυχόντες ἄν, ὥσπερ ἐδ' ὁ ὄφις, τὴν καταδικάζεσαν ἐδέξαντο ψῆφον. ἀλλὰ παραχωρεῖται τῷ ὄφει τῶν ἀνθρώπων ὁ λόγος, ἵνα μὴ ὁ ἄνθρωπος ἀρχη-

ἀρχηγὸς ὀφθῇ γεγενημένος τῆς κακίας. Τοιοῦτον γὰρ τὸ θεῖον. ἐξ ὧν ὁ ἀντικείμενος τὴν κακοτεχνίαν ἐπινοεῖται, διὰ τούτων αὐτῷ τὰ μηχανήματα περιτρέπει τε καὶ καταλύει.

ΙΕ. (ριθ΄.)

Διατί μάγοι ἐξ ἀνατολῶν καὶ Περσῶν, καὶ ἐκ ἐξ ἑτέρας χώρας ἢ ἔθνες τῷ δεσποτικῷ τόκῳ παραγεγόνασι πρῶτοι;

Διὰ πολλὰς οἶμαι αἰτίας. Πρῶτον μὲν γὰρ προφητείαν τινὰ ἐξεπλήρουν, τὴν λέγουσαν· Βασιλεῖς Ἀράβων καὶ Σαβᾶ δῶρα προσάξουσιν. Καὶ γὰρ οἱ Πέρσαι τηνικαῦτα τῶν χωρῶν ἐκείνων τὸ κράτος εἶχον. Φέρει δὲ ἡ ἐκείνων γῆ ἐπίσημόν τε χρυσὸν καὶ σμύρναν καὶ λίβανον. ἄλλως τε δὲ καὶ τῆς μὲν Αἰγυπτίων βασιλείας εἰς Ἀσσυρίους διαλελυμένης, τῶν Ἀσσυρίων δὲ εἰς Πέρσας μεταῤῥυείσης, καὶ τῶν ἐπὶ γῆς τότε Βασιλέων Περσῶν τὰ πρεσβεῖα ἐχόντων, ἔδει τοῖς τὸ πρωτεῖον ἐν τοῖς τότε καιροῖς λαχοῦσι, τῷ πρώτῳ καὶ μόνῳ βασιλεῖ τῶν αἰώνων, ἐπὶ γῆς ὀφθέντι Χριστῷ, τῷ Θεῷ ἡμῶν, παραγεγονότας τε προσκυνῆσαι, καὶ δῶρα κομίσαι, δι' ὧν ἔπραττον ἀνομολογοῦντας, ὅτι ὁ τεχθεὶς βασιλεὺς καὶ αὐτῶν τῶν μικρᾷ τῆς γῆς ἁπάσης κρατούντων, καὶ κατὰ πάντων τὸ πρωτεῖον ἐχόντων, δεσπότης καὶ κύριος καὶ βασιλεὺς χρηματίζει, προσκυνούμενός τε ὑπ' αὐτῶν καὶ δορυφορούμενος. εἰ δ' ὅτι ἐκεῖθεν ἐτύγχανεν καὶ Ἀβραὰμ ὁ πατριάρχης, ἐκ Χαλδαίων γὰρ γῆς πρῶτος ἀπάρας θεογνωσίαν ἐκήρυξεν, διὰ τοῦτο καὶ ἦτοι εἰς προσκύνησιν τοῦ Σωτῆρος πρῶτοι τῶν ἄλλων ἐκεῖθεν ἐκινήθησαν παραγενέσθαι, τραγῳδιασαλπιζούσης τῆς τοιαύτης οἰκονομίας, ὅτι ὁ αὐτός ἐστιν ὁ καὶ τότε καὶ νῦν ἐνεργῶν. τότε μὲν τυπικῶς, νῦν δὲ αὐτοῖς πράγμασι καὶ ἀληθείᾳ. Οὐδὲ τοῦτο ἂν εἴη τῆς ὀρθῆς ἄπωθεν διανοίας. Νόει δέ μοι καὶ ἐκεῖνο. Οἱ Ἀσσυρίων βασιλεῖς τήν τε Ἱερουσαλὴμ πολλάκις ἐπόρθησαν, καὶ τὰ ἐν τῷ θείῳ νεῷ κειμήλια ἀπεσύλησαν. καὶ αὐτὸν ἐθ' ὅτε τὸν ναὸν πυρὸς ἔργον ἀποφήναιλες. καὶ ὅσα ἄλλα ἡ περὶ ταῦτα ἱστορία διέξεισιν. ἡ δὲ τῶν Ἀσσυρίων ἀρχὴ εἰς Πέρσας μετέπεσε, καὶ τὸν ἐκείνοις πλοῦτον ἅπαντα, ὅσος τε ἐν λαφύροις, καὶ ὅσος ἐν ὑπηκόων φόροις, εἰς ἐκείνους συμμετέσησεν. Ἄγει τοίνυν ὁ Θεὸς τοὺς Πέρσας εἰς προσκύνησιν τοῦ βασιλέως τοῦ Ἰσραὴλ, ὃς ἐστι Χριστὸς, ὁ Θεὸς ἡμῶν, ᾧτινι καὶ ἀνέστο μὲν ἐν Ἱεροσολύμοις νεὼς, ἀνεφέροντο δὲ καὶ αἱ θυσίαι. καὶ τρέχουσι δρομέως, καὶ προσφέρουσι ἀντὶ μὲν τῆς παρὰ τῶν πατέρων αὐτῶν γεγενημένης εἰς τὰ ἱερὰ τοῦ Θεοῦ ἀτιμίας τιμὴν, ἀντὶ δὲ τῶν δυσφημιῶν θεολογίαν, καὶ προσκύνησιν ἀντὶ τῆς ἄλλης παροινίας, ἀντὶ δὲ τῶν συλαγωγηθέντων δῶρα. τῆς προγονικῆς ὥσπερ ὑπεραπολογούμενοι τόλμης, καὶ τὴν συγγνώμην ἐκείνοις διὰ τῆς οἰκείας ἐκκαλούμενοι πράξεως. Καὶ προσφέρουσι μὲν χρυσὸν ἀντὶ τοῦ χρυσοῦ καὶ τῶν ἱερῶν κειμηλίων, ὧν ἐσύλησαν. λίβανον δὲ ἀντὶ τῶν θυσιῶν, ἃς ἐκώλυσαν, καὶ σμύρναν ἐπὶ τοῦ ἅπαξ ὑπ' αὐτῶν ἀνῃρημένους, ὃς πάλαι κατὰ τὴν πολιορκίαν ἐνῆν αὐτοῖς ἀναφῆσαι

σῆσαι καὶ παρασῆσαι, ὥσπερ τιμὴν ἐκείνοις τὴν σμύρναν κομίζοντες, τάχα δὲ καὶ τὴν γνώμην αὐτῶν ἐνδεικνύμενοι. ὡς τό γε ἐπ' αὐτοῖς καὶ τὸν καλασραφέντα ναὸν καὶ τὴν πόλιν Ἱερουσαλὴμ αἱρετὸν ἦν ἀνανεῶσαι. Καὶ γὰρ ἡ σμύρνα συσφίγγειν εἴωθεν τὰ διεξῶτα καὶ διεσπασμένα. καὶ γὰρ εἰ καὶ ἐπὶ Ἔσδρᾳ τε καὶ Ζοροβάβελ ἀνηνέχθη τινὰ τῶν λαφυραγωγηθέντων ἱερῶν, ἀλλ' ἓν ἐνδεῶς ἐπράτλετο ταῦτα, μήτε τῷ λυτρωτῇ καὶ σωτῆρος ἡμῶν παραγεγονότος, μήτε αὐτῶν τῶν συλαγωγησάντων αὐτοπρόσωπον τὴν προσφορὰν τῶν σεσυλημένων, ἀλλὰ δι' ἑτέρων ποιωμένων. προμήνυμα δ' ἂν εἴη καὶ ἡ Περσῶν πρώτη ἄφιξις, ὅτι πρῶτον οἱ ἐξ ἐθνῶν, ἥπερ ὁ Ἰσραὴλ, τὸν οἰκεῖον ἐπιγνώσοιλαι Δεσπότην. Εἰ δέ τις ἐθέλοι καὶ τὰ προσκομισθέντα δῶρα, τὸν μὲν χρυσὸν ὡς βασιλεῖ προσενεχθῆναι τῶν ὅλων, οἱονεὶ φόρον τινὰ καὶ ὑπακοῆς σημεῖον, ὡς Θεῷ δὲ τὸν λίβανον, καὶ σμύρναν, ὡς δι' ἡμᾶς γενησομένῳ νεκρῷ, καὶ τοῦτο ἐκ ἂν ἀναρμόσως τῷ προτεθέντι περιαχθείη.

Ις. (ρκ΄.)

Διὰ τί ἐπικελεύεται ὁ Ἡρώδης τοῖς εἰς προσκύνησιν ἥκουσιν τῷ Σωτῆρος ἡμῶν Χριστῷ μάγοις· ἀκριβῶς ἐξετάσαλε, λέγων, περὶ τοῦ παιδίου, ἐπὰν δὲ εὕρηλε, ἀπαγγείλατέ μοι, ἵνα κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ;

Ὅσον μὲν ἀπὸ τοῦ γράμματος, διὰ τοῦτο, ὅτι βασιλεὺς ἦν τῆς Ἰουδαίας, καὶ βασιλέως τόκον ἀκούσας, ἐταράχθη τε καὶ ἐζήτει ἀνελεῖν τὸν ἐλπιζόμενον παραλῦσαι τῆς βασιλείας αὐτόν. Καὶ ἐπείπερ ἐκ ἦν ῥᾴδιον αὐτὸν ἀνευρεῖν, δόλον προβάλλεται καὶ ἀπάτην. Καὶ διὰ τοῦτο φησίν· ἵνα κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. Ἀλλ' αὕτη μὲν ἡ ἐπὶ τῷ γράμματι καλανόησις. τάχα δὲ καὶ ἄκων προφητεύει τὸ μέλλον, ὅτι μὴ μόνον τὰ ἔθνη διὰ τῶν Περσῶν προσκυνήσει τὸν Χριστὸν, ἀλλὰ μετὰ τὴν ἐκείνων προσκύνησιν καὶ Ἰουδαία πᾶσα προσκυνήσει αὐτῷ. εἰ βέλει δὲ, καὶ αὐτόθεν ἔχει ὁ τύπος τὸ ἀπευθύνεσθαι. Τῶν γὰρ δύο λαῶν φέροι ἂν ὁ Ἡρώδης ἐκλύπωμα. ἐξ ἐθνῶν γὰρ ὢν Ἰουδαίων ἐβασίλευεν, καὶ εἴη ἂν ἄκων, καὶ μὴ εἰδὼς ὃ λέγει, ὅμως προφηλεύων, καὶ ὡς ἐκ προσώπε παντὸς τῆ ἀνθρωπίνε γένες, οἷον ἐθνῶν τε καὶ Ἰουδαίων, τὴν προσκύνησιν ἀνομολογήσας τῷ ἐπιδημήσαντι πρὸς ἀνθρώπες Θεῷ. ὀδὲν δὲ κωλύει προφητεύειν αὐτόν. Καὶ γὰρ καὶ ὁ Καϊάφας ἐκ ἤδει μὲν, ὃ λέγει· ἀλλὰ τὸ τῆς καρδίας αὐτῆ μανιῶδες πρὸς μιαιφονίαν ἀνηρέθισο, τὰ χείλη δὲ προφητείαν ἐξέφερον ἐν τῷ λέγειν· συμφέρει, ἵνα εἷς ἀποθάνῃ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληλαι. Καὶ γὰρ εἰ μὴ Χριστὸς ἀπέθανεν ὁ Θεὸς ἡμῶν, ἐκ ἂν τὸ ἀνθρώπινον γένος ἐσώζετο. Εἰ γὰρ καὶ ἀνάξιος ἑκάτερος αὐτῶν προφηλικῆ χαρίσμαλος ἐτύγχανεν, ἀλλ' ἓν τό γε τῆς ἱερωσύνης ἀξίωμα καὶ τὸ τῆς βασιλείας ἔτι τινὸς χαρίσμαλος παραπήλαυεν, ἅπω τῆς καλὰ τῆ Δεσπότε μιαιφονίας τότοις τελολμημένης. Ἴδοις δ' ἂν παραπλησίως τούτοις καὶ ἑτεραί τινα κακέργῳ μὲν γνώμῃ καὶ ὁρμῇ μιαιφόνῳ προενηνεγμένα, πέρας δὲ προφητικὸν

εἰλη-

εἰληφότα. ὡς, τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. Καὶ γὰρ ἐπέπεσεν αὐτοῖς ἔχαλον ἡ τῶν αἱμάτων ἔκχυσις, καὶ ὁ διὰ ξίφους φόνος. καὶ, ἐὰν ἀφῶμεν αὐτὸν ζῆν, πάντες πιστεύσουσιν εἰς αὐτόν, καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν τὸ ἔθνος, καὶ τὴν πόλιν. καὶ γὰρ ἀφῆκαν καὶ ἄκοντες ζῆν. ἐ γὰρ ἠδύναντο κύριοι καθαιρῆναι τοῦ τῆς ζωῆς ταμείου, καὶ ζωοποιοῦντος τὰ πάντα. Διὸ τὴν μὲν πονηρὰν καὶ μιαφόνον ἐνέφηναν γνώμην, τοῦ δὲ σκοποῦ μὴ τυχόντες ἀπώλοντο καὶ αὐτοὶ, καὶ τὰ γένη, καὶ ὁ ναὸς, καὶ ἡ πόλις. ὃν δὲ ἔδοξαν ἀνελεῖν, τοῦτον ζωῆς χορηγὸν καὶ ζωοποιοῦντα τοὺς νεκροὺς τὰ ἔθνη δεξάμενοι, καὶ τὴν ἐκ νεκρῶν αὐτοῦ προσκυνοῦντες ἀνάστασιν, Θεὸν ἴσασιν ἀληθινὸν ἐπὶ σωτηρίᾳ τοῦ γένους ἐναυθρωπήσαντα, καὶ λαληθεύσαντα εἰλικρινῶς καὶ θειάζοντα. Καί γε δὴ καὶ οἱ Ῥωμαῖοι ἐπισάντες αὐτοῖς πολέμῳ, τήν τε πόλιν κατεξέψαντο, καὶ τὸν ναὸν κατηρήμωσαν, καὶ τῷ διὰ ξίφους θανάτῳ τὸ ἔθνος ὑπήγαγον. Εὑρήσεις δὲ καὶ ὄνον ἐν τοῖς γράμμασι τοῖς παλαιοῖς προμανθάνουσάν τε καὶ προδιδάσκουσαν τὰ ἐσόμενα. ἐξ ὧν ἁπάντων ἔδεν κωλύον θεωρήσεις, καὶ τὸν Ἡρῴδην εἰπεῖν κατὰ προφητικὸν τύπον τὰ πρὸς τοὺς μάγους εἰρημένα.

IZ. (ρκά.)

Διὰ τί ὁ Πρόδρομος ἐλέγχει τὸν Ἡρῴδην;

Ὁ δὲ πρόδρομος καὶ βαπτιστὴς Ἰωάννης ἐλέγχει τὸν Ἡρῴδην δικαίως εἰς παρανομίαν ἀποκλίναντα. Καὶ γὰρ εἰ ἐξ ἀλλοφύλων κατήγετο, ἀπόγονος ὢν τοῦ παλαιοῦ Ἡρῴδου, ἀλλ' ἔν Ἰουδαίοις τε ἐβασίλευεν, καὶ τοῖς Ἰουδαίων ἐπολίτευτο νόμοις καὶ ἔθεσιν, καὶ ἐκ ἐξῆν αὐτῷ κατὰ τοὺς νόμους ἐξ ἀδελφοῦ παῖδα ἔχουσαν τὴν Ἡρωδιάδα εἰς γάμον ἀναλαβεῖν. ὁ γὰρ νόμος, ἄπαιδος μὲν τοῦ ἀδελφοῦ τελευτήσαντος, ἐπιτρέπει τὴν πρὸς τὴν γυναῖκα τάτου συνάφειαν, ἵνα, φησὶν, ἐγείρῃ σπέρμα τῷ ἀδελφῷ. καταλελειμμένου δὲ σπέρματος καὶ γονῆς, ἀπορρόπαιον ἦν ἡ πρὸς τὴν νύμφην ὁμιλία. Καὶ τὸν ἔλεγχον ὁ πρόδρομος ποιεῖται, ἐ τοσοῦτον κηδόμενος ἐκείνου, ὅσον τὸ πλῆθος διορθοῦσθαι πρόνοιαν ποιῶν. Καὶ γὰρ τῶν τοῖς ἄρχουσι καὶ βασιλεῦσι πλημμελούντων ἀνεπιτιμήτων μενόντων, ἑτοίμως τὸ πλῆθος πρὸς τὴν μίμησιν παρακαλεῖται. ἐκείνων δὲ τῆς πράξεως ἀναχαιτιζομένων, ἀναγκάζεται καὶ τὸ ὑπήκοον εὐλαβέστερον πρὸς τὰς παρανομίας διακεῖσθαι. Περίεσι δέ μοι καὶ εἰς μνήμην νυνὶ παλαιὰ ἱστορίας ἀνάγνωσις, ὡς καὶ τῷ ἀδελφῷ ὁ πρὸς τὴν ἐκείνου γυναῖκα ἔρως μὴν ἀνακόπτοιτο. Καὶ δι' ἄμφω ταῦτα σαθρώτερόν τε καὶ παῤῥησιαστικώτερον ὁ πρόδρομος εἶπε τῷ Ἡρῴδῃ προσφερόμενος τὸν ἔλεγχον.

IH. (ρκβ'.)

Πῶς νοητέον τό· ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ βαπτιστοῦ οὐκ ἐγήγερται;

Περὶ τοῦ ἐν γενητοῖς γυναικῶν μὴ ἐγηγέρθαι μείζονα Ἰωάννου τοῦ βαπτιστοῦ, καὶ ὅπως ὁ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν, εἴρηται μέν

μέν μοι καὶ ἀλλαχῆ. Οὐδὲν δὲ κωλύει τῆς ὑμῶν αἰτήσεως χάριν ἐκεῖνο διαλαβεῖν, ὡς ἡ διάνοια τῆ ῥητῆ μὴ ἐγηγέρθαι ἐν τῷ νόμῳ παρίσησι μείζονα προφήτην αὐτῆ. Καὶ γὰρ πλησιαίτατός τε κατὰ τὲς χρόνες γέγονε τοῦ Χριςοῦ, καὶ φωνὴ βοῶντος ἀναγέγραπται, ἑτοιμάσαλε τὴν ὁδὸν τῆ Κυρίε, διασαλπίζουσα. Φησὶ δ' ἓν καὶ τὸ γράμμα, ὡς αὐτῆ μὲν μείζων ἄλλος ἐκ ἐγήγερται. ἃ συναναγκάζει δὲ νοεῖν, ὡς ἔτος τῶν ἀπάντων εἰς βαθμὸν ἀνέβραμε μείζονα. Τὸ δὲ μείζονα τὸν πρόδρομον τῶν ἄλλων εἶναι, τῆτο ἐδὲν κωλύει πολλὲς συνδραμεῖν αὐτῷ πρὸς ἰσότηλα.

Τὸ μέντοι, ὁ δὲ μικρότερος αὐτῆ μείζων αὐτῆ ἐςιν, οἱ μὲν ἐξελήφασιν περὶ τῆ Χριςῆ, χρόνῳ τε καὶ τῇ τῆ σώματος ἀναδρομῇ, καὶ τῇ τῶν πολλῶν ὑπολήψει κατ' ἐκεῖνο καιρῆ τὸ μικρότερον ἀποφέροντος τῆ Δεσπότε. Ἐμοὶ δὲ τῆτο καὶ ἀλλαχῆ τῆς πρεπέσης διαίτης ἠξίωται, ἀλλὰ καὶ τὸ ἐν γεννητοῖς γυναικῶν ἔχει τι ἀντιτίπλον τῇ προειρημένῃ ἀναπλύζει. Οὐ γὰρ ἐκ γυναικὸς ἁπλῶς γεγέννηλαι ὁ Χριςὸς, ἀλλ' ἐκ παρθένε. ἡ δὲ παρθένος ἐκ ἂν κυρίως κληθείη γυνὴ, εἰ μή τις ἐθέλοι τῷ ῥήματι καταχρήσασθαι, ὥς πε καὶ ὁ θεσπέσιος Παῦλος φησί· γενόμενος ἐκ γυναικός. ἐκ παρθένε ἓν ὁ Χριςὸς προελθὼν, ἀλλ' ὁ κυρίως ἐκ γυναικὸς, ἑαυτὸν ἂν ἔξω τάτλοι τῆς πρὸς τὸν Ἰωάννην συγκρίσεως.

Ἕτεροι δέ φασι μικρότερον ἐν τῇ βασιλείᾳ τῶν ἠρανῶν ἐνταῦθα εἰρῆθαι τὸν ἀξιωθέντα τῆς χάριτος, ἵνα ᾖ τοιῆτον ὁ νῦς· τῶν μὲν κατὰ νόμες γεγονότων ἀνθρώπων ἐδεὶς ἂν εἴη τοῦ Ἰωάννε μείζων· τῶν δὲ μετὰ τὴν χάριν ἀναφανέντων, ὅσον ἐπὶ τῷ ἀξιωθῆναι, ὧν ἐκεῖνος ἐκ ἔφθασε τυχεῖν, κατὰ τῆτο τὸ κατ' αὐτῆ μεῖζον ὁ μικρότερος ἀπενέγκοιλο ἄν. Καὶ γὰρ ὁποῖος ἄν τις ὢν ἐν τοῖς τύποις καὶ τοῖς προχαράγμασιν κατὰ μέγεθος καὶ δόξαν προκριθῇ, ἔτος τῶν ἐν τῇ ἀληθείᾳ καὶ αὐτοῖς τοῖς πράγμασι συντεταγμένων τε καὶ ἀναφανέντων ἐδὲ τῆ τὴν ἐχάτην δοκοῦντος τάξιν ἐπέχειν εἰς ἰσότητα λόγον εὑρήσει. Εἰ γὰρ καὶ ὁ Ἰωάννης αὐτόπλης γέγονε τῆ Χριςῆ, καὶ τῷ τοῦ βαπτίσμαλος μυςηρίῳ ὑπηρετήσατο, καὶ μάρτυς διαπρέσιος τῆ ἀμνῆ, τῆ αἴροντος τὴν ἁμαρτίαν τῆ κόσμε, κατέσχη· ἀλλ' ἔτι τῆ νόμε καὶ τῆς σκιᾶς ἐν τοῖς λειψάνοις σωζομένης, καὶ μήπω καθαρῶς καὶ τελείως τῆς χάριτος ἀναλαμψάσης, αὐτὸς μετέχη τῆ βίε. Ἐπεὶ γὰρ τό, τε οἴκημα ᾤκησε, καὶ τὴν ἐπ' ἐλέγχῳ τῆς τῶν Μωσαϊκῶν νόμων παραβάσεως ἄδικον ὑπέση σφαγὴν, μετὰ ταῦτα ἤρξαλο ὁ Κύριος ἡμῶν Ἰησῆς Χριςὸς κηρύτλειν τὰ περὶ τῆς βασιλείας τῆ Θεῆ. καὶ διὰ τῆτο, ὅσοι τε δι' ὕδαλος καὶ πνεύμαλος ἀνεγεννήθησαν, καὶ τῆς ἐπιφοιτήσεως καὶ τῶν χαρισμάτων τῆ παρακλήτε ἠξιώθησαν, τέτων ἐκ ἂν τις τὰ δευτερεῖα χοίη τῆ Ἰωάννε. Ἀλλὰ γὰρ καὶ ὁ τὴν τελευταίαν τάξιν λαχὼν τὸ κατ' αὐτοῦ μεῖζον ἀπενέγκοι. καὶ εἰ μή τις ἐκλάβοι τῶν πρὸ τῆς χάριτος μηδένα εἶναι μείζονα τῆ Ἰωάννε ἂν εἰπεῖν τὸν Χριςὸν, ἀλλ' ἁπλῶς κατὰ πάντων ἐξενηνέχθαι

τὴν ἀπόφασιν τὴν δεσποτικήν, ὥρα σοι καὶ τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου τοῦτον ἐπίπροσθεν ἄγειν, καὶ τῶν κορυφαίων ἀποστόλων, ὃ ἐκ ἄν τις ἐπιτρέψειε λογισμός. πλὴν καὶ ὁ περὶ τούτου λόγος, τῇ προσηκούσῃ μοι πάλαι διαίτῃ ὑποβληθείς, τὴν νῦν ἀκριβολογίαν δυσχεραίνει.

ΙΘ. (ρκγ΄.)

Διὰ τί κατὰ τὸ σωτήριον πάθος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς λόγχῃ νύσσεται;

Λόγχῃ νύσσεται τὴν πλευρὰν κατὰ τὸ σωτήριον πάθος Χριστὸς ὁ Θεὸς ἡμῶν, τούτῳ μὲν ἡμῖν δύο βαπτίσματα καινουργούμενός τε καὶ προτυπῶν, ἓν μὲν τὸ δι' ὕδατος, ἕτερον δὲ τὸ δι' αἵματος. Καὶ γὰρ ἀδ' εἰρμῷ καὶ ἀκολουθίᾳ τῆς Φύσεως ἀπερρύηκεν ταῦτα τῆς σωτηρίου πλευρᾶς. μετὰ γὰρ τὸν θάνατον γέγονεν ἡ πληγὴ, καὶ μετὰ πληγὴν βλύζει τὰ νάματα ἡ πλευρά. ἐν τῇ πλευρᾷ δὲ καὶ ἐκ ἐν ἑτέρῳ μέρει δέχεται τὴν πληγήν, διότι ἐκ πλευρᾶς μὲν τοῦ Ἀδὰμ ἐπλάσθη ἡ γυνὴ, δι' αὐτῆς δ' ἁμαρτία ἐπράχθη τῷ Ἀδάμ. Πλήττεται ἓν Χριστὸς, ὁ Θεὸς ἡμῶν, ὁ νέος Ἀδὰμ, τὴν πλευρὰν, ὥσπερ διὰ τῆς πληγῆς ἀναιρῶν τὴν ἁμαρτίαν, καὶ τὸν Ἀδὰμ ἀπαλλάττων τοῦ διὰ τῆς πλευρᾶς αὐτῷ περιγεγονότος ὀλισθήματος, ὡς ἂν κἀνταῦθα πληρούμενον εἴη τὸ, ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, τοῦτέστιν ἐν τῇ Εὔᾳ, ἥτις γέγονεν ἐκ πλευρᾶς τοῦ Ἀδὰμ, ἐκεῖ ἐπερίσσευσε ἡ χάρις, οἷον ἐν τῇ τοῦ Χριστοῦ πλευρᾷ. περισσεύει μὲν γὰρ ἐν ἐκείνῃ τῇ πλευρᾷ ἡ ἁμαρτία, ὅτι ἐκεῖθεν ἔφυ τὸ κακόν. περισσεύει δὲ πάλιν ἐν τῇ δεσποτικῇ πλευρᾷ ἡ χάρις, ὅτι ὐ μόνον ἡ τῆς ἁμαρτίας ἐν ταύτῃ γέγονεν ἀναίρεσις καὶ πληγὴ, ἀλλ' ὅτι καὶ ἡ τῆς σωτηρίας πηγὴ καὶ κάθαρσις ἐξ αὐτῆς ἀνέβλυσεν καὶ μένει μὴ κενουμένη διὰ παντός. Ἴασις ἓν γίνεται λοιπὸν ἡ πλευρὰ τῆς πλευρᾶς, ἡ πληγεῖσα λόγχῃ τῆς πληγείσης ἁμαρτίᾳ.

Κ. (ρκδ΄.)

Τί ἐστι· Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· καὶ, εἰ ἔλαβεν πέρας ἡ εὐχή;

Τὸ δὲ, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν, καὶ ἑξῆς, ἀχ, ὡς ἄν τις ἁπλῶς οἰηθείη, ἐκβέβηκεν εἰς πέρας, ἀδὲ τὸ τέλος ἀπείληφεν ἡ εὐχή. Εὔχεται μὲν γὰρ ὁ Φιλάνθρωπος ἡμῶν Δεσπότης, καὶ τοῦ γένους σωτὴρ, μὴ στῆναι τοῖς σαυρώσασιν τὴν ἁμαρτίαν· τούτῳ μὲν ὑπογράφων ἡμῖν Φιλανθρωπίας τύπους καὶ τῆς πρὸς ἀλλήλους εὐνοίας, ἵνα μηδὲ κατ' αὐτῶν τῶν δεκύντων φονᾶν καθ' ἡμῶν, εἰς θυμὸν ἐκφερώμεθα, καὶ ὀργὰς, καὶ ἀρὰς. ἔπειτα δὲ μὴ στῆναι μὲν αὐτοῖς ἐπεύχεται τὴν ἁμαρτίαν, ἰσαμένοις τοῦ κακοῦ, καὶ μὴ προῤῥωτέρω φερομένοις ἐπὶ τὸν αὐτὸν τῆς ἀσελγείας τε καὶ παρανομίας κρημνόν. καὶ ὅσοι γε ἔστησαν τοῦ κακοῦ, ἐκ ἐπέσῃ αὐτοῖς ἀδ' ἡ τῶν ἁμαρτηθέντων δίκη. Πολλοὶ γὰρ ἐκ τῶν Ἰουδαίων ὐ μόνον τῆς συγγνώμης ἀπήλαυσαν, ἀλλὰ καὶ τὴν ἀλήθειαν μεταμαθόντες, προσδεδραμηκότες τῇ εὐσεβείᾳ, υἱοὶ καὶ κληρονόμοι τῆς τῶν ἐρανῶν βασιλείας ἐπεδεί-

ἐπεδείχθησαν. ὅσοι δὲ τῆς πρόσω τῶν κακῶν ἐκ ἔσησαν Φορᾶς, ἀλλὰ μιᾷ Φονίας ἐπὶ μιᾷ Φονίας προστιθέντες, εἰς ἔσχατον ἐξώκειλαν ἀπονοίας, ἔτοι μὲν δικαίως τὴν δίκην ἀπέτισαν. ἐδὲν δὲ ἧττον ἡ τῆ Σωτῆρος εὐχὴ ἔμεινεν μὴ διαπεσῆσα τῆ σκοπῆ. Οἶδα δέ τινας καὶ ἑτέραν τοιαύτην ὑποβαλλομένης διάνοιαν τῷ ῥητῷ, ὅτι περ οἱ σαυρώντες τὸν Χριστὸν καὶ παρόντες τῷ πάθει, ἐχὶ τῶν Ἰουδαίων ἦσάν τινες, Ῥωμαῖοι δὲ μᾶλλον καί τινες ἐξ ἑτέρων ἐθνῶν, τῶν Ἰουδαίων Φαμένων, ὡς κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ἡμῖν δὲ ἐκ ἔξεσιν ἐδένα ἀποκτεῖναι. Εἶτα καὶ τῷ Πιλάτῳ παραδεδωκότων τὸν Χριστὸν οἱ Ῥωμαῖοι στρατιῶται καὶ τῶν λοιπῶν ἐθνῶν ὑπηρετῆλο λοιπὸν τοῖς πραττομένοις κατὰ Χριστῆ. Καὶ γὰρ ἐν τῇ προδοσίᾳ τῆ Δεσπότε, ἅτε δὴ ὑπόφοροι ὄντες οἱ Ἰουδαῖοι Ῥωμαίοις, καὶ ἐκ ἐξὸν αὐτοῖς πράττειν, ἃ ἠβέλοντο, αὐτοὶ μὲν κατὰ μόνας ἐκ ἐτόλμων παρεῖναι τῇ συλλήψει, τὴν δὲ σπεῖραν καὶ τὸν χιλίαρχον αὐτοῖς συνεπεφέροντο. Ὁ ἓν Κύριος ἡμῶν, Ἰησῆς Χριστὸς, ὁ περὶ τὸ ἀνθρώπινον γένος Φιλάνθρωπος, καὶ τῆ οἰκείᾳ πλάσματος προνοέμενος, τὴν βέλησιν αὐτῆ καὶ τὴν Φιλανθρωπίαν εἰς εὐχῆς σχηματίζων τύπον, Φησίν· μὴ σήσης αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Εἶτα, ἐ γὰρ οἴδασι, τί ποιῆσι. Τῷ ὄντι γὰρ τό, τε Ῥωμαίων σίφος, καὶ οἱ ἐξ ἐθνῶν ἐκ οἴδασιν, ἃ πράττουσιν. ἐδὲ γὰρ ἦσαν μεμυσαγωγημένοι, ἃ ὁ νόμος προανεκήρυττε καὶ οἱ προφῆται περὶ αὐτῆ. Προσεύχεται ἓν ὑπὲρ τῶν Ῥωμαίων, Φασὶ, καὶ τῶν ἐθνῶν, καὶ αὐτίκα τῆς εὐχῆς Φαίνεται ὁ καιρός. Ἴδοις γὰρ ἐν αὐτῷ τῷ τῆ πάθες καιρῷ τὸν ἑκατόνταρχον, υἱὸν Θεῆ ἀναβοήσαντα τὸν ἐσαυρωμένον. καὶ μετ' ὀλίγον Λογγῖνον ἐκεῖνον, τὸν θαυμάσιον ἄνδρα, ἐκ ἀνομολογήσαντα μόνον, καὶ πεπιστευκότα εἰς Χριστὸν, ἀλλὰ καὶ μαρτυρίᾳ δρόμον ὑπὲρ αὐτῆ ἀνειληφότα, καὶ αἵματι τὸ τῆς πίστεως εἰλικρινὲς καὶ ἀπαράτρωτον ἐπιδεδειγμένον. καὶ πολλὲς ἄλλες εὑρήσεις τῶν τότε παρόντων τῆς υἱοθεσίας ἠξιωμένες Θεῆ, καὶ τῆς αἰωνίᾳ μὴ ἐκπεπλωκότας βασιλείας.

ΚΑ. (ρκέ.)

Πόσοι Ἀρέριοι γεγόνασι, καὶ τίς ἡ δόξα αὐτῶν;

Ὅτι συνήκμασαν μὲν Ἀρέριοι δύο, ὅ τε τῆς Ἀρείας λύσσης ὑπασπιστὴς, καὶ ὁ τῶν εὐσεβῶν δογμάτων πρόφημος· ὃς καὶ τῷ μεγάλῳ μὲν Ἰουλιανῷ Φοιτῶν τοῖς μεναδικοῖς ἐγυμνάσθη παλαίσμασιν ἔτι τὸ μειράκιον διεξιών, ὕστερον δὲ καὶ μονῆς ἀσκητικῆς καθηγήσαλο· ἔ καὶ μαθητὴς μετὰ καὶ ἄλλων πολλῶν ἐπισήμων ἀνδρῶν ἐχρημάτισεν ὁ πολυθρύλλητος Ἀκάκιος ὁ Βεροίας. ὁ δὲ Ἀρειανῆς αἱρέσεως ἐρασὴς σοφιστικὴν μὲν ἐκ νεῶν μετήρχελο τέχνην, καὶ τῇ τῶν Ἑλλήνων ἀνελέθεραπλο πλάνῃ, ὀψὲ δὲ τὸν χριστιανισμὸν ὑποκρινόμενος εἰς τὴν τῶν Ἀρειανῶν ἀπέκλινε μοῖραν. καὶ ὁ μὲν δίκην ἔδωκεν ἐν Ἀντιοχείᾳ τῆς ἀκολάσε γλώσσης, ἔργον γεγοιὸς τῆς Ἰουλιανῆ τῆ θαυμασίᾳ προσευχῆς· ὁ δὲ τὸν ὅσιον εἰς τὴν κατ' αὐτῆ δικαίαν τιμωρίαν διανέσησεν. ἕτε-

ρος ἦν τὸ θρέμμα τῆς ὀρθοδοξίας, καὶ ἕτερος ὁ τῆς πλάνης κήρυξ. ἀλλ' ἐδ' ὁ τὴν ἔκφρασιν τῆς μάρτυρος Εὐφημίας ἀναλαξάμενος, κοινόν τι φέρει πρὸς τὸν τῆς δυσσεβείας ὑπέρμαχον. πρῶτον μὲν ἐξ ὧν θᾶττον ὁ δυσσεβὴς ἀπέτισε τὴν δίκην· ὁ γὰρ τῆς εἰρημένης εἰκόνος λογογραφήσας τὴν ἔκφρασιν, ὡς ἔν τισιν αὐτῇ τῶν λόγων διαλαμβάνει, εἰς βαθὺ γῆρας τῷ βίῳ κατήντησεν. δεύτερον ὁ μὲν τῆς Ἀρειανῆς λύσσης ἐπεπλήρωτο· ἧτος δὲ ἐν τοῖς οἰκείοις λόγοις τὰ τῶν ὀρθοδόξων δογματίζει, ἐκ ἐκ μὴ ὄντων τὸν υἱὸν καὶ λόγον τῷ Θεῷ ὡς ὁ μεμηνὼς δυσφημῶν Ἀξέριος, ἀεὶ δὲ ὄντα θεολογῶν καὶ ἀεὶ συνόντα τῷ Πατρί. τρίτον ὁ μὲν αἱρετικὸς Ἀξέριος ἐ τῆς Ἀμασείας, ἀλλ' ἄλλης τινὸς πόλεως πλησιαζούσης τῇ Ἀντιόχῳ μισθὸν τῆς ἀσεβείας παρὰ τῶν συναιρεσιωτῶν τὴν ἐπισκοπὴν εἴληφεν· ἐξῆς καὶ μετάκλητος ἐν Ἀντιοχείᾳ παρὰ τῶν ὁμοφρόνων γεγονὼς ἐπὶ συμμαχίᾳ τῷ δυσσεβήματος, ταῖς τῷ θαυμασίῳ Ἰουλιανῷ προσευχαῖς, ὡς προείρηται, τὸν βίον ἀθλίως κατέτρεψεν. ἐπὶ τούτοις ὁ μὲν διδάσκει τὸ ποίμνιον, καὶ φιλοπονεῖται περὶ τῶν ἀρετῶν, ἁπάσης δείκνυται θεαρέστου πολιτείας καταγώγιον· ὁ δὲ ἀδὲν τοιοῦτον ἔχων ἐπιγινώσκεται.

ΕΠΙΣΤΟΛΑΙ

ΕΠΙΣΤΟΛΑΙ ΦΩΤΙΟΥ
ΕΙΣ ΤΑ ΑΜΦΙΛΟΧΙΑ ΜΕΤΑΤΕΘΕΙΣΑΙ.

ΚΒ. (ρκή.)
Λέοντι φιλοσόφῳ.

Ἡ τῦ Εἰμί παρολκή, τῆς Ἐγὼ ἀντωνυμίας κατὰ σύνθεσιν προηγησαμένης, σύνηθες μέν ἐστι τῇ θείᾳ γραφῇ· ἀλλ' ἐδεμίαν διὰ τῦτο σολοίκυ γλώσσης αἰτίαν παρέχεται. Εἰ δέ γε διαμφισβητεῖς, ἐννοήσας τὸ Ἔνιοί τινες, καὶ τὸ Σφᾶς αὐτὲς, καὶ τὸ Ἀπῆλθεν ἔχων, ἃ τοῖς Ἑλληνικοῖς πλεονάζει γράμμασι, ςῆσον σαυτὸν τῆς ἀμφισβητήσεως· δῆλον γὰρ, ὡς τὸ τινὲς μετὰ τῦ ἔνιοι, καὶ τὸ σφᾶς μετὰ τῦ αὐτὲς, ἐδὲν ἕτερον, ἀλλ' ὅπερ ἐδήλων αὐτῶν αἱ προτεταγμέναι λέξεις, σημαίνυσι. Τὸ δὲ τοιῦτον εὔδηλον, ὡς μία τίς ἐστιν ἰδέα τῆς παρολκῆς, καὶ χῆμα λόγυ, ἀλλ' ὁ σόλοικος ἄγνοια· καὶ τὸ Ἔχων δὲ πολλάκις μετὰ τῦ Ἀπῆλθες, ἢ τῦ βαδίζεις, ἢ τῦ σπεύδεις, καὶ μετὰ πλειόνων ἄλλων, ἐν ὑποταγῇ συντιθέμενον, παρὰ τοῖς σοῖς σοφισταῖς ἐδὲν ὅλως σημαῖνον εὑρίσκεται, ἀλλ' αὐτὸ τῦτο παρολκῆς ἐπέχον τόπον. Εἰ δὲ καὶ ἐγγυτέρους βάλει καλλασιωπηθῆναι τοῖς παραδείγμασιν, ἐδὲ τῦτο παρήσω. Αὐτῦ γὰρ τῦ Εἰμὶ τὴν ἀπαρέμφατον ἔγκλισιν καὶ τὴν Ἔχων μετοχὴν εἰς μνήμην ἀνειληφὼς, (καίπερ ὀλίγοι τῶν Ἀτθικιςῶν, οἷς ἐκ ἔστι τὸ ἔχων ἰέναι τῶν συγγραμμάτων ἐν μοίρᾳ λαμπρᾷ καλλωπίσμαλος,) εὖ οἶδ' ὅτι σαυλὸν αἰτιάσῃ, ὅτι τοῖς ἐκείνων πόνοις ἐνομιλῶν, καὶ τὸ εἶναι βλέπων παρέλκον αὐτοῖς τρανῶς πολλαχῦ, καὶ ἐδὲν νοῆσαι, (ἔ)τολμήσας πολὲ ὀνειδισμὸν σολοίκυ φωνῆς ἢ ὑπόνοιαν αὐτοῖς τὸ τοιῦτον ἐμποιεῖν, ἐκ ἐδυσωπήθης, διὰ τὴν τῦ εἰμὶ παρολκὴν, τὴν (εἴπερ ἦν ταῦτα γλώσσης Ἑλληνίδος ἁμάρτημα) ὁμοίως ἑκατέροις ἐφαρμόζυσαν τῦ σολοικίζειν γραφὴν, ὥσπερ ἐκ βαρβάρυ ἐπιτάγμαλος κατὰ μόνης τῆς θείας ἡμῶν καὶ ἱερωτάτης καταψηφίζεσθαι γραφῆς. Ἀλλ' ἔν εἰδώς σε τὸ τῆς γνώμης ἀδέκαξον, εὐελπὶς εἰμι τῦ λοιπῦ, ἐ μόνον μηκέτι σε τὰ τοιαῦτα ὑπ' αἰτίαν ὁρμᾶν, ἀλλὰ καὶ, εἴτινες τολμῶεν παραπλησίως ἐξαμαρτάνειν, ῥαδίως αὐτὲς μεθέλκειν, καὶ ἀναδιδάσκειν, ὧν ἡ ἄγνοια, θράσυς γὰρ ἀμαθία μήτηρ, εἰς τὸ πλημμελεῖν αὐτὲς ἀνεπλέρυ καὶ ἀνηρέθιζεν.

ΚΓ.

ΚΓ. (ρκϑ΄.)

Λέοντι Ἀσπαθαρίῳ.

Ἴϑι, ὡς ἐ μόνον τῷ τληπαθεῖ Ἡρακλεῖ, ἀλλὰ καὶ τῷ λογίῳ Ἑρμῇ τὸ τῆς Ἀμαλθείας κέρας οἱ ποιηταὶ ἐγχειρίζουσι. Μὴ τοίνυν στρατείαις καὶ πόνοις σωματικοῖς ὅλον σαυτὸν δίδως, τῶν καλῶν μαθημάτων ἀφίκασο, ἐκεῖϑέν σοι ξεῦσαι μόνον τὴν εὐδαιμονίαν τῷ βίῳ οἰόμενος· ἀλλὰ καὶ ταῖς ἡμετέραις εὐγενέσι Μέσαις, αἳ τῶν Ἑλληνίδων τοσοῦτον διαφέρουσιν, ὅσον ἐλεύθεροι φύσεις δούλων ἠθῶν, καὶ κολακείας ἀληθεία· δίδου κἂν ἐν μέρει τὰ σεμνὰ καὶ ἡδέα τῶν ἀσμάτων κατεπᾴδειν σοι. Τὸ μὲν γὰρ Ἀμαλθείας κέρας καὶ τῷ Ἀχελῴῳ ποταμῷ, ὅτι τὴν ὑποκειμένην περιῤῥέων χώραν παμφόρον ἐργάζεται, τὸ ποιητῶν αὐτόνομον ἔϑνος ἑτοίμως χαρίζονται· καὶ ὀδὲν ἀνθρώπῳ μέγα τυχεῖν, ὧν ἐκ φύσεως ἔχει καὶ τὰ ἄψυχα. τὴν δ' ἀληϑῆ καὶ ϑείαν εὐδαιμονίαν, καὶ ἀνθρώπῳ πρέπουσαν, καὶ πρὸς ἣν ἡ Ἀμάλθεια παρατιϑεμένη νόσος καὶ πενία εὑρίσκεται, ἐκ μόνων ἐστὶ τῶν ϑείων λογίων καὶ τῆς ἐκεῖϑεν γεωργίας ἀμήσασθαι.

ΚΔ. (ρλ΄.)

Εὐλαμπίῳ Ἀρχιεπισκόπῳ καὶ Σκευοφύλακι.

Τὸ, ἐξουσίαν ἔχειν τὴν γυναῖκα ἐπὶ τὴν κεφαλήν, οὐχ ὡς τὸ πρόχειρον τῶν ῥημάτων νοεῖν δίδωσιν, οὕτω νῦν ὁ ϑεσπέσιος Παῦλος ἐξείληφε. Καὶ γὰρ ἐξουσίαν ἔχειν ἀκούοντες, τὸ κατεξουσιάζειν καὶ κυριεύειν ἴσως τινὲς ἐξακούσιν· αὐτὸς δὲ νῦν ἐξουσίαν ἔχειν φησὶ τὴν γυναῖκα, νοῶν τὸ ὑπ' ἐξουσίαν τάττεσθαι καὶ τελεῖν· καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον, καὶ τῶν ἄλλων αἱ λύσεις, ἃ σοι κατὰ τὸ αὐτὸ χωρίον συνδιηπόρηται, ζητέον ἐντεῦϑεν· Τὸς ἄνδρας ὁ τῆς οἰκουμένης διδάσκαλος ἀκαλύπτους ἔχειν τὰς κεφαλὰς ἐν τῷ προφητεύειν τε καὶ προσεύχεσθαι διατάσσεται· τὰς γυναῖκας δὲ κεκαλυμμένας· καὶ τίϑησιν αἰτίας, δι' ἃς τοῦτο παρακελεύεται, διττάς. Ὁ ἀνήρ, φησί, κείρεται τὴν κεφαλὴν καὶ ξυρᾶται· γυναικὶ δὲ ὐδ' ἕτερον τούτων ποιεῖν ϑέμις. Οὕτως ἂν εἰ καὶ ὁ ἀνὴρ ἀκάλυπτον ἔχοι τὴν κεφαλήν, ἀλλ' ὐκέτι καὶ γυναικὶ τολμητέον. Ὁ μὲν γὰρ, ἵνα μὴ ταύτην αἰσχύνῃ, φυλάττει ἀκάλυπτον· ὐ γὰρ λόγον ἔχει, τὴν μὲν κόμην, ἣν ἡ Φύσις δίδωσιν, ἀφαιρεῖν, ἔξωϑεν δὲ περιβόλαιον ἐπινοεῖν· γυναικὶ δὲ χρέος τὸ κάλυμμα· καταισχύνει γὰρ τὴν κεφαλὴν αὐτῆς, ὥσπερ ξυρωμένη τε καὶ κειρομένη, ἕτω δὴ καὶ μὴ καλυπτομένη. Εἰ γὰρ καὶ τὸ μὲν ἡ Φύσις προβάλλεται, τὸ δὲ ἡ σώφρων αἰδώς· ἀλλ' ἓν ἄμφω κεφαλῆς περιβόλαια· καὶ ὥσπερ ἡ ἐξυρημένη τὸ Φυσικὸν ἀπέϑετο περιβόλαιον, ἕτω καὶ ἡ ἀκάλυπτος τῆς σώφρονος αἰδὼς περιεῖλε τὸ ἀμφίασμα, καὶ γίνεται κατὰ τοῦτο ταυτὸν τῇ ἐξυρημένῃ. Μία μὲν ἓν αἰτία τοῦ τὴν μὲν δεῖν καλακαλύπτεσθαι, τὸν δὲ μηκέτι, αὕτη. Μᾶλλον δέ τις ἀκριβῶς ἐπισκοπῶν, ὐδὲ αἰτίας ἀπόδοσιν ἐρεῖ ταῦτα, ἀνατροπὴν δὲ καὶ ἀναίρεσιν τῶν αἰτιᾶσθαι τὴν νομοθεσίαν ἐπιχειρούντων, καὶ τὰ αὐτὰ τοῖς ἀνδράσιν ἀξιούντων καὶ ἐν τούτοις πρᾶτ-

πράττειν τὰς γυναῖκας διὰ τὴν κοινωνίαν τῆς φύσεως. Ἀλλ' εἴτε αἰτία, εἴτε τῶν αἰτιωμένων ἔλεγχος, τοιαύτη ἂν ἡ διάνοια εἴη. Δευτέραν δὲ τίθησι τοιαύτην. Ἡ γυνή, φησι, ὑπὸ τὴν ἐξουσίαν πέφυκε τελεῖν τῷ ἀνδρός· ἐξ αὐτῆς γὰρ ἔχε κατὰ πρώτας τὰς σωματικὰς ἀρχὰς τῆς γενέσεως· καὶ πολλῶν μὲν ἐξουσιάζει καὶ ἄλλων ὁ ἀνήρ· τὸ δὲ ἐνδοξότερον αὐτῆ καὶ τιμιώτερον τῆς ἐξουσίας καὶ ἀρχῆς ἡ γυνή ἐστι. τοῦτο γὰρ λέγει· γυνὴ δὲ δόξα ἀνδρός ἐστιν. Ἐπεὶ οὖν τὸ ἐνδοξότερον καὶ ἐπισημότερον τῆς τοῦ ἀνδρὸς ἀρχῆς ἡ γυνή ἐστι, κεχρεώστηκεν ὅσα τιμῶσιν ὡς ἀρχὴν τὸν ἄνδρα πράττειν· πράττοι δ' ἂν ἔχουσα τὴν ἐξουσίαν αὐτῆ ἐπὶ κεφαλῆς, καὶ ἐπιδεικνῦσα τὴν ὑποταγὴν ἐν τῷ καλύπτειν μὲν τὴν ἰδίαν, ἐκεῖνον δὲ κεφαλὴν αὐτῆς νομίζειν, καὶ εἰς ἐκεῖνον ὅλην ἑαυτὴν ὡς εἰς κεφαλὴν ἀναφέρουσαν ἀνατιθέναι. Ἀναίσχυντον γὰρ καὶ ἀχάριστον, μὴ ἐχὶ τοῦτον ἀρχὴν καὶ παραίτιον τῆς ὑπάρξεως εἰδέναι, καὶ τὴν ἀρχικὴν τιμὴν ἀπονέμειν. Εἰ γὰρ καὶ μηδὲν ἕτερον, πολλῶν ὄντων, ὑπολογίζοιτο, μηδέ τινα ἀνθρώπων αἰσχύνοιτο τὴν ἀρχὴν αὐτῆ καὶ τὸ ὑποτετάχθαι παραιτεμένη· ἀλλὰ τὰς γῆν ἀγγέλους, φησὶν, οἱ ἐπόπται καὶ μάρτυρές εἰσι τῆς ἐξ ἀνδρὸς γενέσεως αὐτῆς καὶ προόδε, δίκαιον ἂν εἴη δυσωπεῖσθαι καὶ αἰσχύνεσθαι, ὑπόκεισθαί τε διὰ τοῦτο τῷ ἀνδρὶ, καὶ τῆς ὑποταγῆς σύμβολον τὸ ἐπὶ τῆς κεφαλῆς κάλυμμα φέρειν. Τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν, διὰ τοῦτο ἡ γυνὴ ὀφείλει ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς ἀγγέλους. Ὁ μέντοιγε ἀνὴρ ἐκέτι τῷ αὐτῷ τῆς ὑποταγῆς ὑπόκειται νόμῳ· διὸ οὐδὲ χρείαν ἔχει καλύπτεσθαι τὴν κεφαλήν. Ἀλλὰ, ναί φησιν, εἴποι ἄν τις, διὰ τί δὲ ὁ ἀνὴρ κεφαλὴν ἔχων τὸν Χριστὸν, καὶ τῆς ἀρχῆς αὐτῷ τὸ ἐνδοξότατον ὑπάρχων, (εἰκὼν γὰρ καὶ δόξα Θεοῦ, φησιν, ὥσπερ καὶ αὐτῷ χρηματίζει ἡ γυνὴ,) οὐχὶ καὶ αὐτὸς κατακαλύπτει τὴν κεφαλήν; πρὸς ὃν ἔστιν εἰπεῖν, ὅτι διὰ αὐτὸ μὲν τοῦτο μᾶλλον οὐκ ὀφείλει κατακαλύπτειν, ἵνα καὶ αὐτὸς ἐν τῷ ἄρχειν καὶ ἐξουσιάζειν, ἀλλὰ μὴ τελεῖν ὑφ' ἑτέρου, τὸν κοινὸν εἰκονίζων δεσπότην δειχθῇ· ἔπερ ἔνδειξις ἐστὶ τὸ φέρειν ἀκάλυπτον τὴν κεφαλήν. Ὅτι μὲν γὰρ ἄρχει Θεὸς καὶ κυριεύει, κεφαλὴ πεφηνὼς τοῦ ἀνδρὸς, ἐκ αὐτοῦ μόνον, ἀλλὰ καὶ συμπάντων, ἐδείς ἀμφιβολίας λόγος· διόπερ οὐδὲ συμβόλων εἰς τοῦτο καθέσηκε χρεία, τὴν ὑποταγὴν ἐνδεικνυμένων· πᾶσι γὰρ τὸ κατὰ πάντων αὐτῷ κράτος καὶ ἡ δεσποτικὴ ἀνωμολόγηται κυριότης. Ὅτι δὲ γυναῖκα ὑπὸ τὴν ἐξουσίαν δεῖ τετάχθαι τοῦ ἀνδρὸς, ὅτε πᾶσιν ὁμοίως φανερόν· αὐτήν τε εἰδέναι μάλιστα προσήκει, καὶ τοῖς συμβόλοις ἐπιδεικνύναι. Ἔνιαι γὰρ καὶ τὰ σύμβολα περιφέρουσαι πολλῶν τε κατεξανίστανται, καὶ τὴν οἰκείαν τάξιν ἀμείβουσαι θορύβων καὶ ταραχῆς ἐ τὰς οἰκίας μόνον ἀλλὰ καὶ πόλεις ἐπλήρωσαν. Εἰ δὲ μὴ τοῦτο ἦν, καὶ τὴν ὑποταγὴν μὴ προσετέτακτο φυλάττειν, τί ἂν ἐγεγόνει; Εὐλόγως ἄρα καὶ βιωφελῶς ὁ μακάριος Παῦλος τά τε ἄλλα διωρίσατο, καὶ σοφοῖς τε καὶ φυσικοῖς ἀλλὰ καὶ πολιτικοῖς συγκατεσκευάσα-

το ἐνθυμήμασιν, ὡς ἀνδρὶ μὲν ἀκάλυπτον ἔχειν τὴν κεφαλήν, γυναικὶ δὲ ἐχὶ θεμιτὸν μὴ κατακαλύπτεσθαι.

ΚΕ. (ρλά.)
Κωνσαντίνῳ σπαθαρίῳ καὶ ἀσηκρῆτις.

Τοῖς Φιλομαθέσιν ἔγωγε (πῶς ἀνεπιφθονώτερον εἴπω;) χαρίεις εἰμί· διὸ τῶν ἠπορημένων σοι τὴν λύσιν μετὰ τᾶ ῥᾳδίᾳ σύντομον εὑρήσεις. Τὸ τοίνυν πρὸς τὸν ἀρχηγὸν τῆς ἀδελφοκτονίας εἰρημένον, Οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες, ἡσύχασον· διαφόρως ἴδι δυνάμενον δέχεσθαι τὰς ἀναπλύξεις. ὁ μὲν γὰρ ἀποφαντικῶς αὐτὸ εἰρῆσθαι ὑπειληφὼς, τοιοῦτόν τινα τὸν ἐν αὐτῷ θεωρήσειε νοῦν· ἐκ ἂν ὀρθῶς προσενέγκοις, ὅτι περ μηδὲ διεῖλες ὀρθῶς, τετέχνιν, ἐπεὶ μὴ διεῖλες ὀρθῶς, ἐδὲ προσήνεγκες ὀρθῶς, ἡ γὰρ ὀρθὴ προσένεξις τῆς ὀρθῆς ἥρτηται διαιρέσεως· διὸ ἥμαρτες, ἡσύχασον. Εἰ δέ τις ἐκ ἀποφαινόμενον, ἀλλ' ἐν τύπῳ πρσενηνεγμένον ἐρωτήσεως τὸν λόγον ἐκλάβοι (καὶ γὰρ καὶ τοῦτο μάλισα ἐγχωρεῖ) τοιοῦτον εὑρήσει τὸν νοῦν· Οὐχί, φησι, κἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ ὅμως μὴ διέλῃς, ἥμαρτες; οἷον, ἆρα γὰρ διότι ὀρθῶς προσήνεγκας, ὀρθῶς δὲ μὴ διεῖλες, ἃ δοκεῖς ἁμαρτεῖν; ἐδὲν γὰρ ἴσως κωλύει ὀρθῶς μὲν προσενεγκεῖν τὸν μὴ ἑτέρῳ τινὶ, μόνῳ δὲ θυσιάζοντα τῷ πάντων Θεῷ· μὴ μέντοι διελεῖν ὀρθῶς τὸν μὴ τηροῦντα τὸν πρέποντα τῇ διαιρέσει θεσμόν. Δεῖ δὲ τὸν ἀνεπιμώμως τοῖς θείοις ὑπηρετούμενον, ὀρθῶς τε προδιελεῖν, καὶ ὀρθῶς ὁμοίως προσενεγκεῖν. Ἀλλ' εἰ μὲν κατὰ μίαν περίοδον εἴη τὸ χωρίον τεθεωρημένον, τοιαύταις ἂν ὑπάγοιτο θεωρίαις. Εἰ δέ τις ἐχ ἁπλῆν καὶ μίαν, ἀλλ' οἷον ἐκ δύο τινῶν βραχυτέρων συγκειμένην, ὑπολάβοι τὸ τᾶ ἀποφαινομένᾳ χῆμα, καὶ ἕτω συντάξεσαν τὴν περίοδον, καὶ τὸ μὲν αὐτῆς κατ' ἔλλειψιν, τὸ δὲ αὐτοτελῶς εἰρῆθαι· οὕτω τῇ Φύσει τῆς ἀληθείας λυμανεῖται· οἷον, ἐχί, ἂν ὀρθῶς μὲν προσενέγκῃς, εὐδοκιμήσεις· ἂν δὲ μὴ ὀρθῶς διέλῃς, ἥμαρτες; Καὶ γὰρ ὥσπερ τὸ ὀρθῶς προσενεγκεῖν εὐσεβὲς, ἕτω τὸ μὴ ὀρθῶς διελεῖν ἀσεβείας ὑπεύθυνον. Καὶ ὁ μὲν τῆς τᾶ ῥητᾶ συντάξεως λόγος, καὶ ἡ ἀπ' αὐτῆς ἀναφαινομένη διάνοια, ἐν τούτοις· ἀλλὰ γὰρ τὸ μὲν προσενεγκεῖν ὀρθῶς αὐτόθεν δῆλον· τὸ δὲ μὴ διελεῖν ὀρθῶς, ἴσως δεῖται σαφηνείας. Ἐκεῖνος τοιγαρῦν ὀρθῶς διαιρεῖ, ὁ μὴ τὰ τυχόντα δᾶρα φέρων Θεῷ, ἀλλ' ὀρθῇ κρίσει διαιρέμενός τε καὶ διακρίνων, καὶ δωροφορέμενος αὐτῷ τὰ πολλῷ τῶν ἄλλων προφερέστερα. Πῶς γὰρ ἐχὶ τὰ πάντων ἐν ὑπεροχῇ τιμιώτερα, τῷ γενεσιουργῷ καὶ δοτῆρι καὶ πάντων αἰτίῳ τῶν καλῶν Θεῷ, μὴ προσῆκεν ἐξαίρειν καὶ ἱεροθυτεῖν; Τοιοῦτος δέδεικται καὶ Ἄβελ, εὐγνώμονόν τε καὶ τὸ θεῖον καθαρῶς φιλῶν· καὶ γὰρ εἴρηται περὶ αὐτᾶ, ὡς ἀπὸ τῶν πρωτοτόκων καὶ ἀπὸ τῶν στεάτων προσήνεγκεν· τετέχνιν, ἃ τῶν ἄλλων ἔν τε τῷ πρωτότοκα εἶναι, καὶ ἐν τῷ, ὡς ἂν εἴποι τις, ἐστεατῶσθαι καὶ καταλελιπάνθαι διέφερε, ταῦτα προσέφερε. Τὸ γὰρ ἀπὸ τῶν στεάτων, τῶν εὐτραφῶν καὶ ἐστεαλωμένων, φησὶ, καὶ τῇ πολλῇ ἐπιμελείᾳ παρεχομένων, τὸ ἐξηρημένον

μένον καὶ ἄριστον. Ἀλλὰ τῷ μὲν προσενεγκεῖν, ἀμφοῖν ἐγεγόνει ἡ Φροντίς· τῷ δὲ διελεῖν καὶ ἐκλέξασθαι τὰ ἀμείνω, ἐκέτι ὁμοίως ἀμφοῖν· ἀλλ' ὁ μὲν Ἄβελ, ὥσπερ διεῖλεν ὀρθῶς, ἕτω καὶ προσενήνοχεν· ὁ δὲ Καΐν, ἢ οὐδὲ προσήνεγκεν ὀρθῶς, ὅτι μηδὲ διεῖλεν· ἢ, εἰ καὶ δοίη τις ὀρθῶς προσενεγκεῖν, ἀλλὰ περί γε τὴν ἐξαίρεσιν καὶ ἐκλογὴν πλεῖστον ὅσον διήμαρτεν· οὐδὲ γὰρ τὰ κρείσσω, τὰ δὲ μὴ τοιαῦτα προσήνεγκε· καὶ δῆλον ἐξ ὧν τε Θεὸς ταῖς αὐτῷ θυσίαις μὴ ἐπέβλεψε, μηδὲ πυρὶ θείῳ, ὥσπερ τὰ τῷ Ἄβελ, ὡλοκαύτωσε· τοῦτο γάρ τινες ἐκδεδώκασι καὶ ἐξ ὧν τὸν ἔλεγχον τῆς ἐκ ὀρθῆς ἀπέτισε διαιρέσεως. Ἀλλὰ τὸ μὲν, ἐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; τοιοῦτον. Τὸ δὲ ἡσύχασον, ὡς ἔπη πρὸς ἡμαρτηκότα, ἠρέμησον κατὰ σεαυτὸν, καὶ διασκόπησον ἀκριβῶς τὸ πεπραγμένον τὸ ἄτοπον, καὶ μετανοίᾳ τὸ ἁμαρτηθὲν ἐξιλεῶσαι· ἐν ἡσυχίᾳ γὰρ καὶ τῷ ἀταράχῳ τῶν λογισμῶν μᾶλλον συνορᾶται καὶ κρίνεται τὸ παροραθέν. Τάχα δὲ καὶ προσανεστέλλοιτο ἂν τὴν ὁρμὴν τὴν ἐφ' ἅπερ αὐτὸς ἀθλίως ἐκβέβηκεν· ἥμαρτές φησιν, ἡσύχασον· μὴ πρόσθῃς ἕτερον τῷ ἀδικήματι· μέχρι τῆς εἰς ἐμὲ πλημμελείας περίγραψον τὴν ἀπόνοιαν, ἀδελφικῶν αἱμάτων μὴ τὰς χεῖρας μόνον, ἀλλὰ καὶ τὴν γνώμην καθαρὰν διαφύλαξον. Τὸ δὲ, πρός σε ἡ ἀποστροφὴ αὐτῷ, καὶ σὺ αὐτῷ ἄρξεις· ἢ περὶ αὐτῷ τῷ προσενεχθέντος εἰρῆσθαι, οἷον ἀνάξιόν, φησιν, τῆς ἐμῆς ἐστι προσφορᾶς, διὸ ἀποστρέφεταί σοι, καὶ αὐτὸς αὐτῷ, ὥσπερ καὶ πρὶν ἢ προσενεχθῆναι, κύριος ἔσῃ· ἢ ἐχὶ τὸ προσενεχθὲν, ἀλλ' αὐτὸ τὸ διαμαρτηθὲν περὶ τὴν προσένεξιν ὁ λόγος δηλοῖ· τετέχνιν, σὺ τῷ ἁμαρτήματος, ἐκ ἄλλος, γέγονας αἴτιος· διὸ ἡ ἀποστροφὴ αὐτῷ, καὶ ἡ ἀναφορὰ, πρός σε ἐπανήξει, καὶ σὺ αὐτῷ ἄρξεις ἀρχηγὸς ὀφθεὶς τῆς περὶ τὸ θεῖον ὀλιγωρίας, ἐξ ἧς καὶ τὰ λοιπὰ τῶν ἁμαρτημάτων προέρχεται. Εἰ δέ τις εἴποι καὶ ὡς παραψυχῆς ἕνεκα τοῦτο εἰρῆσθαι, (ἐλελύπηλο γὰρ ὁ Καΐν, εἰ καὶ μὴ διότι ἡμάρτηκεν, ἀλλ' ὅτι τὸ ἧττον ἔχειν ἐπὶ ταῖς θυσίαις παρὰ τὸν ἀδελφὸν,) οὐδὲ τοῦτο μακρὸν τῆς ἀπείρου καὶ ἀνεξιχνίαστου Φιλανθρωπίας τῷ Θεῷ· ὡς ἂν εἴποι Φιλόστοργος πατὴρ πρὸς ἡμαρτηκότα παῖδα, Μὴ συμπέσῃς, μηδὲ καταποθῇς τῇ λύπῃ, τοῖς δώροις σε παρευδοκιμήσαντος τοῦ ἀδελφοῦ· εἰ γὰρ καὶ ἐξ ὧν αὐτὸς ὁσίως ἔπραξεν δικαιοπρεπῶς προλετίμηται, ἀλλ' ἐν ἀποστραφήσεταί σοι πάλιν καὶ ὑπό σε ἔσαι, καὶ τῷ προνομίῳ τῶν πρωτοτοκίων αὐτὸς πάλιν τὸ πρεσβεῖον ἕξεις, ἂν μεταμελείᾳ σαυτὸν τοῦ πλάσματος ἀνορθώσῃς· ἀναφαίρετον γὰρ ἔσαι σοι τὸ κατ' αὐτῷ κύρος, ὅπερ εἴληφας, ἐξ ὧν πρῶτος τὰς μητρικὰς ἔλυσας ὠδῖνας· ἀλλὰ κατ' ἐπιστολὴν ἱκανὰ καὶ ταῦτα οἶμαι. Οἶδα δέ τινάς πόθε τῶν παλαιοτάτων Ἰουδαίων γεγραφότας, οἳ τὸ ἐλλόγιμον τῶν ἄλλων ἔχειν ἐδόκει, διὰ τοῦτο εἰρῆσθαι τὸν Καΐν μὴ διελεῖν ὀρθῶς, διότι ἀπὸ τῶν ἀψύχων, ἀλλ' ἐκ ἀπὸ τῶν ἐμψύχων, ὥσπερ ὁ Ἄβελ τὰ δῶρα προσέφερεν· καθυστερεῖν γὰρ καὶ ἐλαττοῦσθαι πολλῷ τῶν ἐμψύχων τὰ

ἄψυχα. διὸ ὃ καὶ τὸν τῶν ὅλων Θεὸν τῷ μὲν ἐφηδῆναι τοῖς δώροις ὡς ἐμψύχοις, τῷ δὲ τὴν θυσίαν ὑπεριδεῖν ὡς ἐκ τῶν ἀψύχων εἰσκεκομισμένην. Ἀλλ' ἔπερ ὅτως εἶχεν, ἐκ ἂν ὁ Καὶν τὴν διαίρεσιν, ἀλλ' αὐτὴν ἂν τὴν θυσίαν ὠνειδίζετο, ὅτιπερ ἀντὶ τῶν καρπῶν μὴ ζῶα προσήνεγκεν. Ἀλλ' ἐδαμῶ φαίνεται τοῦτο ἡ θεία καταμεμψαμένη φωνή· ἀλλὰ τῶν μὲν δώρων ἐδὲν ἠτιάσατο, ὑπὲρ δὲ τῆς διαιρέσεως τὴν μέμψιν ἐπήνεγκεν. ἀλλ' ὥστε δὲ, εἰ ὁ μὲν ἀπαρχῆς βίον τὸ γηπονεῖν, ὁ δὲ τὸ ποιμαίνειν ἐτίθετο, πῶς ἐκ ἄλογον ὑπολαμβάνειν ὑπ' αἰτίαν γενέσθαι τὸν Καΐν, διότι μὴ ἀπὸ τῶν ἀλλοτρίων, ἀλλ' ἀπὸ τῶν οἰκείων προσήνεγκεν; Κἀκεῖνο δέ τις προσθείη, ὡς ἐκ ἐν τῇ προσενέξει τῆς θυσίας, μᾶλλον ἀλλ' ἀπαρχῆς τῆς τῶν βίων αἱρέσεως ἔδει τὸν μὲν φαυλίζειν ὅτι γηπονεῖν εἵλετο, τὸν δὲ ποιμαίνοντα ἀποδέχεσθαι. τὸ γὰρ τῶν ἐπιτηδευμάτων διάφορον ἀρχὴ καὶ αἰτία καθέστηκεν τῷ τὸν μὲν ὡς ἐνόμισαν ἁμαρτεῖν καρποῖς θυσιάζοντα, τὸν δὲ παρευδοκιμῆσαι ζῶα τὰ δῶρα ποιέμενον. Πῶς δὲ καὶν ταῖς νομοθεσίαις ὕστερον σεμίδαλίς τε καὶ ζάχνες καὶ ἄρτοι προθέσεως εἰς προσφορὰν Θεῷ ἐλογίζοντο; Εἰ δὲ καὶ καλὰ λίαν ἐχί τινα τῶν δημιουργημάτων, ἀλλὰ πάντα, τῷ γενεσιουργῷ λόγῳ εἴρηται καὶ πεποίηται, τίνα λόγον ἔχει, τὰς ἀπὸ γῆς καρπὰς, καὶ ἃ μᾶλλόν ἐστιν ἀνθρώπῳ τροφὴ, ἐν ἀτίμῳ μοίρᾳ καὶ βδελύγματι τὸν δημιουργήσαντα παραπέμπεσθαι; διὸ τῆς τοιαύτης ἐπιβολῆς τὴν προτεθεωρημένην ἐξήγησιν μᾶλλον ἐγκριτέον· αὕτη γὰρ καὶ οἷς ὁ τῆς καθαρᾶς ἡμῶν καὶ ἀναιμάκτου θυσίας λόγος ἠγγύηται, δοκεῖ πως ἄδειν ὁμόφωνα· ἐξ ὧν καὶ ὁ τῆς ἀποστασίας Ἰουλιανὸς κατὰ τῆς εὐσεβείας γράφων, ἀλλόκοτα μὲν καὶ μωρὰ γράφων, ὅμως ἔδοξέν τι σοφὸν καὶ δυσεπιτίμητον αἰτιᾶσθαι Χριστιανὸς, ὅτι μὴ ζωθυσίαις τὸ θεῖον γεραίρουσιν.

Κς. (ρλβ'.)
Εὐχήμονι ἀρχιεπισκόπῳ Καισαρείας.

Συνίεμεν τὴν ὑπόχεσιν ὁ Σωτὴρ διὰ τὴν ὀλιγοψυχίαν τῶν μαθητῶν, καὶ πρὸ τῆς Γαλιλαίας ἐν αὐτοῖς Ἱεροσολύμοις αὐτοῖς ἐμφανίζεσθαι· καὶ ἐδήπου τοῦτο τῆς ἐπαγγελίας ὑπάρχει παράβασις, ἐδὲ πολλοῦ δεῖ· ταχεῖα δὲ μᾶλλον ἐκ πολλῆς φιλανθρωπίας ἐκπλήρωσις. Εἰ δ' ἔτι τις ἀγναμονῶν εἰς ψεῦδος ἕλκειν τὴν ἀλήθειαν ἐκβιάζοιτο, ἐκ εἶναι λέγων ἐπαληθεύοντος, ἐν μὲν τῇ Γαλιλαίᾳ παραχεῖν τὴν ὄψιν ἐπαγγείλασθαι, ἐν Ἱεροσολύμοις δὲ ταύτην δωρήσασθαι· ἐκεῖνο μᾶλλον συνιέτω, ὡς, ἔπερ εἰπὼν ὁ Σωτὴρ, ἐν τῇ Γαλιλαίᾳ δέναι τοῖς μαθηταῖς τὴν ἀπόλαυσιν τῆς μακαρίας θέας ἐκείνης, εἶτα μηδ' ὅλως παρέχειν· ἢ προθεὶς, ἐν Ἱεροσολύμοις μηδαμῶς αὐτοῖς ὀφθῆναι, ἔπειτα ὤφθη· ἐκ ἂν ἀφρόνως λίαν εἰς ὑπόνοιάν τις ἐξοφέρετο τῷ ψεύδει· εἰ δὲ τὴν ἐν τῇ Γαλιλαίᾳ ἐπιφάνειαν προαγγείλας καὶ ταύτην ἐπλήρωσε, καὶ τὴν ἐν Ἱεροσολύμοις ἐχαρίσατο, πῇ τῷ ψεύδει πάροδος, κἂν γῆν ἐν ψιλῇ τινι καταλείποιτο φαντασίᾳ; μᾶλλον δὲ, πῶς ἐκ ἐστὶν, ὡς ἄν τις εἴποι, διπλή τις τῆς

τῆς ἀληθείας ἐκπλήρωσις, ὧν τε ὑπέσχελο, καὶ ὧν μηδὲ ὑποχόμενος ἐχαρίσατο; Ὅρα δὲ κἀκεῖνο· εἰ μὲν ἁπλῶς ἦν προαγγείλας ἐν τῇ Γαλιλαίᾳ τοῖς μαθηταῖς ὀραθήσεθαι, ὁ δὲ ἀλλαχῆ πρότερον ὠράθη, συγκεχωρείσθω καὶ μηδὲ χώραν ἔχον τὸ ψεῦδος. εἰ δὲ ἀπελθόνλας ἔφη ὄψεθαι, οἱ δὲ ἔπω παρεγένονλο, ἐδὲ γὰρ ἦν αὐτοῖς ἐνεσηριγμένον τὸ τῆς ἀναστάσεως θαῦμα, ἵνα τὸν ἀναστάντα, τὰ Ἱεροσόλυμα λιπόντες, εἰς τὴν Γαλιλαίαν ἰδεῖν προσδοκήσωσι· πῶς ἐκ ἀσύνετος σφόδρα τῆς ἐπὶ τῷ ψεύδει συκοφαντίας ἡ δόξα; χωρὶς δὲ τῶν εἰρημένων συνορᾶν μάλιστα δεήσει, ὡς κἂν ἐν Ἱεροσολύμοις ἐπέσῃ καὶ ὤφθη τοῖς μαθηταῖς ὁ Σωτὴρ, ἀλλ' ἓν ἀ κυρίως ἐκεῖνοι τῦτον ἐθεάσανλο· πῶς γὰρ ἑώρων, οἵ γε πνεῦμα θεωρεῖν ἐδόκων; εἰ δὲ καὶ ὕστερον ἐπίστευον, ἀλλ' ἐδὲ ἔτω μέγα· τί γὰρ, πλὴν ὅτι πνεῦμα σάρκα καὶ ὀστέα ἐκ ἔχει, καὶ ὅτι αὐτὸς ὁ θανατωθεὶς καὶ ἀνέστκε. Διὸ καὶ ἐπιτιμῶν αὐτοῖς ἔλεγε· Τί τεταραγμένοι ἐστὲ, καὶ διὰ τί λογισμοὶ ἀναβαίνεσιν ἐν ταῖς καρδίαις ὑμῶν; ὅπερ ἐκ ἦν ἐσερεωμένων ταῖς γνώμαις, ἐδ' ἀκινήτοις χρωμένων περὶ τὴν ἀλήθειαν τοῖς λογισμοῖς. Ἐν τῇ Γαλιλαίᾳ δὲ ἀληθῶς ἐθεάσανλο καὶ εἶδον· ἐκεῖσε γὰρ αὐτοῖς ἀποκαλυφθὲν ἐτρανώθη, ὡς ὃν βλέπεσι καὶ ὁρῶσιν, αὐτὸς μέν ἐσιν ὁ τῦ θανάτε σκυλεύσας τὸ κράτος, αὐτὸς δὲ ὁ πάντων ἅπασαν τῶν ἐπὶ γῆς καὶ ἐν ἠρανῷ τὴν ἐξσίαν καὶ κυριότηλα ἀναδεδεγμένος· ὅτε καὶ τὸ μέγα καὶ ὑψηλὸν τῆς ἀποσολῆς ἀξίωμα, τῆς ἀνὰ πᾶσαν τὴν οἰκεμένην, περιβάλοιλο. Τοιγαρῦν, ἐν τῇ Γαλιλαίᾳ τὸν διδάσκαλον, ὡς ἀληθῶς, οἱ μαθηταὶ ἐθεάσαντο· κύριον γὰρ καὶ ἐξσιασὴν τῦ παντὸς, τῆς τε χάριτος τῦ παναγίε πνεύμαλος χορηγὸν, καὶ τῶν ἄλλων ἀγαθῶν ταμίαν, τότε μᾶλλον ἢ πρότερον διδαχθέντες, κατενόησαν. Παναληθῶς ἄρα καὶ θεοπρεπῶς ἔφη ὁ Χρισὸς, κἂν ἐν Ἱεροσολύμοις ἑαυτὸν προϋπέδειξεν, ὅτιπερ οἱ μαθηταὶ τὴν Γαλιλαίαν καταλαβόντες, ἐκεῖ αὐτὸν ὄψονται.

ΚΖ. (ρλγ'.)

Στεφάνῳ ὀρθοδοξήσαντι.

Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. Τί δὲ τὰ σπονδεῖα τῆς τῶν Χρισιανῶν θρησκείας, καὶ οἱ κραῆρες, καὶ αἱ θυΐσκαι, καὶ οἱ τῦ σαυρῦ τύποι, καὶ μυρίαι ἄλλαι; ἐῶ γὰρ εἰπεῖν τῆς Μωσαϊκῆς θυσίας τὰ σύμβολα· ἐχὶ ἀργύριον, καὶ χρυσίον, καὶ ξύλα, καὶ χρώματα, καὶ ἔργα χειρῶν ἀνθρώπων; Μὴ γένοιλο· ἃ γὰρ ἀργύριόν ἐσιν, ἀλλ' ἐξ ἀργύρου· ἐδὲ χρυσίον, ἀλλὰ χρυσῦ πεποιημένα, ἐδὲ ξύλα, ἢ χρώματα, ἀλλ' ὕλην μὲν ἔχει ταῦτα. Ἕτερον δέ τι ἐσὶν ἐκ τύτων θαυμάσιον οἷον συντετελεσμένον· οὐ μὴν ὑδ' ἐσὶ χειρῶν ἀνθρώπων παιζόντων περὶ τὴν ὕλην, χωρίς τε πάσης ἐνεργείας θείας τὸ παρεμπίπλον αὐτῶν ταῖς διανοίαις ἀναπλατλόντων· διὰ τῦτο, τὰ μὲν ὑδὲν ἕτερόν ἐσι πλὴν αὐτὴ ἡ ὕλη περιυβρισμένη, καὶ ὁ τῶν ἀνθρωπίνων χειρῶν ἀνεπίσκεπλός τε καὶ ἀλόγισος πόνος· τὰ δὲ, μορφάζεται μὲν ἐπὶ τῇ ὕλῃ, καὶ τὴν χεῖρα ὑπηρετῦσαν ἔχει, ἀλλ' ἄνωθεν κινεμέ-

νην· ὑπηρέτηται γὰρ ταῖς ἄνωθεν ἐπινοίαις καὶ λογισμοῖς ἔμφροσι, καὶ πρὸς τὴν εὐσεβῆ κρίσιν ἀνηγμένοις. Προστύχης εἰκονομάχε, καὶ μὴ ἐπαισχυνθῇς μαθεῖν, δι' ὧν αἰσχύνης φρικτῆς ἀπαλλάξῃ, καὶ δίκην ἄφυκτον φυγεῖν ἐξευρήσεις. ὥσπερ δὲ τὰ ἡμέτερα σπονδεῖα καὶ οἱ κρατῆρες καὶ αἱ θυίσκαι, καὶ οἱ τῶ σαυρῶ τύποι, καὶ τὰ παραπλήσια, ἐ χρυσὸς, ἐκ ἄργυρος, ἐδὲ ξύλων ἢ χρωμάτων ὕλη, ἐδ' ἔργα χειρῶν ἀνθρώπων· ἔτως ἐδὲ τὰ ἱερὰ ἡμῶν τῶν εἰκονισμάτων ἐκλυπώματα ἐκ ἐστὶν ἀργύριον, ἐδὲ χρυσίον, ἐδὲ χαλκὸς, ἐ μὴν ἐδὲ χρώματα, ἐδ' ἔργα (μήτι γένηται) χειρῶν ἀνθρωπίνων. Τῆς γὰρ ἀνέκαθεν ἀποστολικῆς τε καὶ πατρικῆς παραδόσεως τὸ θεῖον καὶ ἀδιάπλωτον κήρυγμα, οἷόν τις ἔμπνους σοφία, τὴν ὕλην ἀπολαμβάνουσα, καὶ κατὰ τὰς ἰδίους καὶ ἱερὰς θεσμὰς ἐργαζομένη, ταύτην καὶ τεχνιτεύουσα, εἰκονίζει τε καὶ μορφοποιεῖ, ἐδὲν τῆς ὑλικῆς ἀκοσμίας, ἢ τῆς ἀνθρωπίνης περιεργείας, ἐν αὐτοῖς ἐῶσα παῤῥησιάζεσθαι· ὅλον δὲ τὸ ἔργον ἑαυτῆς δεικνῦσα καὶ ἀποφαίνουσα, καθαρὰς ἡμῖν καὶ ἀκιβδήλους ἐν τοῖς σεπτοῖς εἰκονίσμασι τὰς τῶν πρωτοτύπων ἐμφάσεις ἱεροπρεπῶς τε καὶ ἱεροτύπως παρέχεται. Ἔχεις ἔν, ὡς ἐν βραχέσιν, οἶμαι, δι' ὧν τε σαυτὸν τὴν προγονικὴν εὐσέβειαν καρποφορῆντα μᾶλλον ἐπιδείξεις, καὶ τὰς αἱρετιζούσας ἐπισομίσεις. Τῷ μὲν γὰρ τῆς ὕλης λόγῳ καὶ τῷ ὑποκειμένῳ, ὥσπερ τράπεζα Θεῦ καὶ τράπεζα δαιμονίων, θυσία τε θεία καὶ θυσία δαιμονώδης, ὄργιά τε ἐθνῶν καὶ Χριστιανῶν μυσαγωγίαι, καὶ πολλὰ δὲ ἄλλα τῶν εἰς τὸ ἀκρότατον ἀντικειμένων, παρ' ὀλίγον ἔχουσι τὸ παρηλλαγμένον· χρήσει δὲ καὶ κλήσει, ἐπιθεσμῷ τε καὶ τελεσιουργίᾳ, καὶ μυρίοις ἄλλοις ἄφαλον αὐτῶν ὑπάρχει τὸ διωρισμένον. Οὕτω δὴ ἔτω καὶ εἴδωλα ἐθνῶν, καὶ Χριστιανῶν εἰκόνες, ναός τε Θεῦ, καὶ βωμὸς εἰδώλων, καὶ δὴ καὶ νίσσης ἑλληνικῆς λειτουργικὰ σκεύη, καὶ τῆς καθαρᾶς καὶ ἀναιμάκτου θυσίας ἡμῶν ἱερουργικὰ δοχεῖα· καὶ γὰρ καὶ τέτων ἑκάτερον τῶν εἰς ἀντίθετον συστοιχίαν ἀποκεκρινομένων ὕλην μὲν ἔχουσιν, ἐστὶν ὅτε μηδόλως ἔχουσαν τὸ διηλλαγμένον· κατὰ μέντοι τὰ μορφώματα, καὶ εἰδοποιήματα, καὶ τὴν ἑτερότητα ἐργάζεσθαι πεφύκοτα, ἄπειρος ὁρᾶται καὶ λόγῳ μόλις ῥητὴ ἡ ἐν αὐτοῖς ἀλλοτριότης· δι' ὃ τὰ μὲν τῆς ὕλης ἐδὲν ἐπὶ τὸ ἄμεινον μεμεληνεγμένα, ἀλλὰ καὶ πολὺ τῶ χείρονος μεμεληφότα, δικαίως ἂν ξύλα, καὶ λίθοι, καὶ χρυσὸς, καὶ ἄργυρος, καὶ χαλκὸς, ἢ ἔργα χειρῶν ἀνθρώπων ἐπονομάζοιντο, βέβηλά τε καὶ ἐναγῆ καὶ ἀκάθαρτα· τὸ μὲν ἐκ τῆς ὕλης, τὸ δὲ ἐκ τῶ πλάτσοντος, τὰ δὲ ἐξ ἐκείνων, οἷς δυσσεβῶς καὶ ἀθέως ἀνιερώθησαν, ἐξωνομασμένα. διὰ τῶτο κἂν ἔχῃ σῶμα, τὴν ἀφωνίαν ὀνειδίζεται, κἂν πόδας, κἂν χεῖρας, τὴν ἀκινησίαν, κἂν ὦτα, κἂν ῥῖνας, κἂν εἴ τι ἄλλο, τὴν ἀναισθησίαν, καὶ ἀπραξίαν, καὶ τὸ μάταιον. ὧν γὰρ ἢ ἐδὲν, ἢ δύσηνα καὶ ἐναγῆ τὰ ἀρχέτυπα, καὶ ὁ τέτων πλάστης μετὰ τῆ δυσσεβῆς ἀθλιώτερος καὶ τὸ τῆς λατρείας ὅλον θεοστυγέστερον· τέτοις πόθεν ὅλως χάριτός τινος ἢ δόξης, ἢ ἐνεργείας, ἤ τινος

σεμνο-

σεμνοτέρας κλήσεως οἰκείωσις πορισθήσεται; Τὰ δέ γε ἅγια καὶ σεπτὰ τῶν Χριστιανῶν ἱερουργικά τε σκεύη καὶ τεμένη καὶ εἰκονίσματα, καὶ τὰ ἄλλα τῆς θείας ἡμῶν θρησκείας σύμβολα, ἐπεὶ κἂν ὕλην ἔχ ἑτέραν ὑποβέβληται, ἀλλ' ἔν γε πρὸς τὸ πολῷ ἄμεινον μελεσκεύασται· χρήσει γὰρ καὶ κλήσει καὶ μυσαγωγίᾳ καὶ τῇ τῶν παραδειγμάτων θεότητι, ὧν τοῖς χαρακτῆρσι διαμεμόρφωται, καὶ μυρίοις ἄλλοις καθαγιασθέντα τετελείωται· διὰ τοῦτο ἐκέτι ξύλα, ἢ λίθος, οὐδ' ἄργυρος, οὐδὲ χρυσός· ἃ μὴν οὐδὲ χρώματα γυμνὰ τῆς εἰδοποιούσης καὶ παρεδρευούσης δυνάμεώς τε καὶ χάριτος, ὅτ' ἂν ἐννοηθείη ποτὲ, ὅτε παρονομασθήσεται· ἅγια δὲ μᾶλλον, καὶ τίμια, καὶ δεδοξασμένα, καὶ σεπτά· τῆς γὰρ ἄνωθεν ἐνεργείας, καὶ οἷς ἀνατέθεινται, ὧν τε τὴν κλῆσιν καὶ τὸ εἶδος φέρουσιν, ἐν μετουσίᾳ γενόμενα, καὶ τὸν ἡμέτερον νοῦν πρὸς ἐκεῖνα διαβιβάζουσα, διαπορθμεύοντά τε ἡμῖν τὴν ἐκεῖθεν ἀγαθοειδῆ καὶ θείαν εὐμένειαν, ἐκ ἐκ τῆς ὕλης ἂν εἰκότως κληθείη· ἃ μὴν οὐδ' ἀπό τινος ἀπεμφαινούσης ἄλλης, καὶ τοῖς ἀντικειμένοις ἁρμοζούσης ἰδιότητος· ἀλλ' ὧν τε μέλοιχε, καὶ πρὸς ἃ παρῆκται· οἷς τε ὑπηρετεῖται καὶ ἀφιέρωται· ἐκεῖθεν εὖ μάλα καὶ λίαν ἐνδίκως καὶ γινώσκεται τοῖς εὐσέβεσιν ὄντως καὶ ὀνομάζεται.

ΚΗ. (ρλδ'.)

Γεωργίῳ Μητροπολίτῃ Νικομηδείας.

Ὃν οὐδὲν δύναται χωρίσαι τῆς ἀγάπης Θεοῦ, ὁ θάνατος ἀπειλούμενος, ἢ ζωῆς ὑπόχεσις, ἢ τὰ ἐκεῖθεν ἁπλῶς, ἢ τὰ ἐνταῦθα· πῶς αὐτὸς ἐκουσίως ἀφίσταται, καὶ τό τε ὑπὲρ τῶν κατὰ σάρκα συγγενῶν· καὶ ὁ μόνον τὸν χωρισμὸν ὑπομένει, ἀλλὰ καὶ ἐπιθυμεῖ καὶ ἐπεύχεται χωρισθῆναι Χριστοῦ· ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ, ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου τῶν κατὰ σάρκα; Οὕτω μὲν ἄν τις τὴν σὴν ἐπιτείνων ἀπορίαν ἐρεῖ· Τί δῆτα; πῶς συμβήσεται τὰ ἀσύμβατα; ἢ πρῶτον μὲν ἐκεῖνο φάναι ἐξὸν, ὅτι οὐδὲ ἐστι ταῦτα μαχόμενα· ὁ γὰρ ἐναντίον ἀδιαίρετος πόθος Χριστοῦ, καὶ τὸ ἀγαπᾶν ἕτω τὸν πλησίον, ὥστε καὶ τῆς ἰδίας ὠφελείας μὴ νομίζειν ἐλάττονα τὴν ἐκείνων σωτηρίαν· μᾶλλον δὲ καὶ συνάδει ταῦτα πρὸς ἄλληλα. Ὁ γὰρ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐντολὴν πληροῖ δεσποτικὴν, τὸ πρὸς τὸν Δεσπότην φίλτρον καθαρὸν καὶ ἀκέραιον διασώζει. Ἐν τούτῳ γὰρ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους· καὶ πάλιν, Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. Κεφάλαιον γάρ ἐστι, καὶ σύνδεσμος, καὶ ῥίζα τῶν ἄλλων ἁπάντων κατορθωμάτων, ἥ τε τοῦ Θεοῦ ἀγάπη καὶ ἡ τοῦ πλησίον. Ναί φησιν, ἀλλ' ἐνταῦθα προκρίνει μὲν τοὺς συγγενεῖς· εὔχεται δὲ Θεοῦ χωρισθῆναι, ἵνα κερδάνῃ τούτους. Ὁ δὲ Χριστὸς ἔφη· ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἐστί μου ἄξιος. Ἀλλὰ γὰρ πῶς ἐστι τοῦτο φιλεῖν ὑπὲρ τὸν Χριστόν; Εἰ μὲν γὰρ δι' ἕτερόν τι Παύλῳ ἐτέρχοντο, εἶχεν ἂν ὁ λόγος τὸ ἰσχυρόν. Εἰ δ' ἵνα γένωνται Χριστοῦ, οὐκ

ἔχω

ἔχω συνιδεῖν, ὅπως οἱ συγγενεῖς προτετίμηνται τῶ δημιουργῶ. τί γὰρ καὶ ἦν ἕτερον τὸ Φιλεῖν ἐκείνους, ἢ τὸ ὑποτάξαι αὐτοὺς καὶ προσοικειῶσαι τῷ κοινῷ Δεσπότῃ; πῶς ἂν ἐσι Φιλεῖν ἐκείνους ὑπὲρ τὸν Χριςὸν, ὅπερ γε καὶ αὐτοὺς εἰς τὴν ὑπακοὴν καὶ ἀγάπην εἵλκε τὴν αὐτῶ; μᾶλλον δὲ ἀδεκάτῳ κρίσει τις ἐπισκοπῶν ἐντεῦθεν ἂν καταθεῴτο τραχῶς τὸν ἀναφλεγόμενον ἀεὶ τῶ θείῳ ἔρωτος ἐν Παύλῳ πυρσόν. οὐ γὰρ ἠρκεῖτο ἑαυτὸν μόνον προσάγων· ἀλλὰ καὶ ἑτέρους, ἐ γλώσσῃ μόνον καὶ χειρὶ σημαίνων, ἀλλὰ καὶ βίῳ καὶ τρόποις ἅπασι καὶ μεθόδῳ πάσῃ, ἔσπευδεν συνεισενεγκεῖν. Καλῶς, φησιν, εἰ μὴ ἐχώριζεν ἑαυτὸν τῶ Χριςῶ· τὸ μὲν γὰρ θέλειν ἑτέρους προσενεχθῆναι, ἐκ ἔσιν ἐπιτιμᾶν· τὸ δὲ χωρίζειν ἑαυτὸν ὧ τινι προσῆγεν ἄλλῳ, ἐκ ἔσιν μὴ ἐπιτιμᾶν. Τί ἔν φαμέν; ἢ ὡς ἐμενῶν ἐκ ἐχώριζεν; ἐδὲ γὰρ εἶπεν, Εὔχομαι χωρισθῆναι, ἀλλ' ηὐχόμην ἄν· τετέσιν, εἰ δυνατὸν ἦν, εἰ συνέβαινεν θείῳ πόθῳ πόθον ἔνθεον ἐκνικηθῆναι· εἰ ἔρως θεοπρεπὴς θεσπέσιον ἔρωτα παρηυδοκίμει, καὶ τῶτον ἂν ὑπελθεῖν ἠγωνισάμην. πάντα μὲν γὰρ ἐπράττετο Παύλῳ, ἵνα ἅπαντας Χριςῷ οἰκειώσῃ· μάλιςα δὲ Ἰουδαίους· ἦτοι γὰρ καὶ συγγενεῖς καὶ νόμοις ἠγμένοι, καὶ πρὸς οὓς αἱ ἐπαγγελίαι ἄνωθεν καὶ ἐκ παλαιῶν· ἀλλὰ καὶ τῶν ἄλλων πλέον τῷ κηρύγματι ἀνθεσηκότες· δι' ὃ καὶ ὁ περὶ αὐτοὺς ἀγὼν, καὶ ἡ σπουδὴ, καὶ ὁ πόνος, μᾶλλον διὰ τῶτο ἵνα μὴ δόξῃ ὁ νόμος ἀδὲν τῇ χάριτι συνεισενεγκεῖν, καὶ τὰς ἐκεῖθεν παιδαγωγηθείσας ψυχὰς ἀδὲν ἐπιληδειοτέρας παρασκευάσαι, ἵνα μὴ ψευδεῖς, εἰ καὶ μάτην, αἱ πρὸς τοὺς πατέρας ἐπαγγελίαι νομισθῶσιν· ἵνα μὴ Χριςὸς ὑφ' ὧν ἔδει μᾶλλον προσκυνεῖσθαι, μᾶλλον βλασφημῆται· ἵνα μὴ καὶ τῆς ἔγγιςα συγγενείας εἰς τὸν κοινὸν Δεσπότην ἐμπαροινέσης, μέρει τινὶ τῶ προσεχοῦς αἵματος καὶ τῷ τε μείζονι δόξῃ καὶ αὐτὸς ἐμπαροινεῖν. Τοιαύτη γὰρ ἦν ἡ Παύλου ψυχή· διὰ πάντων ἤθελεν ὁλοτελῆ τὴν δόξαν καὶ τὴν λατρείαν προσάγεσθαι Θεῷ διὰ ἑαυτοῦ, διὰ τῶν ἐκ γένους, διὰ τῶν ἐθνῶν· ἑδενὶ μέρει ἐλλειπῆ παραςῆσαι τὴν τῆς ἀποσολῆς αὐτοῦ διακονίαν ηὐλάβετο, μάλιςα δὲ αὐτὸν ἡ τῶν συγγενῶν ηὐλα ἀπιςία, καὶ τέτων πέρι ἐκαίετο. Καὶ τοῦτο παρισάνων ἔλεγεν, ηὐχόμην αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι. Οὕτω μέ, φησιν, εἰπεῖν, τῶ πόθῳ τὸ κέντρον συνελαύνει· ἕτως ἡ τῆς ςοργῆς Φλὸξ τὰ σπλάγχνα ἐπιβοσκομένη βιάζεται ἀνακεράζειν· ἕτως ὁ πρὸς Χριςὸν ἔρως, καὶ τὸ σπεύδειν αὐτῷ πάντας ἱερῶσαι, φρονεῖν ἀναπείθει. Ηὐχόμην ἄν, εἰ ἐνεδέχετο, εἰ ἐνεχώρει, εἴ τις ἦν ἀπόςασις σωτήριος, Θεοῦ χαριζομένη συνάφειαν, εἴ τις χωρισμὸς συνδέων σφοδρότερον, εἴ τις ἀλοτρίωσις οἰκειοῦσα τελειότερον· ἐδὲ γὰρ ἐδὲ τοῦτον τῆς Χριςοῦ δόξης, καὶ τῆς τῶν ὁμοφύλων σωτηρίας, ἐ μὴν ἔν ἐκ ἂν γε παρῆλθον τὸν τρόπον. Ἐπειδὴ γὰρ ἐκ τῶν ὄντων ἁπάντων τὴν εἰς Χριςὸν ἀγάπην ἐπεδείξατο· πέπεισμαι λέγων, καὶ τοῖς λόγοις καὶ διὰ τῶν ἔργων τὴν πίςιν ἐπάγων, ὅτι ἔτε θάνατος, ἔτε ζωὴ, ἔτε ἀρχαὶ, ἔτε δυνάμεις, ἔτε ἐνεςῶτα, ἔτε μέλλοντα, ἔτε ὕψωμα, ἔτε βάθος, ἔτε κτίσις τις ἑτέρα δυνήσεται ἡμᾶς

χωρίσαι

χωρίσαι ἀπὸ τῆς ἀγάπης τῆ Θεῦ, τῆς ἐν Χριστῷ Ἰησῦ τῷ Κυρίῳ ἡμῶν. Ἐπεὶ ἓν σύμπαντα μὲν τὰ ὄντα καὶ μερίζων καὶ κεφαλαιώμενος διεξῆλθεν, ἔπω δὲ τὸν τῆ πόθῳ ἔστησε δρόμον, λοιπὸν ἤδη καὶ ἐκ τῶν μὴ ὄντων μὲν, μηδὲ γεγονότων, εἰς ὑπόθεσιν δὲ παραλαμβανομένων, οἷά τις κόρον ἐκ εἰδῶς ἐρασὴς, ἀεὶ δὲ νομίζων ἐλαττῆσθαι τῆ χρέους, καὶ τὸ λεῖπον προσφιλονεικῶν ἀναπληρῶσαι προσεπάγει· μονονεχὶ λέγων, ὡς καὶ αὐτὴν τὴν ἐλπίδα, αὐτὸν τὸν δρόμον, αὐτὴν τὴν σωτηρίαν κατεθέμην ἂν, εἰ Χριστὸς πλέον διὰ τῆς τοιαύτης ἐδοξάζετο πράξεως, καὶ τὸ Ἰουδαίων ἔθνος ἐπιστρέφον διεσώζετο. τὸ δὲ τοιαῦτα καὶ φρονεῖν καὶ λέγειν, ἔστε Θεῦ χωρισμός ἐστί ποτε, ἔστε διάστασις· ἕνωσις δὲ μᾶλλον θαυμασία τις καὶ ὑπερφυὴς, καὶ καινοπρεπεστάτη συνάφεια, καὶ τῆ πρὸς Θεὸν καὶ ἀνθρώπους ἀπαραβλήτῳ φίλτρῳ ἐναργεστάτη παράστασις, καὶ μόνης, ὡς ἀληθῶς, τῆς μακαρίας ἐκείνης καὶ ἐρανίου Παύλου ψυχῆς ἀπαράγραπτον γνώρισμα. Ἀλλ' ἡ μὲν πρώτη λύτις τῆ ἠπορημένου, ἐκ ἂν οἶμαι λίαν ἀδὲ τῆς ἀποστολικῆς ἐκείνου γνώμης πόρρω τεθεωρημένη, τοιαύτη. Ἐπεὶ δὲ ἐκ ἐστὶ μονοειδὴς ἡ Παύλου φυτεία, ἀλλ' ἔθ' ὅτε πολυτελεχοί τε καὶ διάφοροι ὡς ἀπὸ μιᾶς τῆ γράμματος χώρας οἱ τῶν νοημάτων ὡραῖοι καρποὶ ἀναφύονται· φέρε, τῷ λόγῳ συνεκκαρπώμεθα, καὶ εἴ τι τῆ ἐκεῖθεν γεωργίου ἄλλο ἄξιον. Ὁρῶμεν τοιγαροῦν τὸν θεσπέσιον Παῦλον ἐχ ἁπλῶς ἕτω λέγοντα, κεχωρίσθαι θέλειν Χριστῆ ὑπὲρ τῶν ὁμοφύλων· ἀδὲ μετὰ τὸ πιστεῦσαι διίστασθαι· τῆτο γὰρ ἴσως καὶ φοβερώτερον· ἀδὲ γὰρ, ἀπό γε τῆ νῦν, φησιν, εὔχομαι γενέσθαι ἀνάθεμα, ἀλλ' ἠυχόμην εἶναι· ὅπερ ἴσον ἐστὶ τῆ λέγειν, αἱρετώτερον ἡγούμην, τῷ Χριστῆ κηρύγματι προσδεδραμηκότων ὑμῶν, ἐμὲ βραχύ τι προσδιατρίβειν ἔτι τοῖς τῆ νομικῆ γράμματος προθύροις, καὶ τῇ σκιᾷ ὑποκαθῆσθαι, ἢ προλαβόντα καὶ ταχύναντα τὸν ἐπὶ τῇ πίστει δρόμον, ὑμᾶς ἕτως ὁρᾶν πολεμίως ἔχοντας, καὶ ἀνεπιστρόφως πρὸς τὴν χάριν. Καὶ γὰρ ἐκεῖνος μὲν ἐμβραδύνων, ἀδ' ἕτως ἂν ἀδὲν ὑστέρησε μέγα, ὅπε γε καὶ πολλῶν προκατειληφότων τί δεῖ λέγειν διευλαβέμενον ὡς ἀδενὸς ὑστέρησεν, ἀλλὰ μὴ παῤῥησιασάμενον τὴν ἀλήθειαν, ὅτι πάντας τῷ δρόμῳ καὶ τῇ σπεδῇ ὑπερήλασεν. Ἀλλ' ἐκείνῳ μὲν ἡ βραδύτης εἰς ἀδὲν ἀπήντα δύσκολον· φόβος δ' ἦν ἐ μικρὸς περὶ τῶν ἕτω κακῶς ἐπὶ τῇ πίστει διακειμένων, μὴ καὶ διὰ βίε τὴν αὐτὴν νοσῆσαι πώρωσιν, αἰώνιον αὐτοῖς τὸν ὄλεθρον συνεργάσωνται· δι' ὃ τὴν ἐκείνων προτιμᾷ σωτηρίαν τῆ ταχύτερον αὐτὸν ἐντὸς γενέσθαι τῆς σωτηρίας. Ἀλλὰ σύ γε προσέχων, ὡς ἡ θεία πολλαχῆ γραφὴ καὶ ἀντὶ κακώσεως καὶ τιμωρίας σωματικῆς τὸ ἀνάθεμα τίθησιν, ἐχαλεπῶς κἀκεῖνο συνήσεις, ὅτι τὰ τῶν κακοεργῶν παθεῖν ὁ θεῖος Παῦλος, ὑπὲρ τῆ σεσῶσθαι τὰς συγγενεῖς, διὰ τῶν τοιήτων ῥημάτων ἠῦχέλο· καὶ ἐχ ἁπλῶς ἀδὲ τῆτο, ἀλλὰ καὶ ἀπὸ Χριστῆ δικάζοντος καὶ τὴν τίμωρον ἀφιέντος ψῆφον· τῆτο γὰρ ἂν εἴη τὸ ἀπὸ Χριστῆ. Τῆτο δὲ μέγα μὲν καὶ θαυμάσιον· πῶς γὰρ ἤ; ἐδεμίαν δὲ τῆ πρὸς Χριστὸν

πόθεν ἡ τῆς συναφείας διάσασιν συνεισάγει, ἐδέ τινα πάροδον ταῖς ἄνωθεν ἀφίησιν ἀπορίαις· ἐδὲ γὰρ ἐδὲ τὸ βέλεσθαί τινα ὑπὲρ τῆς ἑτέρων σωτηρίας τὰ ἔσχατα τῷ σώματι πάσχειν, κἂν ἄνωθεν ἔλκῃ τὴν κρίσιν, ἐλάττωσίν τινα τῆς θείας τοργῆς, ἵνα μὴ λέγω μᾶλλον ὡς καὶ συναύξησιν εἰσάγει. Ἐδίδει τοίνυν ἑαυτὸν ὁ θεῖος Παῦλος, καὶ ἠὔχετο πικραῖς ὑπελθεῖν καὶ βαρείαις τιμωρίαις, εἰ μόνον τὸς ὁμοφύλους ἴδοι τὸν κατὰ Χριστὸ φθόνον καὶ πόλεμον καταθεμένους, καὶ τὸ βαρὺ τῶ νόμῳ καὶ παλαιὸν ἄχθος ἀποσεισαμένους, ὑπὸ τὸν χρηστὸν τῆς χάριτος καὶ ἐλαφρὸν ζυγὸν γεγενημένους. Ὑπόλοιπον δὲ τῶν εἰρημένων ἐστὶν ἰδεῖν, ὡς εἴ τις καὶ μηδὲν ἔξωθεν τῶν γεγραμμένων ἐπιλογιζόμενος, αὐτὰ δὲ καθ' ἑαυτὰ καὶ χωρίς τινος περιουσίας μετερχόμενος, ἀδεκάστῳ κρίσει καὶ πνευματικαῖς, κατ' αὐτὸν ἐκεῖνον εἰπεῖν τὸν θεσπέσιον, ἀνακρίσεσι τὴν περὶ αὐτῶν ἐπιτρέψοι ψῆφον, ἐδ' ἔτως ἐδὲν δυχερὲς ἢ τῶν ἀπόρων ἐπόψεται. Ἵνα γὰρ τὴν τῶ πατριάρχῃ θαυμασίαν ἐάσω Ῥεβέκκαν, Φοβερὰν ἀρὰν ἐφ' ἑαυτὴν ἔλκουσαν, ὡς ἂν τὸν παῖδα πείσῃ πατρικῆς εὐλογίας τέχνῃ τὸν κλῆρον ἰδιώσασθαι· ἀλλ' ὅ γε Μωσῆς ὁ θεόπλης τὰ αὐτὰ ὑπὲρ Ἰουδαίων μικρῶ καὶ λέξεσι προαναφθεγξάμενος, πῶς ἐκ ἀντὶ πάντων ἀρκήσει τὰς ἐπιφερομένας ἀπορίας τῶν τῶ ἀποστόλῳ ῥημάτων προδιαλύσασθαι; τί γάρ φησιν; Εἰ μὲν ἄφεις, αὐτὸς ἄφες, εἰ δὲ μή, ἐξάλειψον κἀμέ· ἀλλὰ πόθεν; ὄντως συγγενὴς ἦν ἡ Μωσέως ψυχὴ τῆς Παύλῳ ψυχῆς. ἐκ τῆς βίβλῳ γάρ φησι τῆς ζωῆς. τῶτο δὲ τί ἐστιν ἄλλο, παρὰ τὸ λέγειν, ὡς ἂν μὴ τοῖς ἐκ γένες καταλλαγείης, καὶ σαυτῷ συνάψῃς αὐτές· (ὦ γνώμης ἄκρατον τὴν τῶν ἐξ αἵματος πρόνοιαν μεθυέσης·) χώρισον κἀμὲ ἀπὸ σῦ. εὔδηλον γὰρ ὡς ὁ ἐκεῖθεν ἀπαλειφόμενος τὸν χωρισμὸν συγκαταδικάζεται τῶ Θεῶ· καὶ ἐδὲν διενήνοχεν εἰπεῖν, ἐξάλειψόν με τῆς βίβλῳ τῆς ζωῆς, καὶ χώρισόν με ἀπό σῦ. ὦ παῤῥησίας ἐκ ἐκ θείας μόνης φιλοτιμίας, ἀλλὰ καὶ πόνοις οἰκείοις ἐχὶ τὸ ἀκατάγνωστον μόνον, ἀλλὰ καὶ τὸ εὐδόκιμον ἀπενεγκαμένης· ἐξεῖλέ τε γὰρ τὸν φυλετὴν λαὸν τῆς δικαίας ὀργῆς ἡ φωνὴ, καὶ τὸν εἰπόντα ἐκ ἀπήλειψε τῆς τῶν ἀειζώων συγγραφῆς. ὡς ἓν Μωσῆς ταῦτα λέγων καὶ πράττων θαυμάσιος, ἔτω καὶ Παῦλος ἐν τοῖς ὁμοίοις σφοδρότερος ὀφθεὶς, ἐπὶ τοσῶτον θαυμασιώτερος. Ἢ ἐ δοκεῖ σοι ἀνάθεμα ποιεῖν ἑαυτὸν ὑπὲρ τῆς σωτηρίας τῶν συγγενῶν, καὶ τρόπον τινὰ τῆς χάριτος διαχίζεσθαι, ὅτε Τιμόθεον περιέτεμνεν; ὅτε αὐτὸς ἐκεῖνος λαμπρῶς κηρύσσων τὸ εὐαγγέλιον, Ἰουδαϊκὰς εὐχὰς ὑπεκρίνετο, τήν τε κόμην ξυρώμενος τῆς κεφαλῆς, καὶ τὰς νενομισμένας θυσίας προσφέρων, καὶ ἐχ ὑπὲρ ἑαυτῶ μόνον, ἀλλὰ καὶ ὑπὲρ ἑτέρων, οἷς συνηγνίζετο, τὰς ἐπὶ τῇ θυσίᾳ καταλιθεὶς δαπάνας, καὶ τὰ ἀναλώματα· ἵνατί γένηται; ἵνα πᾶι Χριστῷ κερδήσῃ, ἵνα τὲς πλείονας προσάξῃ, ἵνα πάντως τινὰς σώσῃ· διὰ τῶτο καὶ Ἰουδαῖος γίνεται Ἰουδαίοις, καὶ τοῖς ἀνόμοις ὡς ἄνομος διατίθεται, καὶ συνασθενεῖ τοῖς ἀσθενῶσιν· μηδὲν τέτων (ἄπαγε) μήτε ὢν ἐν κρίσει, μήτε γινόμενος·

μενος· καὶ τοῖς πᾶσι πάντα γίνεται, ἵνα πάντως τινὰς τῆς πλάνης ἀνελκύσῃ· μιμητὴς γὰρ ἦν περιδέξιος (ἵνα τὸ κεφάλαιον εἴπω) τῦ κοινῦ Σωτῆρος ἡμῶν καὶ Δεσπότυ· ὃς πάντα παθὼν ὑπὲρ ἡμῶν ἀφάτῳ πλύτῳ φιλανθρωπίας καὶ κενώσεως, ἐδ' ἁμαρτία, οὐδὲ κατάρα κληθῆναι δι' ἡμᾶς, καὶ νομισθῆναι παρητήσαλο, καίτοι πηγὴ πάσης εὐλογίας, καὶ πάσης ἁμαρτίας ὑπάρχων ἀναίρεσις· ὃν διὰ βίβ καλὸν παράδειγμα προσησάμενος ὁ γνήσιος, ὡς ἀληθῶς, μαθητὴς, ἀεὶ τὸ θαυμασὸν ἐκεῖνο καὶ πολυέραστον τῆς πολιτείας ἐν τῇ ψυχῇ μεταγράφων καὶ ἀνατυπῶν ἐκ ἀπέληγεν ἄγαλμα. Ἀλλὰ γὰρ, περὶ τῦ διηπορεμένυ σοι, τῆς χρείας ἐκ οἶδ' εἰ ἔλατλον, τῆς δ' ἔν ἐπισολῆς καὶ ἐπὶ πλέον, τὰς λύσεις δεχόμενος, ἔῤῥωσο.

ΚΘ. (ρλέ.)

Εὐχήμονι ἀρχιεπισκόπῳ Καισαρείας.

Παῦλος ὁ θεῖος ἀπόσολος, ὁ τῷ διαπύρῳ πόθῳ τῆς εἰς Χριςὸν ἀγαπήσεως, καὶ τῷ ἀνυπερβλήτῳ δρόμῳ τῦ κηρύγμαλος, τὴν ἄνω Ἱερυσαλὴμ ἑαυτῷ καταλαβόμενος παλρίδα, τὴν ἐκ παλαιῶν προγόνων καὶ τῆς σωμαλικῆς γενέσεως τὰ Γίχαλα (κώμη δὲ νῦν τὸ χωρίον τῆς Ἰεδαίας, πάλαι πολίχνιον χρηματίσαν,) πατρίδα λαχὼν εἶχε· τῷ Ῥωμαϊκῷ δὲ δόγαλι τῶν γεννησαμένων ἅμα καὶ πολλοῖς ἑτέροις τῦ ἔθνυς συνεαλωκότων, Ταρσὸς αὐτῷ τὸ συνενεχθὲν, ἐν οἷς καὶ τὰς μητρικὰς ἔλυσεν ὠδῖνας, δίδωσι παλρίδα· Ἐγὼ γάρ εἰμι (φησὶν) ἀνὴρ Ἰεδαῖος, γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας. εἶτα τῆς Ῥωμαίων Φιλοτιμίας τῷ μεγέθει τῦ κράτυς παραμιλλωμένης, καὶ μέχρις αὐτῶν τῶν ἀλλοφύλων τὸ φιλότιμον καθυπαλευύσης, εἰς τὴν τύτων εὐγένειαν, καὶ τῆς πολιτείας καὶ τῦ ὀνόμαλος, τῦτο μὲν πρῶτα, τῦτο δὲ καὶ χρήμασι πολλοῖς ἀναδραμεῖν ἐχαρίσθη ἐξυσία· γίνεται τοίνυν ἐκ τύτυ καὶ τοῖς γονεῦσι τῦ θεσπεσίυ Παύλυ συλλαβαῖς ὀλίγαις καὶ νόμοις ἀνθρωπίνοις πατρὶς ἡ Ῥώμη, καὶ τὸ Ῥωμαίων πολίτευμα· καὶ τῦτό ἐσιν, ὃ καὶ ὁ θεῖος ἐκεῖνος ἀνὴρ ἐπεσημήναλο λέγων πρὸς τὸν χιλίαρχον αἰχῦλα τὴν ἐξ ἐμπορίας Ῥωμαίων συγγένειαν, ὡς Ἐγὼ δὲ καὶ γεγέννημαι· ἀντὶ τῦ, κατὰ κλῆρόν μοι παλρῷον ἡ Ῥωμαϊκὴ συγγένεια κάτεισι, καὶ ἐκ ἰδιωτεύσι τοῖς γονεῦσιν λαγόνων μητρῴων προῆλθον εἰς Φῶς, ἀλλ' ἤδη καὶ τῦ Ῥωμαϊκῦ τοῖς γράμμασιν αὐτὸς σεμνύνοντος αἵματος· ὥσε ὁ μόνον δύο πατρίδες, ὅπερ αὐτὸς ἀμφισβητεῖς, τῷ τῆς ἀληθείας εὑρίσκοντα ῥήτορι· ἀλλ' ἤδη πρὸς ταύταις καὶ τρίτη· ὧν εἰς μὲν τὰ Γίχαλα, ἐν τῇ μερίδι καὶ δικαίῳ τῆς Βενιαμίτιδος Φυλῆς ἀναφέρεται· οἱ Ταρσοὶ δὲ τῆς αἰχμαλωσίας δῶρον ἐγένοντο· Ῥωμαῖον δὲ τῶν τεκόντων ἡ εἰς τὸς Ῥωμαίυς ἀναγραφὴ ποιεῖ, καὶ τὸ πατρικὸν διὰ τῦ κλήρυ διαβαῖνον εἰς αὐτὸν ἀξίωμα.

Λ. (ρλς΄.)

Τῷ αὐτῷ.

Ὥσπερ ὁ κλεινὸς Βαρνάβας, τὸ τῆς πραότητος καὶ συμπαθείας

ὡς ἀληθῶς σκεῦος, αἵματι προγόνων Ἰουδαῖος ὤν, κύπριον τὸ ἀπὸ τῆς πατρίδος εἵλκε γένος· καὶ ὁ λόγιος Ἀπολλὼς, ὁ τῷ κηρύγματι τὴν Ἔφεσον φθάσας, καὶ πρὸς τὴν Ἀχαΐαν διαβὰς, Ἰουδαϊκῆς ὑπάρχων φυλῆς, ὅσα εἰς φύσιν ἀναφέρεται τῶν γεννηταμένων, διὰ τῆς παροικίας τὴν Ἀλεξάνδρειαν ἐπεγράφετο πατρίδα· ἔτω καὶ ὁ ἱερὸς Παῦλος, ἐξ Ἰουδαίων τε φὺς, καὶ εἰς τὴν Βενιαμῖτιδα φυλὴν ἀνηγμένος, Ταρσὸν τῶν τεκόντων τὴν Ἑλληνίδα πόλιν ἐπωκηκότων, ἐκτήσατο πατρίδα. Ὥσπερ δὲ πάλιν ὁ χιλίαρχος, διὰ μὲν τῶν Φύντων καὶ τῆς ἐνεγκούσης, ὡς περιῴλάτω τῇ Ῥωμαϊκῇ διέξατο γένος, χρήμασι δὲ, ὡς αὐτὸς ἐκεῖνος διωμολόγει, εἰς τὴν ἐκείνων εὐκλειαν ἀνελήφθη· Καὶ ὥσπερ ἡ Φιλίππων πόλις τῆς Μακεδόνων ἐπαρχίας μητρόπολις οὖσα, καὶ ἀδὲν δίκαιον ἔχουσα πρὸς συγγένειαν Ῥωμαίων, ὅμως ἡδυνήθη τῷ ταύτης ὀνόματι λαμπρυνθῆναι· καὶ γὰρ οἱ κύριοι τῆς παιδίσκης, ἐξ ἧς τὸ τῆ πυθῶνος ἀπηλάθη πνεῦμα, ἀγανακτοῦντες κατὰ τῶν τῆς ἀληθείας κηρύκων, καὶ πρὸς τὰς στρατηγὰς ἕλκοντες τὰς ἀπαλλάξαντας τὸ πλάσμα τῆ δαιμονίᾳ, ἐπείπερ ἡ θεραπεία τῷ πάθει συναπήλαυνεν αὐτῶν καὶ τὴν ἐμπορίαν· οὗτοι οἱ ἄνθρωποι, φασὶν, ἐκλαράσσασιν ἡμῶν τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες, καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι, οὐδὲ ποιεῖν, Ῥωμαίοις οὖσιν· ὁρᾶς, ὅπως οἱ Φιλιππήσιοι τῇ Ῥωμαίων ἑαυτὰς ἐπισεμνύνουσι κλήσει· Ὥσπερ δὲ πάλιν, τούτων ὕστερον, Ἰώσηπος Ἑβραίων τε γνησίας σπορᾶς ἐκβλαστήσας, καὶ αὐτὰ πατρίδα τὰ Ἱεροσόλυμα κεκληρωμένος, ἐξ ἱερέων τε καὶ ἱερεὺς αὐτὸ τοῦτο χρηματίσας, πλὴν πρὸς τῇ Ῥωμαίων κλήσει καὶ τὴν Φλάβιος ἐπεγράφετο προσηγορίαν· ὁ γέρας ἡ τοῦ Οὐεσπασιανοῦ ἐπωνυμία τοῖς Ῥωμαϊκὴν αὐχοῦσιν τὴν συγγένειαν ἐδίδα· καὶ οὐ μόνον Ῥωμαῖον αὐτὸν καὶ Φλάβιον ἀναγράφων ἐδαμοῦ ξενίας ὁ Ἰώσηπος ἐάλω, καίτοι πολλῶν τῷ φθόνῳ κατ' αὐτοῦ βαλόντων, ἀλλ' οὐδ' ἔνδειξιν εἰσήχθη· Εἰ βούλει δὲ καὶ αὐτὴ τῶν Ἱεροσολύμων ἡ πόλις, γενεαῖς ὑστέραις ἐκ τῆς Ἀδριανοῦ προσωνυμίας τὴν Αἰλίων κλῆσιν λαχοῦσα, δημοποιηθὲν ὡς φάναι τὸ ἔπος, τὸ Ῥωμαίων γένος ὑπέδυ· Ὥσπερ ἔν ἔτοι πάντες, ἔθνος καὶ πατρίδος ὄντες ἀλλοφύλου, εἰς τὴν Ῥωμαϊκὴν ἐτέλεσαν πολιτογραφίαν· οὕτω καὶ οἱ τοῦ θεσπεσίου Παύλου γονεῖς, ἐκ ἐν τῷ λεληθότι τῆς Ἰουδαϊκῆς πολιτείας βιοῦντες, ἀλλὰ καὶ τῶν πολλῶν ἔχοντές τι πλέον, τῆς Ῥωμαϊκῆς φατρίας φυλέται διὰ τῆς ἐγγραφῆς ἐκρίθησαν ἐκ ἀναξίοις χρηματίσαι· ἐξ οὗ καὶ ὁ σοφὸς Παῦλος διαδοχῆς κλήρῳ τὴν Ῥωμαίων εὐγένειαν παλαιόθεν αὐτῷ κατιοῦσαν ἐκ ἠγνόει. Τὸ λοιπὸν μηκέτι σοι τὸ ἀπορεῖν μόνον, ἀλλὰ πολὺ μᾶλλον τὸ ἐπιζηλοῦν τὸ οἰκεῖον τῶν λύσεων καὶ ἀγαπᾶν, ἐπιμέλεια γινέσθω. ἅσπερ γὰρ, εἴ τις τὰ κατὰ διαλεκτικὴν ζητήματα ἐξ ἀμέσων τε καὶ πρώτων καὶ τῶν καθ' αὐτὸ πειρῶτο διαλύσασθαι, διδοὺς τὸ γέλοιον, οὐδὲ τὴν τοῦ ψεύδους δίκην διαφεύγει καὶ ἐν ῥητορείᾳ γραμμικὰς ὁ ἀπαιτῶν ἀνάγκας, καὶ ὁ τῶν κατὰ τὰ μαθήματα θεωρημάτων πολιτικὰς

λιτικάς τε καὶ ἐπιπολαίους πίστεις ἐπιχειρῶν προκομίζειν· παραπλήσιόν τι, ἵνα μὴ ἀχρημονέστερον εἴπω, καταλαμβάνουσιν, ὅσοι τῶν καθ' ἱστορίαν ζητημάτων ἐχ ἱστορικῶς, ἀλλ' ἐξ ἑτέρας γένους, ἐλπίδας ἀνέχουσιν εἰς μάθησιν ἐλθεῖν τῆς ἀληθείας.

ΛΑ. (ρλζ'.)
Γεωργίῳ μητροπολίτῃ Νικομηδείας.

Τὸ μὲν βαθύτερον τῆς προνοίας, δι' ἣν Ἰησοῦς ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν, σαρκὶ τὴν περίοδον ἔσχεν, εἰς τὸν ἀνεξερεύνητον αὐτοῦ τῶν κριμάτων βυθὸν, τῆς ἀνθρωπίνης ἀναχωρεῖν διανοίας, καταδύεται· ὃ δὲ, καὶ τῶν μακαρίων ἡμῶν πατέρων διδασκόντων, καὶ αὐτοὶ διασκοπεῖντες συνιδεῖν, ἐχ εὑρίσκομεν ἄπορον. Πρῶτον μὲν ἐπ' ἐλέγχῳ τέμνεται τὴν σάρκα τῶν τὴν παλαιὰν δυσφημένων διαθήκην, καὶ τὸν ἐν αὐτῇ νομοθετήσαντα ὕβρεσι βαλόντων· δι' ὧν γὰρ τὴν ἐκεῖθεν δοθεῖσαν περιτομὴν, ὡς ἐδ' ἂν αὐτοὶ ἀρνηθεῖεν, ὁ ἀγαθός τε καὶ ἀληθὴς Θεὸς ὑπέσχη, τοῖς ἔργοις αὐτοῖς μαρτυρεῖ, τὸν τῆς περιτομῆς νομοθέτην ἀγαθόν τε εἶναι, καὶ ἀγαθῶν δοτῆρα, καὶ τῆς αὐτῆς φύσεως κοινωνόν· ἐ γὰρ ἄν τινος ὄντος ἐναντίας, ἡ τῆς ἀγαθότητος πηγὴ τὰς ἐκεῖθεν τῷ νόμῳ ῥανίδας διὰ τῆς σαρκὸς ἐπεδείκνυ προχεομένας. ἵνα ἓν τὰ ἀπύλωτα σώματα, τὰ κατὰ τὸ Πατρὸς, ἢ καὶ κατ' αὐτὸ γε τὸ Υἱὸ τὴν βλασφημίαν λαλήσαντα ἐπισομίσῃ· (πάντα γὰρ τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστι, καὶ, ἃ ποιεῖ ὁ Παλὴρ, καὶ ὁ Υἱὸς ποιεῖ·) τέμνεται καὶ τὴν σάρκα τῆς ἀκροβυστίας· συνδιατέμνων αὐτῇ πολλῶν δυσσεβῶν αἱρέσεων ἀφορμάς. Δεύτερον δὲ ἐκεῖνό μοι νόει· ἐτόλμησέ ποτε ὁ δυσσεβὴς Ἀπολινάριος τερατεύσασθαι, ὡς ἡ προσληφθεῖσα σὰρξ τῇ προσλαβέσῃ θεότητι τὸ ὁμοούσιον συνδιέσωζε· σάρκα γὰρ ἀνέπλαττεν, ὡς ἠβούλετο, ἐχ οἵαν ἡ ἀνθρωπίνη Φύσις οἶδεν, ἀλλ' οἵαν ἡ φαντασία τῶν ἐξεσηκότων λογισμῶν ἐδημιούργει· ἡ τοίνυν τομὴ τῆς σαρκὸς καὶ τὸ πρὸς τὴν θεότητα λαμπρῶς ἀνακηρύττει ἑτεροφυὲς, καὶ τὸ πρὸς τὴν ἡμετέραν σάρκα ὁμοούσιον παρισᾷ. Τρίτον δὲ πρὸς τοῖς εἰρημένοις, οἱ τῶν Μανιχαίων παῖδες φαντασίᾳ τὴν σάρκα τὸν Χριστὸν προσειληφέναι δογματοποιοῦνται. ἀλλ', ὡς ὁρᾷς, προαποτειχίζεται τῇ περιτομῇ καὶ τοῦτο τὸ δύσφημον· ἡ φαντασία γὰρ τομὴν καὶ πάθος καὶ ῥύσιν ὁρωμένην αἵματος ἐκ ἀνέχεται· ἐδὲ τὰ τῆς ἀληθείας ἔργα τὸ πλάσμα καθαρῶς παραδέχεται. πάλιν Οὐαλεντῖνος κενοφωνεῖ, ἐκ ἐκ τῶν παρθενικῶν καὶ ἀχράντων αἱμάτων τὴν ἐνωθεῖσαν τῷ Λογῳ σάρκα παγῆναι· κάτω δὲ τῆς εὐσεβείας πεσὼν, ἄνωθεν αὐτῷ ποθὲν καταβιβάζει τὸ σῶμα· ἀλλὰ καὶ τοῦτο πόρρωθεν, ὡς δῆλον, ἡ περιτομὴ τὸ θράσος προαποτέμνεται· καὶ πρὸς τοῦτοις περιτέμνεται, ἵνα τὸ βέβαιον τῆς δοθείσης ἐντολῆς παραξήσῃ· διαμένειν γὰρ αὐτῇ τὸ ἀπαράβατον μέχρι τῆς αὐτοῦ παρουσίας, ἐξ ὧν ὑπηρετήσαλο, μετὰ τοῦ ἀνεπιλήπτου, συγκατασκευάζει· ἐπεὶ ὁ μὴ δεηθεὶς ὅλως περιτομῆς, ὅμως ταύτην ὑπέρ-

χεται. Πάλιν τῶν Ἰουδαίων ὁ δῆμος Φιλαλιώταλος ὢν, καὶ τὰς μὴ ὄσας δεινὸς προφάσεις ἀναπλάττειν, εἰ μὴ τὴν περιτομὴν ὑποσὰς, ἔτως αὐτοῖς τὰ σωτήρια εἰσηγεῖτο· τίνος ἂν ἐκ ἐνόμιζον περιδράττεσθαι δικαιολογίας, διωθέμενοι τὴν διδασκαλίαν, ὅτιπερ ἀπερίτμητον ὄντα καὶ ἐξ αὐτῆς ἑτίας πάντα λύονλα θεσμὸν, πῶς ἐνῆν παραδέχεσθαι σωτῆρα; ἵνα ἓν αὐτῶν ἀναχώρησιν πᾶσαν ἀποκλείσῃ, καὶ τὸ οἰκεῖον ἁμάρτημα, μηδεμίαν ἔχωσι χώραν, εἰς τὸν ἀναίτιον περιτρέπειν, περιτεμνόμενος τὴν ἀκροβυσίαν, συναποτέμνει τῶν ἀχαρίτων πᾶσαν εὐπρόσωπον πιθανολογίαν. Σκόπει δέ μοι κἀκεῖνο· εἰ μὲν μὴ περιτμηθεὶς ἔπαυε τὴν πρᾶξιν, τάχα ἄν τισιν ὁ Δεσπότης, ὡς ἑαυτὸν ἀπαλλάσσων αἰτίας, καὶ τῆς ἰδίας προθέσεως προϊζάμενος, τὴν τῆς περιτομῆς ἀναίρεσιν διὰ τῶν μαθητῶν ὑπενοεῖτο μεθοδεῦσαι· ἐπεὶ δὲ καὶ περιτέμνεται καὶ παύει τὸ ἔργον, καὶ ταύτην προαφαιρεῖται τὴν ὑπόνοιαν τῶν Φιλαιτίων. Σὺ δὲ μηδ' ἐκεῖνο παραδράμῃς· τύπος ἦν καὶ σύμβολον τῷ βαπλίσματος ἡ περιτομὴ· μήπω τοιγαρῦν τῆς ἀληθείας Φανερωθείσης τὸν τύπον ἐπικρατεῖν ἔδει, ἐπισάσης δ' ἐκείνης ταύτην ὑποχωρεῖν· διὸ περιτέμνεται μὲν τὸ κρύφιον τῆς σαρκὸς, ἕπω τῆς ἐν χάριτι περιτομῆς Φανερωθείσης· ἐκείνης δὲ τῷ δεσποτικῷ βαπτίσματι πάντα περιαυγαζέσης, καὶ λαμπρὰν τὴν ἀλήθειαν ὑποδεικνυέσης, τὰ ἐν σκιᾷ καὶ αἰνίγματι παρρησιάζεσθαι τόπον ἐκ εὑρίσκει. Χωρὶς δὲ τῶν εἰρημένων, ἀναμνηθῆναι κἀκεῖ δεήσει, ἐν τῷ σπέρματι τῷ Ἀβραὰμ τὰ ἔθνη πάντα ἐνευλογηθήσεσθαι· ὅρκον καθ' ἑαυτοῦ διδοὺς ὁ Θεὸς τῷ δικαίῳ, ποιεῖται λογάδα πάντων ἐθνῶν τὴν ἐκείνου Φυλήν· καὶ οἱονεὶ σΦραγίζων αὐτὴν διὰ τοῦ Φυλάρχου τῇ περιτομῇ, τήν τε πίστιν ἐπισημαίνεται τοῦ πατριάρχου, καὶ τὸ γένος ἅμα ἐν ἀΦορισμῷ συντηρεῖ. ὁ τοίνυν ὅρκος παραβάσεως ἂν παρεῖχεν αἰτίαν, εὐλογημένων μὲν ἁπάντων ἐθνῶν διὰ μόνου τοῦ κοινοῦ σωτῆρος Χριστοῦ, ἐ Φέροντος δὲ τὸ ἐπίσημον τῆς Ἀβραμιαίας σποράς, ἥτις ἦν ἡ περιτομή. ἵνα ἓν καὶ τῷ Ἀβραὰμ τὸ κεχαρισμένον πέρας ἡ ὑποχεσις ἀπολάβῃ, καὶ τὴν κατὰ τῆς ἀληθείας, ἥ ἐσιν ὁ Θεὸς, ὑπόληψιν τῆς ψευδορκίας διαλύσῃ, (Ἐγὼ γάρ εἰμί, Φησιν, ἡ ἀλήθεια καὶ ἡ ζωὴ,) τέμνεται τὴν σάρκα τῆς ἀκροβυσίας ἐν τῇ τῆς χάριτος ἀπαρχῇ καὶ εἰσαγωγῇ· αὕτη δέ ἐσιν ἡ κλῆσις καὶ ἡ εὐλογία καὶ ἡ υἱοθεσία τῶν ἐθνῶν, τὴν νομικὴν πολιτείαν συμπεριγράΦων καὶ συνεκπληρῶν. καὶ πολλὰ ἄν τις ἕτερα τοιαῦτα καλὰ σχολὴν ἐπιθεωρήσοι, ὧν, ὅ τε τῆς ἐπιστολῆς νόμος καὶ ἡ σὴ σύνεσις (τί γὰρ ἐκ τῶν εἰρημένων ἐκ ἐνῆν καὶ τὰ σεσιγημένα θηρᾶσαι;) ἐπεὶ μὴ ἡδὺ νομίζει, περιττὸν ἐκρίθη ἡ παράθεσις.

ΛΒ. (ρμά.)

Τῷ Ἀμφιλοχίῳ.

Θεὸν οὐδεὶς ἑώρακε πώποτε.

Ἡ καλή σε περὶ τὰ ἕτω σοΦὰ καὶ θεῖα μαθήματα Φιλοπονία καὶ σπουδὴ, ἐκ ἐμὲ μόνον πρὸς ἐπιστροΦὴν αὐτῆς διανί-

διανίσηται, ἀλλὰ καὶ παντί γε, οἶμαι, ὅτῳ μὴ πάνυ τῶν καλῶν ἕτερος ἔρως τὸ φίλτρον ἐκλύων ἀνίεπέσησεν τὸ ἀνέραστον θεάζειν τε καὶ κινεῖν ἐπαίνῳ ἄξια καθίσαλαι. μάλιστά γε ὅτι καὶ τοσαύτας φροντίδας ἐγκεχειρισμένος ἐκ ἐνδίδως, οἷς καθ' ἑκάστην προσοέμενος ἐπαγρυπνεῖς, ἐδὲ πρὸς τὴν τῶν πόνων ἄνεσιν καὶ ψυχαγωγίαν ἀναφορᾶς, ἀλλὰ καὶ ἐπέκεινα τὰς λογισμὰς εἰς τὸ δραστήριόν τε καὶ τὸ τῇ παιρίδι συνοῖσον ἀνίστρέφεις. καὶ τῶν ἔτω θαυμαστῶν καὶ Φιλοσόφων θεωρημάτων τὸ βάθος διερευνώμενος ἐκ ἀνίεις, ἕως ἂν, ὡς οἷόν τε ἐστὶν, εἰς αὐτὴν τῆς ἀληθείας ἀναδραμεῖν σοι περιγένοιλο τὴν κορυφήν. καὶ μακαρίζω τὰς ὁρῶντας ἐπὶ σοὶ ταῦτα καὶ ἀκούοντας. καὶ τότε λαμβάνω συναίθησιν τῆς τῶν ἐχθρῶν ἐπηρείας, καὶ οἵα με καλὰ καὶ ἡδίστα θεάμαλος ὁ Φθόνος ἐξέρησεν, ἐν πολίλεία ὁρᾷν Φιλοσοφίαν χορεύσαν, καὶ τό τε τὴν ἡμετέραν, καὶ ἧς ὁ καρπὸς τὰ ἐράνια. ἡμεῖς μὲν ἓν κατὰ τὰς Αἰγίεας ἔτε τρίτος, ἔτε τελάρτος. εἰς ταύτην γὰρ τὰ ἡμέτερα τὴν λῆξιν. ἐκ οἶδα τὸ Φῦλον, ἐκ οἶδα τὸ ὄστρακον, ἐκ οἶδα εἰ τῷ καθίσκῳ διὰ τὲ κημὲ καθιεμένη ψῆφος, ἐκ οἶδα, ἔ τι ἄλλο. τὸ γὰρ πυθόχρηστον λόγιον ἄλλως τε χαιρέτω, καὶ ὅτι ἐδὲν πρὸς ἡμᾶς, πλὴν ὅτι παραπλήσιόν τι τῶν εἰρημένων, ὡς καὶ αὐτὸς ἂν φαίης, εἰς τὰ νῦν παρόντα τὸν ἡμέτερον βίον περιέστησεν. ἐμὲ μὲν, ὅτε τὸ γράμμα ἦκεν, νόσος ἐμάστιζε χαλεπὴ, μικρὲ μηδ' εἰπεῖν τι πρὸς τὴν αἴτησιν ταῖς ἐπικειμέναις ἀλγηδόσι τὴν ἄδειαν ἐμπαρέχουσα. Ἀλλ' ἔν, ὡς ἐν νόσῳ πιεζόμενος, ἐκεῖνο ἂν φαίην, ὅτι τὰ κατὰ τὴν ἑαυτὲ ὑπερέσιόν τε καὶ ἄληπλον ὐσίαν ἐκ ἀνθρωπίνην μόνον ὄψιν καὶ διάνοιαν ἐκφεύγει, ἀλλὰ καὶ αὐτὰς τὰς ἀνωτάτω καὶ πλησιαζούσας δυνάμεις, αἳ πολλῷ τῷ μέτρῳ ὑπεραινεσήκασι Φύσεως. ὃ κατὰ τὸν παρόντα μόνον καιρὸν, καθ' ὃν τῷ πολυπαθεῖ τέτῳ σαρκίῳ δεδέμεθα, ἀλλὰ καὶ κατὰ τὰς μέλλοίσας αἰῶνας, ὅτε τὰ πολλὰ τῶν αἰνιγμάτων καὶ ἐσόπλρων ἀποσκευασαμένοις, καὶ τὸ ἄφθαρτον ἀντὶ τὲ φθαρτὲ περιβαλλομένοις καθαράτερόν τε καὶ τελειότερον ἐναστράπλει ἡ ἀλήθεια. Τί γὰρ χρὴ λέγειν, ὡς ἔτε Μωσῆς, ὁ εἰς τηλικὲτον ὕψος ἀρετῆς ἀναδραμὼν, ὥστε τά τε ἄλλα τῶν παραδόξων χάριν ἔχων εἶναι αὐτεργὸς καὶ γλώτλῃ γεωργεῖν ὥσπερ ἄρεραν τὸν ἐρανὸν, καὶ τροφὴν αὐτόθεν αὐτοχέδιον πολλαῖς μυριάσι ἐπαρκεῖν· οὔτε Ἠλίας, ᾧ τὲ πυρὸς ἡ Φύσις εἰς ἵππες ἐπιμεριθεῖσα καὶ ἅρμαλα, τὴν πρὸς ἐρανὲς αὐτῷ καθυπηρετήσατο ἄνοδον· ἔτε τῶν θείων καὶ μακαρίων προφητῶν ὁ χορὸς, ἐμενῆν ἐδεὶς ἔχει εἰς κατάληψιν ἐλθεῖν, τίς τε ἐστὶν καὶ ὅπως ἐστὶν ἡ ὑπερφυὴς τε καὶ ἀκήρατος Φύσις θεότητος. Ἀλλὰ γὰρ ὅτι μέν ἐστι καὶ ὑφέστηκεν, εἰς κατάληψιν ἡμῖν ἐχαρίσαλο, εἰ καὶ τοῖς μὲν μᾶλλον ἐπαυγάζει τὴν χάριν, τοῖς δὲ ἐπιδεέστερον, κατὰ τὴν ἀναλογίαν ἑκάστῳ τὲ κατορθώματος. τί ποτε δέ ἐστιν, ἢ ὅπως ποτέ ἐστιν, ἐδενὶ τῶν ἁπάντων ἑαυτὴν ἀπεγύμνωσεν, ἀλλὰ καὶ τῶν εἰρημένων ἁγίων ἔμπροσθεν Μωσῆ ἐπιποθήσαντι τὸ ἀθέατον ἐ δεδώρηται. παραμύθιον δὲ πόθε

τὲ

τῆ ἀτυχήσαντος τῆς σαρκώσεως, καὶ τότε διὰ συμβόλων καὶ τύπων ἐκκαλύπτεται τὸ μυστήριον. τοῖς δὲ ἐν τύποις τε καὶ ὁμοιώμασιν, ὅσα ἐστὶν ἰδεῖν ἀνθρώπῳ δυνατὰ, τὴν οἰκείαν δόξαν τὸ θεῖον ἐνήστραψεν. ὅτι δὲ Θεὸν ἀνθρώπων οὐδεὶς ἑώρακεν, ἔτε δυνήσεται ἰδεῖν, γέμει μὲν τῆς μαρτυρίας τὰ παλαιὰ καὶ ἱερὰ γράμματα, γέμει δὲ ἡ χάρις. καὶ βίβλος ἂν ὁλόκληρος εἴη ἡ τῶν ἐπιμαρτυρομένων λογίων τὴν γνῶσιν παράθεσις. Καὶ μὴν καὶ ὁ τῶν τῆ θείᾳ ῥημάτων Παύλᾳ μύστης καὶ κατήκοος, ὁ ῥήτωρ μὲν τὰς λόγους, Φιλόσοφος δὲ τὰ νοήματα, μᾶλλον δὲ καὶ ὁ τῆ νῆ καὶ τῆς γλώσσης τὴν ἄνωθεν ἀποσάζων χάριν, καὶ τῆς θείας ἡμῖν σοφίας ἀναβλύζων τὴν ἄβυσσον, ἔτος ἦν ὁ μέγας Διονύσιος λαμπρῶς τε καὶ δριμέως μετέρχεται τὸ, μηδαμῆ τὸ θεῖον, τί ποτέ ἐστιν, μηδέποτε ἀνθρωπίναις ὑποβάλλεσθαι καταλήψεσιν. καὶ δὴ καὶ τῆ μεγάλᾳ τῆς εὐσεβείας ἀγωνιστῆ, ὃς βίον τὰς ἄθλας ἠνέγκαλο, τὸν θεσπέσιον Φημι Ἀθανάσιον, πολλὰς ἔστι λαβεῖν τὰς ῥήσεις, αἳ τὸ θεῖον χωρὶς τινος παραπετάσματος καὶ προβλήματος ἢ ὁμοιώματος ἁπλοῦν παντελῶς, ὅσα γε εἰς ἐσίαν καὶ Φύσιν, τῷ ἀνθρωπίνῳ γένει ἀνακηρύττεσι. τὴν δὲ τῆς ἐκκλησίας βασίλειον στολὴν, τὸν θαυμαστὸν καὶ μέγαν Βασίλειον, τὸν ἄριστόν τε ἅμα καὶ ἥδιστον τῶν ψυχῶν ἰατρὸν, τίς ἐκ οἶδεν, ὅτι περ κατὰ τῆς Εὐνομίᾳ λύσσης κιρνῶν τὸ Φάρμακον, ὡς ἕν τι τῶν Παιωνίων ἀλεξημάτων, καὶ τῦτο δὴ τῦτο τὸ τῆς θείας καὶ ἀῤῥήτε Φύσεως ἁπλοῦν τε καὶ ἀνεπινόητον παρεσήσαλο; Καὶ μὴν καὶ τῷ ἀπὸ τῆς θειότητος τῶν λόγων μᾶλλον ἢ διὰ τῆς κλήσεως κληρωσαμένῳ τὸ χαρακτηρίζεσθαι τὸν Θεολόγον, οἶδα Γρηγόριον ὡς ἐνόησας, λόγοις ὅτι μάλισα πυκνοῖς τε καὶ δριμέσι τοῖς ἐνθυμήμασι ἰχνηλατῆσι τὴν ἀλήθειαν, περὶ ταύτης ἀναγέγραπται τῆς ὑποθέσεως. ἀλλά γε δὴ καὶ τῷ ῥήτορι τῆς ἐκκλησίας, μᾶλλον δὲ τῷ μετὰ Παῦλον τὴν περίγειον πᾶσαν τοῖς τῆ κηρύγματος λόγοις καὶ τῆς ἄλλης παιδαγωγίας πολίσαντι, καὶ τέτῳ δὴ τέτῳ, ἧ τὸ στόμα οἱ λόγοι χρυσῆν τῷ κόσμῳ ἐγνώρισαν, λόγος ῥέων πολὺ μετὰ τὸν ἀληθείας τὸ πειθήνιον, ὃς ὁ περὶ ἀκαταλήπλε ἐπιγράΦεται, ἐδὲν ἕτερον μᾶλλον, ἢ τὸ προκείμενον σπεδάζει καὶ ἀποδείκνυσιν. Καὶ μυρίας ἄλλας τῶν θείων ἡμῶν πατέρων εὕροι ἄν τις κατὰ χολὴν, ὁμογνώμονα τοῖς εἰρημένοις τὴν ψῆΦον ἐξάγοντας, ἃς εἰ μὴ τὸ πικρὸν τῆς νόσε τὴν ὀδύνην ἐπέτεινεν, τάχα ἂν καὶ αὐταῖς λέξεσι τὴν γνώμην παρεῖχον δεικνύοντας. Πλὴν ἀλλὰ σοί γε ῥᾴδιον, ὑπόμνησιν λαβόντι τῶν τε εἰρημένων καὶ τῶν ἔτι λειπομένων, τὰς μαρτυρίας εἰς ἓν ἀθροισάμενον τὴν ἐκ πάντων συμΦωνίαν θαυμασίαν οἵαν θεάσασθαι. ἡμῖν δ' ἀρκεῖ τὰ νῦν καὶ τῶν ἀσωμάτων μόνον ἡ Φωνὴ παρατεθεῖσα, ἣν ἐπειδὴ τῶν ἀποσόλων ὁ χορὸς τὸν κοινὸν Δεσπότην καὶ Θεὸν ἡμῶν μετὰ τῆ προσλήμματος ἀναλαμβανόμενον βλέποντες, κατεπλήττοντο καὶ ἐτεθήπεσαν, διαῤῥήδην ἀπεΦήναντο πρὸς αὐτές· Τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν ἐρανόν; ἔτος ὁ Ἰησῆς ὁ ἀναληΦθεὶς ἀΦ' ὑμῶν, ἔτος ἐλεύσεται, ὃν τρόπον

τρόπον ἐθεάσαθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. ἐπορεύετο δὴ δηλονότι τοῖς πατρικοῖς καὶ μετὰ τῦ προσλήμψεσθαι κόλποις, ὥσπερ καὶ πρότερον ἐπὶ γῆς ὡρᾶτο πρόβλημα φέρων τὴν σάρκα, καὶ τὴν ἀνθρώπε μορφὴν περικείμενος. Οὐκοῦν καὶ εἰς αὖθις κατὰ τὴν ἰδέαν τε καὶ φύσιν ἐμφανισθήσεσθαι, εἰς γνῶσίν τε καὶ κατάληψιν ἀφικέσθαι τὸν κοινὸν δεσπότην ὁ ἱερὸς χρησμὸς ἐβεβαίωσεν. Καὶ τότε ὄρα μοι, τίσιν; ἃ γὰρ τοῖς τυχοῦσιν, ἐφ' ὅσοι μικρῷ τῷ μέτρῳ τῶν ἄλλων ἀνθρώπων εἰς ἐπίνοιάν τε θείαν καὶ θεωρίας ὕψος καὶ ταῖς ἄλλαις ἀρεταῖς ὑπερανέχυσιν, ἀλλ' αὐτοῖς ἐκείνοις, οἳ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται τῦ Λόγυ γεγενῆσθαι συμπάσης τῆς ἀνθρωπίνης Φύσεως ὑπ' αὐτῦ τῦ πλάστυ προεκρίθησαν. Σὺ δέ μοι τά τε ἄλλα ἐρώσο, καὶ ψυχὴν καὶ σῶμα Θεῷ καθαρὸν συνήρων ἕης, τῦ βίυ τὰ κύματα ἱλαρὸν πνεύσαις αὔραις διαπερῶν, καὶ τῆς ἐκεῖθεν ἅλμης ὑπερνηχόμενος.

ΛΓ. (ρμβ'.)

Τί δηλοῖ τὸ ἀποστολικὸν ῥητὸν, τὸ, πάντοτε καὶ νῦν δοξασθήσεται Χριστὸς ἐν τῷ σώματί μυ, κ. ἑ.

Ἡ τῦ ῥήτορος τῆς ἀληθείας φωνὴ, ἡ, ὡς πάντοτε καὶ νῦν δοξασθήσεται Χριστὸς ἐν τῷ σώματί μυ, εἴτε διὰ ζωῆς, εἴτε διὰ θανάτυ, πόθυ μὲν αὐτὴ προχεῖται σεβασμίυ τε καὶ ἱερῦ, ἐλπίδι δὲ βέβηκεν Φύσιν ἀγνοήσυ θνητὴν. τοιαύτην δὲ τὴν διάνοιαν ὑποδηλοῖ· πάντοτε ὁ Χριστὸς ἐν τῷ σώματι Παύλυ ἐμεγαλύνετο, καὶ ὅτε δεσμοῖς αὐτὸν καὶ μάστιξι ἐνελαυνοπωρεῖσθαι συνεχώρει, καὶ θανάτυ πρὸ πυλῶν ἐρρίφθαι, καὶ ὅτε ἐξεῖλκε αὐτὸν καὶ ἀνήρπαζεν ἐκ μέσων τῶν ἀνιαρῶν. οἷς μὲν γὰρ ἐναθλεῖν ἠφίελο, καὶ τοῖς εἰς θάνατον ἄγυσι συνεπλέκελο πειρασμοῖς, ἐβεβαιῦτο καὶ ἐκρατύνελο τῆς εὐσεβείας τὸ κήρυγμα· λογιζομένων τῶν ὁρώντων τὰ Παύλυ δεσμὰ καὶ τὰς θλίψεις, καὶ τὴν ἐν αὐτοῖς ὑπομονὴν ἐκπληττομένων, καὶ τῷ θαύματι πρὸς ἐπιστροφὴν διανισαμένων, ὡς εἰ μὴ θεῖόν τι καὶ παναληθὲς τὸ παρ' αὐτῦ κηρυσσόμενον καθεστήκει, ἐκ ἂν ἑαυτὸν μυρίοις χαίρων καὶ ἀφορήτοις ἐδίδε κακοῖς, ἑνὸν παυσάμενον ἀπαλλάττεσθαι τῶν ἀλγεινῶν καὶ μὴ θάνατον εἰς ἀγῶνα καλεῖν. Ἐμεγαλύνελο τοίνυν εἰκότως διὰ τέτων ὁ Χριστὸς, τῦ κηρύγματος εἰς βεβαίωσιν τοῖς πολλοῖς ἀφικνυμένυ, καὶ ταῖς τῶν ἀνθρώπων ἐμπλαίυνομένυ ψυχαῖς. Πάλιν δὲ, ἡνίκα ἐξεῖλκεν αὐτὸν καὶ ἀνήρπαζεν κινδύνων ὀλεθρίων, αὐτόθεν ἐμεγαλύνετο. Οὐδὲ γάρ τινος ἀνθρωπίνης ἦν ἐπινοίας, ἐκ μέσυ χειρὸς φονώσης καὶ τῦ αἵματος δυσώντων κακῶν ἀπαθῆ πολλάκις ἀπολύεσθαι τὸν ἀγωνιστὴν, ἀλλὰ θεία τις καὶ ὑπὲρ ἄνθρωπον χάρις ἦν, ἡ παρ' ἐλπίδας τὸν θεράποντα ῥυομένη καὶ διαλύσα τὰ δεινά. πῶς ἐλύελο τὰ δεσμά; πῶς ἐξέπιπλον αἱ ἅλύσεις; τὸ φῶς τίς ὑφῆπλεν τῷ οἰκήματι; πῶς περιήστραπλεν ὅλον τῇ αὐγλῃ πληρῶν, μηδεμιᾶς ὕλης ὑπηρετυμένης τῇ Φλογί; πόθεν μόνον καλεσείετο τὸ δεσμωτήριον; πῶς ἀνεώγνυντο αἱ θύραι; πῶς ἐκεῖνα τὰ μυρία καὶ παράδοξα ἐγεγόνει, εἰ μὴ τῆς πάντα κρατύσης ἡ δύνα-

μις ἐπεδείκνυτο χειρός. Δι' ἀμφοῖν ἦν ὁ Χριστὸς ἐν τῷ σώματι Παύλου ἐμεγαλύνετο, ταῖς τε πικραῖς καὶ θανατηφόροις βασάνοις ἐγκαρτερῶντος τῷ κήρυκος, καὶ δι' ὧν ὑπερφυῶς ταῖς τῶν ἐπιβουλευόντων μιαιφονίαις καὶ παρὰ δόξαν ἀνάλωτον ἐτίθη καὶ ἀπεδείκνυεν τὸν ἀγωνιστήν. Οὕτως ἦν καὶ διὰ τῆς ζωῆς, τελοῦσι τῶν ζωοποιούντων καὶ διασωζόντων, καὶ διὰ τῶν θανάτου παραυτίων πληγῶν καὶ βασάνων, ἡ τῆς σοφίας καὶ δυνάμεως πηγὴ Χριστὸς ὁ Θεὸς ἡμῶν ἐν τῷ Παύλου σώματι ἐμεγαλύνετο. Οὐδὲν δὲ κωλύει τὰ τοῦ διδασκάλου ῥήματα καὶ πρόῤῥησιν ὑπογράφειν. Ἐπεὶ γὰρ δεύτερον τῷ Νέρωνος βήματι παρέστη, καὶ τὴν μὲν πρώτην ἀπελογησάμενος ἠφείθη, τὸ δεύτερον δὲ, πρὸς πάντας τῆς Νέρωνος ὠμότητος ἀχέτῳ ῥύμῃ φερομένης, ξίφει τὸν βίον ἀπολιμπάνει, τοῦτο νῦν ἂν εἴη λέγων, ὅτι μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου, εἴτε διὰ ζωῆς, ὥσπερ νῦν ἐκ χειρὸς παλαμναίας καὶ φονώσης ἀφαρπάζων με, εἴτε διὰ θανάτου, ὡς ὕστερον ἔσαι, μηδὲ τῷ κεφαλαίῳ τῶν ἄθλων ἀποστερῶντός με τοῦ ἀγωνοθέτου. Ἔδει γὰρ, ὡς ἔοικεν, μὴ προαποκαμεῖν τὸν ἀθλητὴν, μηδὲ τὸν ὑπὲρ ἄνθρωπον δρόμον κοινῷ τῆς φύσεως διακοπῆναι θανάτῳ, ἀλλὰ καὶ αὐτὴν τὴν πρὸς τὸ ποθούμενον ἔξοδον ἄθλον εἶναι καὶ ἀγώνισμα κρείττω φύσεως γηγενοῦς. Τοῦτο δὴ ἦν τοῦτο ὁ μὴ ζῶν ἑαυτῷ, ἀλλὰ τῷ Χριστῷ, ὁ τοῖς πᾶσι πάντα καὶ γινόμενος καὶ ὤν, προϋποφαίνει, καὶ προαναδιδάσκει τοὺς μαθητὰς, ἵνα μὴ μετὰ ταῦτα (μέγα γὰρ ἦν ὡς ἀληθῶς καὶ πρώτη μετὰ Θεὸν σωτηρία ἡ Παύλου ζωὴ τοῦ πάθους ἀθρόον διαδοθέντος,) θόρυβός τις καὶ τάραχος τῷ ἀνελπίστῳ τὰς ψυχὰς αὐτῶν διασείσῃ, καὶ εἰς ἀμήχανον ἀθυμίαν ἐμβαλὼν πᾶσαν αὐτοῖς ἐλπίδα συγκαταῤῥέψῃ, καὶ πρὸς τὴν εὐσέβειαν κατασήσῃ σκηνάς. Ἔστι δὲ καὶ ἕτερον τῶν ῥημάτων θηράσαι σκοπὸν, εἰ μή τι ἄλλο, ἀλλ' ἦν παρὰ πόδα τέως ὑπάρχοντα τῷ ῥητῷ. Τίς ἦν ὅτος; ὡς πάντοτέ, φησιν, ἐν ὅλῳ τῷ τοῦ βίου διαῤῥήματι ἐμεγαλύνετο ὁ Χριστὸς ἐν τῷ τοῦ Παύλου σώματι, πάσχοντος μὲν ἀνδρείως, καὶ κρεῖττον ἢ κατὰ βίον φιλοῦντος τὸ ζῆν, ἀπαλλασσομένου δὲ ξένον ἀκοῦσαι καὶ πίστεως μεῖζον θνητῆς· ὅτω καὶ νῦν μεγαλυνθήσεται καὶ ἐν αὐτῷ τῶν ἀγωνισμάτων τῷ τέλει. μεγαλυνθήσεται δὲ ἔκ τε τοῦ μὴ παθεῖν τὸν ὑπασπιστὴν ὁμοίως καὶ ἐκ τοῦ παθεῖν. ἦκον γὰρ ὁ γενναῖος ὅτος ἐπ' αὐτὸ τὸ τελευταῖον ῥάδιον τῶν ἄθλων, ἀφίεται μὲν τὰ πρῶτα τοῦ θανάτου καὶ τῆς σφαγῆς, λέγω ἀληθείας καὶ γνώμης θεοσεβοῦς διαλυσάμενος τὰς αἰτίας, μᾶλλον δὲ τῆς παντοκράτορος φιλοτιμησαμένης ἐνταῦθα δεξιᾶς, καὶ δηλονότι ἐμεγαλύνετο ἐν τῷ Παύλου σώματι ὁ Χριστός. πάλιν δὲ τὸ δεύτερον· ἐ γὰρ ἔδει τὸ περὶ τὸν Παῦλον θαῦμα φιλοτιμίας μόνον ὁρᾶσθαι δεσποτικῆς, ἔδει δὲ ἄρα καὶ τὰ ἐκείνου ἐναῤῥάψαι λαμπρότερον. λοιπὸν ὁμόσε πρὸς πάντα διὰ τὸ κήρυγμα χωρεῖ, καὶ αὐτοῦ τοῦ ξίφους καὶ αὐτῆς τῆς σφαγῆς ὑπερορῶν, καὶ μόνον ἕνα διώκων σκοπὸν, πάντα δεύτερα τῆς ἀληθείας ἐλέγχειν, καὶ πρὸς τὸν κηρυττόμενον ῥεόμενον τοῦ αἵμα-

αἵματος ἀπελθεῖν, δι' ὃ δηλονότι πάλιν ἐμεγαλύνετο ὁ Χριστός.

ΛΔ. (ρμγ'.)

Τίνα ἦν τὰ ὑστερήματα τῶ Χριστῶ, ἅπερ ὁ Παῦλος ἐπλήρωσεν;

Τῶν ἀποστολικῶν ῥημάτων ἡ προτεθεῖσα περικοπὴ διπλῆν ἐκφέρεται διανοίας ὁδόν. οἱ μὲν τὸ ὑστέρημα λαβόντες ἅτως ἁπλῶς, ὡς τὸ πρόχειρον ὑποβάλλει τῆς φωνῆς, φασὶ τὸν θεσπέσιον εἰρηκέναι Παῦλον, ὅτι τὰ ὑστερήματα τῶν θλίψεων τῶ Χριστῶ ἐν τῇ σαρκί μὲ ἀνταναπληρῶ· καὶ βέλεσθαι δηλῶν, ὡς, εἴ τι ἐνέλιπε Χριστὸς τῶ παθεῖν, ἐγὼ ἐν τῷ σώματί μὲ ἀνταναπληρῶ. καὶ συνεπιχύσαντες τὴν διάνοιαν ταύτην, ὥσπερ, φασὶ, δέδοται τοῖς ἀποστόλοις μείζονα τελεῖν ἢ κατὰ Χριστὸν σημεῖα· καὶ πάλιν, ὥσπερ αὐτὸς ὁ Παῦλος ὁρᾶται τῶν δεσποτικῶν ἐντολῶν ὑψηλότερόν τι διαπραττόμενος, ἐξὸν γὰρ αὐτῷ ἐκ τῶ εὐαγγελίῳ τρέφεσθαι ἐκ ἐτρέφετο, καὶ τοιαῦτα ἕτερά τινα· ἅτω καὶ τὰ ὑστερήματα τῶ Δεσπότῃ τῷ οἰκείῳ ἀνεπλήρωσε σώματι. ἀλλ' ἅτω μὲν τεθεωρήκασιν ἔνιοι. οἱ δὲ αὐτόθεν βαρὺ νομίζουσι τὸ σεσῆσαί τινος τὸν Χριστὸν ἐν τῷ παθεῖν. τί γὰρ ὤφελεν, τί δ' ἐχ ὑπέσῃ ἐπηρεαζόμενος, χλευαζόμενος, ἐπιβλὰς φέρων, ἐνέδρας, ὕβρεις, ὀνείδη, οἴκοθεν, ἔξωθεν, καὶ τὸ τελευταῖον, σαυρὸν καὶ κακοῦργων θάνατον; ὁ δὴ ταῦτα παθὼν, καίτοι ῥᾴδιον ἔχων τὸ φυγεῖν, καὶ πάντα προῖκα καὶ δωρεὰν δι' ἡμᾶς, πῶς ὑστερῆσαι λέγοιτ' ἂν τινος, ἢ παραλιπεῖν ὅλως, ὧν ἔδει παθεῖν; Τὸ δὲ δύναμιν λαβεῖν μείζονα τέρατα τελεῖν, εἰ μὴ Χριστὸς αὐτὸς ἦν ὁ τῆς δυνάμεως χορηγὸς, ὁ τὴν εἰρημένην μόνην διάνοιαν περιθάλψοι ἄν, ἀλλὰ καὶ ἀτοπωτέραν πολλῷ δυσφημίαν ἀναῤῥιπίσοι ἄν, ἧς ἡ φυὴ (ῥίζης γὰρ ἐκφύσεται τῆς αὐτῆς) πρὸς τὴν ἠγησαμένην ἀναφέρεσθαι δικαία ἐστίν· καὶ ἐχὶ τῶν λαμβανόντων τὸ θαῦμα, ἀλλ' ἡ τῶ χορηγοῦντος χάρις τῶ θαυμάζεσθαι τὴν ὑπερβολὴν ἔχει. ὅτι δὲ ἐκ τῶ εὐαγγελίῳ ἐξὸν τρέφεσθαι ἐκ ἐτρέφετο, ἔργον μὲν ἐπαινετὸν καὶ μακάριον· ἵνα γὰρ μὴ λαβὴν δῷ τοῖς ζητοῦσιν αἰτίαν εὑρεῖν, τῆς ἐξουσίας ἀφίσατο· Δεσπότῃ δὲ καὶ ταῦτα περιφερόμενος ἐντολῇ, δι' ἧς, κἂν νόμῳ καὶ φύσει πολλὰ τῶ πράττειν ἐλεύθεροι ἐσμεν, τὸ τοῖς πλησίον σκάνδαλον ἀντιπαραθεὶς ἔργῳ πρὸ τρέφεσθαι τῆς ἐξουσίας ἄγειν σχολήν· ἵνα γὰρ μὴ σκανδαλίσωμεν αὐτοὺς, φησὶν, πορευθεὶς εἰς θάλασσαν, βάλε ἄγκιστρον, καὶ τὸν ἀναβαίνοντα πρῶτον ἰχθὺν ἆρον, καὶ ἀνοίξας τὸ στόμα αὐτῶ εὑρήσεις στατῆρα· ἐκεῖνον λαβὼν, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ. ἀλλ' ἐπαινετὴ μὲν ἡ Παύλου πρᾶξις· πῶς γὰρ οὔ; ᾠδὴν δ' ἐχέγγυον παρεχομένη πρὸς τὸ ὑστερῆσαί τι τὸν Χριστόν. διὰ γὲν τὰς εἰρημένας λογισμὰς ἐκ ἀγαπῶντες ἔνιοι τὸ ῥηθὲν, εἰς ἑτέραν δόξαν ἄγουσι τὸ ῥητὸν, καὶ τὸ ὑστέρημα λέγουσι νυνὶ τοιοῦτον ἀναπτύσσειν τὸ σημαινόμενον. τρεῖς εἰσι τῶν πραττομένων αἱ πράξεις· τὰ μὲν γὰρ αὐτῶν ἐστι μείζω, τὰ δὲ μέσα, τὰ δὲ τὴν ὑσάτην ἀπειληφε χώραν. Τὸ γὲν εἰπεῖν τὸν θεσπέσιον Παῦλον, ὅτι τὰ ὑστερήματα τῶν θλίψεων τῶ Χριστῶ ἐν τῇ σαρκί μὲ ἀναπληρῶ, σημαίνειν

Φασὶ, ὅτι τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ καὶ τὴν ἐχάτην ἐπέχοντα χώραν, ταῦτα ἐγὼ ἐν τῷ σώματί μου ἀναπληρῶ. τελέσι· τὰ ἐμὰ πάθη τοσοῦτον ἀπέχει τοῦ παραβάλλεσθαι τοῖς Χριστοῦ, ὥστε ὑ μόνον τὴν πρὸς τὰ μείζω σύγκρισιν ὑ τολμῶ, ἀλλ' ὐδὲ τοῖς μέσοις συντάττεσθαι, τοῖς ὑσάτοις δὲ καὶ τελευταίοις ἀγαπητόν ἐμοι τὸ συνεξετάζεσθαι. ὅσον γὰρ ἂν ἀνθρώπου Φύσις ὑπὲρ Χριστοῦ πράξῃ καὶ πάθῃ, ὐδέν ἐσιν ἀνιάξιον, ὐδ' ἐγγὺς, ὧν αὐτὸς ὑπὲρ ἡμῶν ἔπαθεν. Πολλὰ δ' ἂν εἴη, φασὶν, τῇ τοιαύτῃ συναδοῦλα θεωρία. Ἐγὼ γάρ εἰμι ὁ ἐλάχισος τῶν ἀποσόλων, καὶ ὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόσολος. καὶ, διώκω, εἰ καὶ καταλάβω. καὶ ὁ τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέρων, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι αὐτοῦ φανερωθῇ, πῶς τοῦ πάντα πρεῖκα καὶ δωρεὰν πράξαντος καὶ παθόντος ὑστέρημα λέγοιτ' ἂν ἀναπληρῶσαι; καὶ πολλὰ τοιαῦτα. Καὶ λίαν μὲν ἦν ἁρμοζόμενον τὸ τῆς δευτέρας διανοίας εἶδος, εἰ μὴ πολλαχοῦ τὸ ὑστέρημα ἔν τε τῇ παλαιᾷ καὶ τῇ νέᾳ Φερόμενον γραφῇ. μή τινος γάρ, Φησιν, ὑστερήσατε; καὶ, ὐκ ἔσιν ὑστέρημα τοῖς Φοβεμένοις αὐτόν. καὶ, λογίζομαι γὰρ μηδὲν ὑστερηκέναι. καὶ, ὑστερηθεὶς ὑ κατενάρκησα ἑδενός, τὸ γὰρ ὑστέρημά μου προσανεπλήρωσαν οἱ ἀδελφοί. καὶ ἐν πλείοσιν ἄλλοις τῆς Φωνῆς εὑρισκομένης ὐκ ἔσι ῥᾴον λαβεῖν τὴν τοιαύτην διάνοιαν δι' αὐτῆς ἀναπτυσσομένην, ἀλλ' ὥσπερ προείληπται. Οὕτω καθορῶμεν τῷ ἔθει τῆς γραφῆς τὸ ὑστέρημα τὴν χρείαν παρεχόμενον τοῦ σημαινομένου ἑκατέρας ἓν τῶν εἰρημένων ἐπιδιαζομένης ἐννοίας εἰς τὸ ἀσασίασον ἂν καὶ τρίτη δι' αὐτῶν προκύψασα, καὶ τὰς ἑκατέρωθεν λαβὰς μέθοδον ἐκεῖθεν συνευπορήσασα διαΦυγεῖν, τοιαύτη τις ἂν εἴη. Δεῖ δὲ τῷ μὲν ὑστερήματι ὡς ἔθος χρῆσθαι τὸ γράμμα τὸ ἱερὸν, καὶ μηδὲν περὶ τὴν λέξιν καινοτομεῖν. ἀνταναπληρώσει δὲ πῶς ὁ Παῦλος ἐν τῷ σώματι αὐτοῦ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ; τοῦτό μοι συνδιασκόπει λοιπόν· ὐχ ὅσα Χριστὸς ὀΦείλων παθεῖν ἐχ ὑπήνεγκεν ἐμενεῦν; ὐδὲ γάρ τι ὅλως ὑστέρησεν, ἀλλὰ καὶ ὑπερεπλέοναsεν ἡ χάρις αὐτοῦ εἰς ἡμᾶς. ποῖα ἓν ὑστερήματα ἀνταναπληροῖ; ὅσα, εἴτ' ἔτι τῷ ἀνθρώπῳ βίῳ ἐπεδήμει ὁ Σωτὴρ καθ' ὃν καιρὸν ὁ Παῦλος ἐκήρυξεν, ἔπαθεν ἂν διδάσκων, καὶ διὰ τῆς παρουσίας ἔτι τοῦ πλάσματος προνοούμενος, ἐκεῖνα νῦν πάσχων ὁ Παῦλος ἀνταναπληροῖ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ. τοῦτο γὰρ μᾶλλον ἐγγύτερον καὶ τῇ τοῦ ῥήματος ἐμΦάσει. ὃ γὰρ ἁπλῶς Φησιν ἀναπληρῶ, ἀλλ' ἀνταναπληρῶ, τουτέσιν, ἀντὶ Δεσπότου καὶ διδασκάλου ὁ δοῦλος ἐγὼ καὶ μαθητὴς τὴν ἐκείνου διακονίαν ὑπελθὼν, καὶ τὰ ὑστερήματα τῶν θλίψεων αὐτοῦ ἀνταναπληρῶ. εἰ γὰρ ἂν ἐκεῖνος ὑπέση, μὴ παραθέμενός μοι τὴν διακονίαν, ἐπεὶ παρέλαβον ταύτην, εἰκότως καὶ τὰ ὑστερήματα τῶν θλίψεων αὐτοῦ ἐν τῷ σώματί μου ἀνταναπληρῶ. Ὅτι δὲ διάδοχοι τῆς δεσποτικῆς διακονίας κατέσησαν οἱ μαθηταὶ, καὶ ἀλλαχόθεν μέν ἐσιν ὐ χαλεπὸν συνιδεῖν, ἀρκέσει δὲ καὶνταῦθα Παῦλος ἑαυτῷ. Τὰ γὰρ πάντα, Φησὶν, ἐκ τοῦ Θεοῦ, τοῦ καταλ-

καταλλάξαντος ἡμᾶς ἑαυτῷ διὰ Ἰησοῦ Χριστοῦ, καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς. καὶ, ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, δεόμενοι ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ. Ὥσπερ ἓν τὸν τῆς καταλλαγῆς λόγον ἐκληρώσαντο οἱ μαθηταὶ, καὶ πρεσβεύσιν ὑπὲρ Χριστοῦ, ἕτω καὶ, ἅπερ ἐμελλεν πάσχειν, ἔτι τὴν διακονίαν αὐτὸς ἐκπληροῖ, αὐτοὶ ταῦτα ἐν τῷ σώματι αὐτῶν εἰκότως ἀνταναπληροῦσιν. καὶ τέτων μάλιστα Παῦλος, ὃς θαῤῥῶν τοῖς ἔργοις λέγει, ἐδενὸς τῶν ὑπερλίαν ἀποστόλων ὑστέρησα. Καὶ σκόπει, ὅπως ἡ τῆς θεωρίας ταύτης ἐπιβολὴ ἐδὲν προϋπέχετο κομψόν. τό, τε γὰρ ὑστέρημα ἐκ ἐκδιάζεται, ἀλλ' εἰς τὸ ἔθος ἀνῆκε φέρεσθαι τῆς γραφῆς. καὶ τὰ ὑστερήματα ὁ Παῦλος ἀναπληροῖ, ἐχ ὅσα ἁπλῶς ὑστέρησεν, ἐδ' ὅτι ὑστέρησέν τι ὁ Σωτὴρ, ὅπερ ἦν Φορτικόν· ἀλλ' ὅσα μὴ παραθέμενος τὴν διακονίαν Παύλῳ, καὶ τοῖς ἄλλοις ὁμιλήσας, ἔπαθεν ἂν καὶ ὑπέσχε, καθ' ὃν τρόπον καὶ πρὶν κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τῶν ἐρανῶν. Ἀλλ' ἐμοὶ μὲν ὅσον ἀφοσιώσασθαί σε τὴν καλὴν Φιλοπονίαν εἰρήθω ταῦτα. Εἰ δέ τις καὶ ὀψιγόνων ἄμεινόν τι θεωροῖ, ἐμοὶ δὲ ἄρα καὶ τοῦτο φίλον.

ΛΕ. (ρμδ'.)

Οὐκ ἔστιν ἡμῖν πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τὸς κοσμοκράτορας τοῦ κόσμου τέτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.

Ἀρχὰς καὶ ἐξουσίας ἐκάλησεν τὰ ἐναέρια καὶ πονηρὰ πνεύματα, ἐχ ὡς ἀρχὴν ἡμῶν ἢ ἐξουσίαν τινὰ οἰκοθεν ἢ ἄνωθεν ἐχηκότων, ἀλλ ὡς ταῖς ἁμαρτίαις ἑαυτὸς ἡμῶν ἐκδεδωκότων, ὧν εἰσιν οἱ δαίμονες ὑποσπορεῖς τε καὶ ὑποφῆται, ἐκείνων τὴν ἀρχὴν καὶ τὴν ἐξουσίαν, δι' ὧν πράττομεν τὰ αὐτῶν θελήματα, παρεχημένων. Καὶ γάρ φησιν ὁ αὐτὸς ἱερὸς ἄνθρωπος· ᾧ γάρ τις ἥτηται, τέτῳ καὶ δεδέλωται. ἡττώμενοι γὰν τοῖς ἐκείνων ἐρεθισμοῖς καὶ ὑποθήκαις, καὶ, πρὸς ἃ βέλονται τῆς ἁμαρτίας ἔργα, φερόμενοι, εἰκότως ἂν αὐτὸς ἀρχοντας καὶ ἐξουσιαστὰς τῶν ἐν ἡμῖν ἐκεῖθεν φυομένων παθῶν καθιστῶμεν, ἅτε δὴ τῆς μὲν ἐλευθερίας τοῦ παναγίε Πνεύματος καὶ τὸ τῆς αὐτεξουσιότητος ἀφῃρημένοι κύριον, εἰς δέλες δὲ ἑαυτὸς καὶ ὑπευθύνες τῆς ἁμαρτίας γραψάμενοι. Διὰ τοῦτο ἐχ ἁπλῶς τὰ τῆς πονηρίας πνεύματα τὰς ἀρχὰς καὶ ἐξουσίας καλεῖ, ἀλλὰ τὸς κοσμοκράτορας καὶ τοῦ κόσμε τέτε. κόσμον ἐνταῦθα, ὡς ἔθος τῇ γραφῇ, ὃ τὸ δημιέργημα τὸ ἐξ ἐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ προαχθὲν, ἅπαγε· ἀλλὰ κόσμον τὸς τὰ κοσμικὰ φρονήματα καὶ σαρκικὰ ἐπανηρημένος, καὶ πρὸς τὰ τὰς αἰσθήσεις θέλγοντά τε καὶ ἐκθηλύνοντα ἐπλοημένος, καθ' ὃ σημαινόμενον καὶ ὁ Σωτὴρ ἔλεγε περὶ τῶν μαθητῶν, ὅτι ἐκ εἰσὶν ἐκ τοῦ κόσμε. Εὔδηλον μὲν γὰρ, ὅτι καὶ ἦτοι ἐκ τοῦ δημιεργήματος ἦσαν, ὥσπερ καὶ σύμπαν τὸ ἀνθρώπινον γένος· ἀλλ' ἐκ ἦσαν, φησὶν, ἐκ τοῦ κόσμε, τετέσιν, ἐκ ἦσαν ἐκ τῶν ἐπτοημένων πρὸς τὰ φθαρτὰ καὶ ἐπίκηρα τῆς κο-

σμικῆς ματαιότητος καὶ ἀπάτης. Τὸ δὲ ἐν τοῖς ἐπουρανίοις τινὲς μὲν τὸ πρόχειρον τῷ Φιλανθρώπῳ προτιμήσαντες, μεταπλάττοντες τὴν τῆς λέξεως ἀρχήν, οὐκ ἐπουρανίοις, ἀλλ' ὑπουρανίοις ἐξακούσιν, οὐχ ὅτως τῆς ἱερᾶς ἡμῶν γραφῆς ἐχούσης, καὶ φασὶ τὰ δαιμόνια καλεῖσθαι ὑπουράνια. καὶ γὰρ κἂν τε περὶ ἀέρα, κἂν τε περὶ γῆν αὐτῶν ἡ διατριβὴ, εὐδὲν ἧττον ἂν ὑπουράνια ῥηθείη. ἀλλὰ τέτων μὲν κἂν ἡ διάνοια ἐκ ἀσεβὴς, ὅμως ὁ μεταπλασμὸς οὐκ εὐσεβής. Οὐ δεῖ γὰρ ὐδ' ὅλως, ὐδ' ἐφ' ἑνὶ γράμματι, παραχαράττειν τὰς λέξεις τὰς ἱερὰς, μάλιστά γε ὅτι καὶ τῆς ἀπαραχαράκτε λέξεως ἐχούσης, ὡς ἔφην, ἀνεμποδίστως ἡ τῶ ῥητῶ πρόεισι διάνοια. Καὶ γὰρ ἐπουράνια καὶ τὰ ἐντὸς τῶ ἐρανῶ εἴωθεν καλεῖσθαι, οἷον ὁ ἀὴρ καὶ ἐδὲν κωλύει, τὰ ἐν αὐτῷ διατριβοντα, τετέστι τὰ πνευματικὰ τῆς πονηρίας δαιμόνια, ἀπὸ τῆς ἐν αὐτῷ διατριβῆς ὅτως ὀνομάζεθαι. πνευματικὰ δὲ εἴρηται, ὅτι σαρκὸς καὶ αἵματος ὐ μετέχει, ἀλλὰ ἀΰλόν τινα καὶ ἀσαρκον τὴν ὐσίαν ἀπ' ἀρχῆς ἐκληρώσαντο. Ἀκολεθότερον δ' ἂν τις καὶ τῶ προκειμένῳ φαίη, ὡς ἐπουράνια ἐνταῦθα τὴν εὐσέβειάν τε καὶ τὰς ἀρετὰς ἐπωνόμασε. Καὶ γὰρ διὰ ταῦτα τὴν τῶν ἐρανῶν κληροδοτέμεθα βασιλείαν, καὶ ἔστι ἡμῖν ἡ πάλη πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν ταῖς ἀρεταῖς τε καὶ ἐν τῇ εὐσεβείᾳ, ἡμῶν μὲν κατορθῶν ταῦτα σπεδαζόντων, ἐκείνων δὲ τὸν δυνατὸν αὐτοῖς τρόπον ἀντιτιθέντων, καὶ πάντα πόλεμον ἀναδεχομένων. Διὸ σοφῶς ὁ τῆς οἰκεμένης διδάσκαλος καὶ ἁρμοδίως ἔφη, ὡς ὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, τετέστι, τὰ μήτε σαρκὶ μήτε αἵματι συνδεδεμένα δαιμόνια. Καὶ τότε ἐν τίσι καὶ περὶ τίνων ὁ πόλεμος; ἐν τοῖς ἐπουρανίοις, φησὶν, τετέστιν, ἐν τοῖς προξένοις τῶ ἀρανίῳ σκηνώματος, ὅπερ ἐστὶν, ὡς εἴρηται, ἡ εὐσέβεια, καὶ τῶν ἀρετῶν ὁ χορός. Εἰ δέ τις ἐν τοῖς ἐπουρανίοις προχειρότερον ἐκλαβεῖν θέλοι αὐτὴν τὴν ἐπουράνιον κατοικίαν, καὶ ὅτω ὁ τῆς εὐσεβείας νῦς εὐοδῆται. Καὶ γὰρ ἡ πρὸς αὐτὸν ἐστι πάλη, ἡμῶν μὲν ἀγωνιζομένων τυχεῖν τῆς ἀρανίε κληροδοσίας, ἐκείνων δὲ τῶ σεῤῥῆσαι ταύτης καὶ ἡμᾶς, ἐξ ἧς αὐτοὶ καταπεπλώκασιν.

Λς. (ρμέ.)

Διὰ τί πράξεις τῶν ἀποστόλων ἐπιγράφεται τὸ βιβλίον, καίτοιγε οὐ τῶν δώδεκα πράξεις περιέχει, ἀλλὰ κατ' ἀρχὰς μὲν θαύμαλα καὶ διδασκαλίαν ὀλίγην τῶν ἀποστόλων, ἐφεξῆς δὲ εἰς Παῦλον κινεῖται πᾶσα ἡ πραγματεία;

Πράξεις, φησὶν (ὁ ἀπορῶν), τῶν ἀποστόλων ἐπιγράφεται τὸ βιβλίον, καίτοιγε ὐ τῶν δώδεκα πράξεις περιέχει, ἀλλὰ κατ' ἀρχὰς μὲν θαύμαλα καὶ διδασκαλίαν ὀλίγην τῶν ἀποστόλων, ἐφεξῆς δὲ εἰς Παῦλον κινεῖται πᾶσα ἡ πραγμαλεία. Πλὴν διὰ τῦτο πράξεις τῶν ἀποστόλων ἐπιγράφεται, διότι, κατὰ τὸν Παῦλον, δοξαζομένε ἑνὸς μέλες συνδοξάζεται πάντα τὰ μέλη. Οὕτω δὲ καὶ τὰς Πέτρε καὶ Παύλε πράξεις κοινοποιέμενος ὁ συγγραφεὺς τῶν ἀποστόλων

φόλων τὸ βιβλίον ἐπέγραψε πράξεις. εἰ δὲ καὶ τῇ κορυφῇ συμπεριλαμβάνεται τὸ ὅλον σῶμα, εὐλόγως ἂν τὰς κορυφαίων πράξεις ἐκάλεσαν τῶν ἀποστόλων, πλήν γε καὶ ἡ κοινὴ τῶν ἀποστόλων ἐμπεριεχομένη ταύταις διδασκαλία, κἂν ἐπ' ὀλίγον ἡ ταύτης διήγησις παρατείνεται, ἀλλ' ἀφορμὴν τῆς ἐπιγραφῆς παρέχεται εὔλογον. Τὸν δὲ συγγραφέα τῶν Πράξεων οἱ μὲν Κλήμεντα λέγουσι τὸν Ῥώμης, ἄλλοι δὲ Βαρνάβαν, καὶ ἄλλοι Λουκᾶν τὸν εὐαγγελιστήν. Αὐτὸς δὲ Λουκᾶς ἐπικρίνει, πρῶτον μὲν ἐξ ὧν προοιμιάζεται, ὡς καὶ ἕτερα αὐτῷ πραγματεία τὰς δεσποτικὰς περιέχουσα πράξεις καταβέβληται· δεύτερον δὲ, ἐξ ὧν καὶ τῶν ἄλλων εὐαγγελιστῶν διαστέλλεται, ὅτι μέχρι τῆς ἀναλήψεως εἶδεν αὐτῶν τὸ σύνταγμα προελθεῖν ἐποιήσατο, ἀλλ' ἕτος μόνος καὶ τὴν ἀνάληψιν ἀκριβῶς ἐξηγήσατο, καὶ πάλιν τὴν τῶν Πράξεων ἀπαρχὴν ἀπὸ ταύτης ὑπεσήσατο. Ματθαίου μὲν γὰρ τέλος ἔχει τὸ εὐαγγέλιον, οἱ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν. τέλος· ἕως τῆς συντελείας τοῦ αἰῶνος, ἀμήν. καὶ περὶ μὲν τῆς ἀναλήψεως οὐδὲν προστίθησι. Μάρκος δὲ εἰ καὶ μνημονεύει, ἀλλ' ὡς ἐν ἐπιδρομῇ, λέγων· Ὁ μὲν οὖν Κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς ἀνελήφθη εἰς τὸν οὐρανὸν, καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ. οὔτε γὰρ τὸν τρόπον, οὐδ' ἄλλο τι τῶν συνεκτικῶν κεφαλαίων τῇ τηλικαύτῃ πράξει συνδιέλαβεν. Ἰωάννης δὲ τὸ εὐαγγέλιον τέλει ἀναλήψεως μὲν οὐ παρέδωκεν ἱστορίαν, ἐπεσημαίνετο δὲ, ὅτι πολλὰ καὶ ἄλλα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. μόνος δὲ, ὡς εἴρηται, Λουκᾶς καὶ τὴν ἀνάληψιν ἐν τῷ τέλει τοῦ εὐαγγελίου πλατύτερον διεξῆλθεν, καὶ τὴν ἀρχὴν τῶν Πράξεων ἀπὸ ταύτης προάγει.

ΛΖ. (ρμέ.)

Ποσάκις ὁ Χριστὸς τοῖς ἀποστόλοις μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ὤφθη, καὶ πῇ, καὶ πότε;

Ὅτι ἐν τεσσαράκοντα ἡμέραις τοῖς μαθηταῖς ὁ Σωτὴρ ὠπλάνετο, ἑνδεκάκις δὲ μόνον αὐτοῖς εἰς ὁπλασίαν καλέσηκαὶ εἰκότως, ἕνδεκα γὰρ ὄντων τῶν μαθητῶν, ἑνδεκάτην καὶ αὐτὸς τὴν ὁπλασίαν ἐποιήσατο. πόθεν δὲ ἡ ἀπόδειξις, ὡς ἑνδεκάκις μόνον ὤφθη ἐντεῦθεν; Καὶ γὰρ πρῶτον μὲν ὤφθη τῇ Μαρίᾳ ἐν τῷ μνήματι, καὶ ταῖς ἄλλαις γυναιξίν. ὥσπερ καὶ Ἡσαΐας προαναφωνεῖ, καλῶν τὰς γυναῖκας, καὶ λέγων· γυναῖκες ἐρχόμεναι ἀπὸ θέας, δεῦτε, ἀναγγείλατε ἡμῖν. Ἔπειτα ὤφθη Πέτρῳ. εἶτα τοῖς περὶ Κλεόπαν, εἴς τε τὴν ὁδὸν ἐπιβᾶσιν αὐτοῖς εἰς Ἐμμαοὺμ, κἂν ὅπω συνίεσαν ἐκεῖνοι, καὶ ἐν τῇ κλάσει τοῦ ἄρτου, ὅτε ἐφανέρωσεν αὐτοῖς ἑαυτόν. εἶτα τοῖς δέκα, μὴ παρόντος Θωμᾶ, ὅσης οὐσίας τῇ ἡμέρᾳ ἐκείνῃ. εἶτα μεθ' ἡμέρας ὀκτὼ τοῖς ἕνδεκα, παρόντος καὶ συναριθμηθέντος τοῦ Θωμᾶ. εἶτα ὁμοῦ ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ὡς ἐπισημαίνεται Παῦλος, ὅτι καὶ αὐτῶν οἱ πλείες μένουσιν ἕως ἄρτι. ἔτι δὲ Ἰακώβῳ, καὶ τοῦτο Παῦλος διδάσκει, οὐχὶ μόνον τοῖς ἕνδεκα, καὶ γὰρ προλαβὼν εἶπεν· ὤφθη Κηφᾷ, εἶτα τοῖς ἕνδεκα.

ἕνδεκα· καὶ ἅτως ἐπήγαγεν τοῖς ἀποστόλοις. εἶτα τοῖς ἑπλὰ ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος, τουτέστιν Πέτρῳ καὶ Θωμᾷ καὶ Ναθαναὴλ, Ἰακώβῳ καὶ Ἰωάννῃ, καὶ ἄλλοις δύο τῶν μαθητῶν αὐτοῦ. εἶτα τοῖς ἀποστόλοις πᾶσιν, τουτέστι τοῖς ἑβδομήκοντα. εἶτα εἰς τὸ ὄρος τῆς Γαλιλαίας, ὃ ἐτάξαλο αὐτοῖς ὁ Ἰησοῦς, καὶ εἰς τὸ ὄρος τῶν ἐλαιῶν, ὅθεν καὶ ἡ ἀνάληψις.

ΛΗ. (ρμζ'.)

Διὰ τί παρήγγειλεν ὁ Χριστὸς τοῖς ἀποστόλοις, ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι; καὶ πότε τὴν ἐπαγγελίαν τοῦ Πατρὸς ἦκουσαν;

Παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρὸς, ἣν ἠκούσατέ μου. Ἀλλ' ὅτι μὲν ὁ Σωτὴρ ἔφη, τοῦτο δῆλον. εἶπεν γὰρ, ὅτι ἀναβαίνω πρὸς τὸν Πατέρα μου, καὶ παρακαλῶ αὐτὸν, καὶ πέμψει ὑμῖν τὸν παράκλητον. ὁ δὲ Πατὴρ πῶ ἐπηγγείλατο; ἐκ μὲν γὰρ τοῦ εὐαγγελίου ἡ τοῦ Πατρὸς ἐπαγγελία οὐχ εὑρίσκεται. ἢ δῆλον, ὡς ἐν τοῖς προφήταις εὑρίσκεται; ὡς μαρτυρεῖ καὶ Παῦλος, λέγων· Παῦλος, δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις περὶ τοῦ υἱοῦ αὐτοῦ. προεπηγγειλάμενος τοίνυν εὐαγγέλιον ἐπηγγείλατο καὶ Πνεῦμα ἅγιον διδόναι. Λέγει δὲ καὶ διὰ τοῦ προφήτου ὁ Θεός· ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει Κύριος παντοκράτωρ, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν. ἰδοὺ ἡ ἐπαγγελία. ἡ δὲ ἔκβασις, ὅτε τὸ Πνεῦμα τὸ ἅγιον ἐν εἴδει γλωσσῶν ἐφ' ἕνα ἕκαστον τῶν μαθητῶν ἐκάθισε, καὶ ἐλάλουν τὰ μεγαλεῖα τοῦ Θεοῦ. Ὅτι δὲ ὁ Πατὴρ ταῦτα λέγει, ἐχ ὁ Υἱὸς, ἐκ τῆς ἐπαγωγῆς δῆλον. καὶ δώσω γάρ, φησι, σημεῖα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐν τῇ γῇ κάτω, αἷμα καὶ πῦρ. αἷμα μὲν γάρ, ὃ παραδόξου σημείου λόγον ἐπέχει, τὸ ἐκ τῆς δεσποινικῆς μετὰ θάνατον ῥεῦσαν πλευρᾶς· πῦρ δὲ, τὸ τοῖς ἀποστόλοις, ὡς προείρηται, διαιρεθέν. ἀλλὰ καὶ ὁ ἥλιος, φησιν, μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, τουτέστι, τοῦ Υἱοῦ. ὅτι δὲ ἀπὸ τοῦ Πατρὸς εἴρηται ταῦτα, καὶ ἐκ τοῦ προφήτου, ἡ ἀρχὴ τοῦ ῥητοῦ μαρτυρεῖ. ἔχει γάρ· ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει Κύριος, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ ἕξῆς. Κύριος δὲ, δῆλον, ὅτι ἐχ ὁ προφήτης, ὁμόδουλος ὢν ἡμῖν, ἀλλ' ὁ τοῦτον ἐπεσαλκὼς Θεὸς καὶ Πατήρ.

ΛΘ. (ρμή.)

Πότε ἐβαπτίσθησαν οἱ ἀπόστολοι, καὶ παρὰ τίνος;

Εὑρίσκομεν τοὺς ἀποστόλους λαβόντας βάπτισμα πρὸ τοῦ πάθους Χριστοῦ τὸ Ἰωάννου. ὁ δὲ Σωτὴρ πρὸ τοῦ πάθους ἐδίδωσι βάπτισμα ἕτερον, ἵνα μὴ λύσῃ τὸ Ἰωάννου κήρυγμα, καὶ δῷ ἀφορμὴν τοῖς ἀντιλέγουσιν Ἰουδαίοις, ὅτι πρὸς ὕβριν τοῦ βαπτιστοῦ ἴδιον ἐπεισήγαγεν βάπτι-

βάπτισμα. ἀναπληροῖ δὲ τὸ λεῖπον, ὁ ἐν ὕδατι βαπτίζων, ἀλλ' ἐν πνεύματι. καθὼς καὶ αὐτός φησιν, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ ἐ μετὰ πολλὰς ταύτας ἡμέρας, δηλονότι δέκα. Δίδονται δὲ προθεσμίαι δέκα ἡμέραι διὰ γυμνασίαν τῆς τῶν ἀποστόλων πίστεως. Ἡσυχαζέσης γὰρ τῆς χάριτος, καὶ μηδενὸς τῶν ἐπηγγελμένων φαινομένων, ἐγυμνάζετο αὐτῶν ἡ πίστις, καὶ ἡ ἐλπὶς τὸ ἀδίσταλτον καρποφορεῖν καιρὸν ἐλάμβανεν. Τῷ γὰρ βαπτισθῆναι ἐν Πνεύματι ἁγίῳ ἴσόν ἐστι τὸ λαβεῖν Πνεῦμα ἅγιον. Ἦσαν ἓν πνεύματι καὶ ὕδατι πρὸ τοῦ πάθους βαπτισθέντες οἱ ἀπόστολοι. καὶ ἦν τὸ λεῖπον ἐκεῖνο εἰς ἄφεσιν μὲν ἁμαρτιῶν, ἓν εἰς μετοχὴν δὲ Πνεύματος ἁγίου. Ὅτι δὲ τοὺς ἀποστόλους ὁ Ἰωάννης ἐβάπτισε, φανερὸν ὁ Δεσπότης ποιεῖ, ἐν τῷ λέγειν πρὸς τὸν Πέτρον, κατὰ τὸν καιρὸν τοῦ νιπτῆρος ἀνανεύοντα· ὁ λελουμένος οὐκ ἔχει χρείαν νίψασθαι, εἰ μὴ τοὺς πόδας. Ἔδειξε γὰρ διὰ τῆς φωνῆς ὁ μόνον τὸν Πέτρον λελουμένον, ἀλλὰ καὶ τοὺς ἄλλους ἐν τῷ νίπτειν αὐτῶν τοὺς πόδας μόνον, τῷ τοῦ Ἰωάννου βαπτίσματι. Ὁ Σωτὴρ οὖν τὸ μὲν βάπτισμα τῆς μετανοίας καὶ εἰς ἄφεσιν ἁμαρτιῶν τελούμενον παρὰ τοῦ Ἰωάννου οὐκ ἠθέτησεν, ἀλλὰ καὶ ἐτελείωσε προσθεὶς τῇ τοῦ παναγίου Πνεύματος δωρεᾷ.

Μ. (ρμθ'.)

Πῶς οἱ εἰς Χριστὸν βαπτιζόμενοι Χριστὸν ἐνδύονται;

Εἰ μὴ Θεὸς τὸ Πνεῦμα, εἰ μὴ θεϊκῆς χάριτος πηγή, πῶς οἱ θεῖον ἔνδυμα τὸν Χριστὸν ἐνδυσάμενοι ἰδιωτικὸν τὸ τοῦ Πνεύματος ἐπενδύονται; εἰ γὰρ, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθησαν, Χριστὸν ἐνεδύσαντο, λέγει δὲ ὁ Σωτὴρ, μείνατε ἐν Ἱερουσαλὴμ ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους, ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς, πῶς ἐν τῷ καιρῷ τοῦ δεσποτικοῦ ἐνδύματος θελικὸν ἐνδυόμεθα; ἀλλὰ δῆλον ἄρα ἑκάτερον ἔνδυμα ὁμότιμον, καὶ μίαν καὶ τὴν αὐτὴν τῆς εὐεργεσίας καὶ χάριτος παρίστησιν αὐθεντειαν. ἔνδυμα δὲ τὸ Πνεῦμα τὸ ἅγιον λέγεται τῶν πιστῶν, οὐχ ὡς ἱμάτιον, ἀλλ' ὡς ἐνδύεται σίδηρος τὸ πῦρ, ὃν ἔξωθεν περιβαλλόμενος, ἀλλ' ὅλος δι' ὅλου. οὕτω καὶ τὸν Χριστὸν, ὡσεὶ τὸ πανάγιον Πνεῦμα, οὐχ ὡς ἱμάτιον, ἔξωθεν περικείμενον, περιβαλλόμεθα, ἀλλ' ὡς τὴν καρδίαν καὶ τοὺς λογισμοὺς πληρέμενοί τε φωτὸς καὶ τὸ πρόσωπον χάριτος. διὸ καὶ ἀτενίζοντες εἰς τὸ πρόσωπον Στεφάνου οἱ ἐπανισάμενοι εἶδον τὸ πρόσωπον αὐτοῦ ὡς πρόσωπον ἀγγέλου.

ΜΑ. (ρν'.)

Διατί εἶπε, πορευομένου αὐτοῦ, καὶ ἐκ ἀναλαμβανομένου; καὶ διατί καλοῦσιν οἱ ἄγγελοι Γαλιλαίους τοὺς ἀποστόλους;

Καὶ ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν πορευομένου αὐτοῦ. οὐκ ἔτι, φησὶν, ἀναλαμβανομένου λέγει, ἀλλὰ πορευομένου. καὶ γὰρ τῇ σαρκὶ μὲν ἀνελήφθη, τῇ αὐθεντείᾳ δὲ ἐπορεύετο. Γαλιλαίους δὲ καλοῦσι τοὺς μαθητὰς οἱ ἄγγελοι σεμνύνοντες αὐτούς. Γαλιλαῖοι γὰρ οἱ ἀποκεκαλυμμένοι σημαίνει. καὶ γὰρ καὶ πρῶτον σημεῖον ἐν Κανᾷ τῆς Γαλιλαίας ἐποίησεν ὁ Χριστὸς, καὶ ἐκεῖ ἐφανέρωσε καὶ ἀπεκάλυψε τὴν δόξαν αὐτοῦ.

ἔνθεν καὶ ὁ προφήτης Ἡσαΐας προανακράζει· ἐπένθησεν ἡ γῆ, ἠχύνθη ὁ Λίβανος, ἔλη ἐγένετο ὁ Ἀσσαρών· Φανερὰ ἔσται ἡ Γαλιλαία καὶ ὁ Κάρμηλος. ἐνταῦθα δεῖ ὑποταγῆναι, τί ἐσήκατε ἐμβλέποντες; Καὶ ὁ μὲν Ἠλίας ὡς δῆλος εἰς ὕψος ἀέριον ἀνελήφθη, οὐκ εἰς τὸν οὐρανὸν, ἀλλ' ὡς εἰς τὸν οὐρανόν· ὁ δὲ Δεσπότης, ὡς Κύριος πάντων, οὐχ ὡς εἰς τὸν ἀέρανον ἀνελήφθη, ἀλλ' ἀληθῶς εἰς τὸν ἀέρανον. Καὶ τρίτον δὲ ἐπισημαίνεται τὸ πορεύεσθαι ἢ ἀναλαμβάνεσθαι τὸν Δεσπότην εἰς τὸν ἀέρανον, τῇ τριπλῇ τῆ ῥήματος ἐπιφορᾷ· τὸ βέβαιόν τε καὶ ἀληθὲς καὶ ἀφαντασίαστον παριστῶν. ἰδίωμα γὰρ καὶ βεβαιώσεώς τε καὶ ἀσφαλείας τὸ τοιοῦτον σχῆμα τῆ λόγε ἡ ἱερὰ ἡμῶν οἶδεν γραφή.

ΜΒ. (ρνδ'.)

Τίνα δεῖ καλεῖν τεκνία, καὶ ποῖα παιδία, καὶ τίνας υἱές; Καὶ τί λέγει Πέτρος· ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον;

Τρία ταῦτά ἐστιν, οἷς τὸ ἀνθρώπινον τελειῶται. κάθαρσις ἁμαρτημάτων· πίστις εὐσεβὴς καὶ ἀδιστακτος, πρὸς μηδὲν κενὸν μηδὲ πρόσφατον ὑπαλλοιουμένη· ἀγὼν καὶ νίκη κατὰ τῶν παθῶν καὶ τῆ διαβόλε. ἡ μὲν οὖν τῶν ἁμαρτημάτων κάθαρσις, γέννησίς τίς ἐστι πνευματικὴ, μᾶλλον δὲ ἀναγέννησις, τὸν παλαιωθέντα ἀνακαινίζουσα ἄνθρωπον. καθ' ὃ καὶ Παῦλος ἔλεγεν· τεκνία, οὓς πάλιν ὠδίνω, ἕως ἂν ὁ Χριστὸς ἐν ὑμῖν μορφωθῇ. διὰ ταύτης δὲ τῆς ἀναγεννήσεως καὶ υἱοθετούμεθα, δοῦλοι ὄντες τῷ Δεσπότῃ Χριστῷ. διὸ εἰκότως ἂν καὶ τεκνία καὶ παιδία οἱ ταύτης τῆς χάριτος ἠξιωμένοι καλοῖντ' ἄν. Οἱ δὲ τὴν ἀρχῆθεν προκατηγγελμένην εὐσέβειαν πρεσβεύοντες ἤδη τὸ φρόνημα πεπολίωνται, μηδὲν κενὸν, μηδὲ πρόσφατον, μηδ' ἀνθρωπίνης ἐπινοίας νεανίευμα ταῖς διανοίαις αὐτῶν εἰσδεχόμενοι, οἱ καὶ δικαίᾳ κρίσει πνευματικῆς αὐτὸς ἐπωνυμίας ἀξίας δεικνύουσιν. Ἐπὶ δὲ τέτοις, οἱ, γενναίως καὶ ἀνδρείως τὰ πάθη καὶ τὸν ἐχθρὸν καταγωνισάμενοι, καὶ στραλιωτῶν καὶ ἀθλητῶν ὡς ἀληθῶς ἔργα διαπραξάμενοι, πᾶσιν ἐπ' αὐτοῖς τοῖς ἔργοις νεανικήν τε καὶ ἀκμάζουσαν τὸν τόνον καὶ τὸν πόθον γνώμην ἐπεδείξαντο, οὐχὶ καὶ τῆς κλήσεως αὐτῆς μεταχήσουσιν; Ἔχεις ἔν, οἶμαι, διὰ τῶν εἰρημένων σαφῶς τὸ ζήτημά σοι διαλυόμενον. γράφω ὑμῖν, τεκνία, ὅτι ἀφέωνται αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτῆ. γράφω ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. γράφω ὑμῖν, νεανίσκοι, ὅτι νενικήκατε τὸν πονηρόν. ἔγραψα ὑμῖν, παιδία, ὅτι ἐγνώκατε τὸν Πατέρα. ἔγραψα ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. ἔγραψα ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ ὁ λόγος τῆ Θεῆ ἐν ὑμῖν μένει, καὶ νενικήκατε τὸν πονηρόν. Τεκνία μὲν γὰρ καὶ παιδία ποιεῖ ἡ τὴν ἄφεσιν τῶν ἁμαρτημάτων χαριζομένη ἀναγέννησις, καὶ τὸ τῆς υἱοθεσίας ἀξίωμα, δι' ὧν τοῖς ἔργοις ἐπιγινώσκειν Πατέρα τὸν θέμενον ὥσπερ ἰσχὺν προσειλήφαμεν, ἕτω καὶ χρέος ὑπήλθομεν. πατέρας γε μὴν καθιστᾷ ἡ τῆς ἀπ' ἀρχῆς εὐσεβείας πολιά τε καὶ ἐν τῷ βεβαίῳ στηριζομένη ἐπίγνωσις· νεανίσκους δὲ

δὲ τὸ κατὰ τῆ πονηροῦ καὶ τῶν παθῶν κράτος. Ἀλλ' αὕτη μὲν ἡ τῶν ἀποστολικῶν λογίων διάνοια, ἡ δὲ τῶν ῥημάτων ἐπιμονὴ, ἡ μὲν ἀφηγήμαλος ἐπέχοι ἂν λόγον, ἡ δὲ ἐπαναμνήσεως, ὅπερ εἴωθεν προσεχεστέρους τε τὰς ἀκροατὰς παρασκευάζειν, καὶ βαθύτερον τῷ μνημονικῷ τῆς ψυχῆς αὐτῶν ἐγχαράσσειν τὴν τῶν εἰρημένων διάνοιαν.

Ὁ δὲ τῷ κορυφαίῳ Πέτρῳ εἴρηται, ἂν ὀρθῶς ἐπισκοπήσης, εὑδὲν ἀπορούμενον περιόψει. Ἐκεῖνος γὰρ εἰπὼν, καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ οὐρανῦ ἐνεχθεῖσαν· εἶτα ἐπαγαγὼν, καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, οὐχ ἑαυτῷ φησιν βεβαιότερον, ἄπαγε, μάλιστά γε προαναφωνῶν, ὡς ἐπόπται γενηθέντες τῆς τῦ Κυρίε ἡμῶν Ἰησῦ Χριστῦ μεγαλειότητος ἐγνωρίσαμεν ὑμῖν τὴν τότε δύναμιν καὶ παρουσίαν. Τί γὰρ ἂν βεβαιότερον εἴη τῆς αὐτοψίας, καὶ τῦ ἀκοὰς ἰδίας ἀναπεμάσας εἰς ὑποδοχὴν τῆς ἄνωθεν φωνῆς, καὶ τὴν πατρικὴν ἐναυγασθῆναι μαρτυρίαν; Ἀλλὰ βεβαιότερον ἐκείνοις φησὶν, οἷς ἔγραφεν, ὥσανεὶ λέγων· εἴ τις ἐπιδισάζουσαν, οἷς μαρτυρῦμεν, ἔχοι τὴν γνώμην, εἰς τὸν προφητικὸν ἀποσκοπείτω λόγον, βεβαιότερον ὄντα γε τῆς τῶν πολλῶν περὶ ἡμᾶς ἀμφισβητήσεως πάντως. οὐκ ἔτι γὰρ καὶ οὗτος, ὡς ἄν τινες εὐχερέστερον περὶ ἄλλων ὑπολήψονται, ἀνθρωπίνης προέρχεται δόξης. Ὅτι δὲ οὐχ ἑαυτῷ βεβαιότερον ἔφησεν, σαφέστερον ὑποκατιὼν ἐκδιδάσκει. Ἐπιφέρει γάρ· ᾧ καλῶς ποιεῖτε προσέχοντες· ὑμεῖς, φησιν, οὐκ ἐγώ· ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως ἡ ἡμέρα διαυγάσῃ, καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν.

ΜΓ. (ρνέ.)

Τί λέγει ὁ ἀπόστολος περίψημα;

Τὸ περίψημα δύναται μὲν ἔτως ἁπλῶς νυνὶ σημαίνειν τὸ ἐν ἀτιμίᾳ, καὶ οἷον ὑπὸ τὰ ἴχνη κείμενον· ἐγγύτερον δ' ἂν εἴη τῆς σημασίας ἡ ἀπολύτρωσις καὶ τὸ οἷον ὑπέρ τινων ἱερεῖον. Περίψημα γὰρ καλεῖν ἐκεῖνο μᾶλλον ὁ παλαιὸς οἶδε λόγος, καὶ τὴν αἰτίαν τοιαύτην παρέχεται τῷ ὀνόματι. Τὸ παλαιὸν ἐπειδάν τινων ἄνωθεν μηνιμάτων εἰς πεῖραν ἐνέπιπτον, καὶ ποιναὶ αὐτοὺς τῶν τετολμημένων ἀπαιτεῖσθαι συνήθοντο, ἀθρόοι περιστάντες τὸ ὁμόφυλον ἑνί τινι αὐτῶν, ὃς ἔμελλεν ἢ κλήρῳ ἀφορισθεὶς, ἢ τῷ προθύμῳ τῆς γνώμης ἑκάσιος ὑπὲρ πάντων προθύεσθαι, καὶ καθάρσιον αὐτῶν γίνεσθαι, τοῦτον χερσὶ περιψῶντες καὶ ἐφαψώμενοι, περίψημα ἡμῶν, ἔλεγον, γενοῦ. Ἐκεῖθεν ἦν ὁ πολλὰ πολλάκις σοφῶς αἰχμαλωτίσας Παῦλος εἰς τὴν ὑπακοὴν τῦ Χριστῦ, οὐδὲν δὲ ἧττον καὶ τῶν ἔξω φωνῶν, οὐχ ὅση κομψὴ καὶ γλῶττα καὶ εὔηχος, ἀλλ' ὅση γνησία σημᾶναι καὶ παραστῆσαι τὸ προκείμενον. Καὶ τὴν φωνὴν ταύτην συλλαβὼν φησι, περίψημα, πρὸς Κορινθίους γράφων, πάντων ἐγενόμην. τῷ ὄντι γὰρ ὡς πάντων περίψημα ἕτω διὰ παντὸς ἔπαχεν καὶ ἐταλαιπωρεῖτο, καὶ τοῖς δεινοῖς κατετείνετο. ἐῶ τἄλλα. Καὶ γὰρ εὑρίσκω φωνὴν αὐτῦ ἐκείνῃ τῶν ἄλλων ἁπάντων ἀντίρροπον· νὴ τὴν ἡμετέραν

καύχησιν

καύχησιν καθ' ἑκάστην ἡμέραν ἀποθνήσκω. Ὁρᾷς ὅπως ἦν πάντων καθάρσιον, καὶ ἱερεῖον, καὶ περίψημα. οὐδὲ γὰρ ὑπὲρ Ἰουδαίων μόνον ἐπυρπολεῖτο τὰ ἔνδον, καὶ ἐφλέγετο, καὶ τὰ μυρία ἔξωθεν ἔπασχεν· ἀλλ' ὑπὲρ συγγενῶν, ἀλλὰ καὶ ὑπὲρ Ἑλλήνων καὶ βαρβάρων, καὶ πάντων ἁπλῶς ἀνθρώπων, εἴ πως τινὰ, ὡς αὐτὸς ἔβδα, διασώσει. ὁ τοίνυν ἐγένετο καθ' ἑκάστην ἡμέραν, τοῦτο καὶ διὰ τοῦ λόγου ἀπαγγέλλει, πάντων περίψημα λέγων γεγενῆσθαι.

Βεβαιοῖ δὲ τὸ προκείμενον τοῦ σημαινομένου καὶ ἡ κατὰ πόδα συνέχεια τοῦ ῥητοῦ. Οὐ γὰρ ἐντρέπων ὑμᾶς, φησι, ταῦτα λέγω· οἶδα, ἐκ ἀνεσιδίζω τὴν εὐεργεσίαν, ἐδὲ τὰς χάριτας. ἀλλὰ τί; ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ. Δεῖ γὰρ τὰ τέκνα πατρικῆς εὐεργεσίας μεμνῆσθαι, καὶ ἐχ ἁπλῶς τέκνα, ἀλλὰ καὶ ἀγαπητά. τοιοῦτον, τοσοῦτον οἰκειοῦμαι ὑμᾶς, καὶ τοσοῦτον τῆς ὑμῶν ἀγάπης ἐκκαίομαι, ὥστε καὶ περίψημα ὑμῶν ἐθέλω γίνεσθαι, θῦμα καὶ ἱερεῖον καὶ καθάρσιον προσάγεσθαι ὑπὲρ ὑμῶν. Καὶ δὴ καὶ ἡ ὀρθότης τῆς ἐν τῷ λόγῳ συνθήκης πρὸς τοῦτο μᾶλλον ῥέπει τῆς φωνῆς, ἢ πρὸς τὸ ῥηθὲν τὴν ἀρχήν, ἐπεὶ τὸ μὲν ἠτιμωμένον καὶ καλάπλυσον Πᾶσι μᾶλλον ἀποδίδοται κατὰ τὴν σύνταξιν, ἀλλ' ἐχὶ Πάντων. ὁ δὲ σοφὸς καὶ θεσπέσιος Παῦλος ἐ περίψημα πᾶσιν ἐγενόμην, φησὶν, ἀλλὰ πάντων. ἐ μὴν, ἀλλὰ καὶ τὸ προηγούμενον χωρίον τῆς λέξεως τῇ διανοίᾳ ταύτῃ συμφθέγγεται. Εἰπὼν γὰρ, λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν, ἐπήγαγεν, ὡς περικάθαρμα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι. τουτέστι, τί δεῖ καθ' ἕκαστον τοὺς πόνους ἀπαριθμεῖσθαι, καὶ τὰς θλίψεις, καὶ τοὺς ἀγῶνας, οὓς ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ὑφίσαμαι; ἐν κεφαλαίῳ φάναι, ὡς περικαθάρματα ἐγενήθημεν τοῦ κόσμου, πάντων περίψημα ἕως ἄρτι. Καὶ γὰρ καὶ τὸ Περικαθάρματα ῥηθὲν μὲν ἂν κατὰ τοῦ ἐδδελυγμένου καὶ φευκτοῦ· μᾶλλον δ' ἁρμόσειε νυνὶ τὰ καθάρσια καὶ τὰ ἱλαστήρια θύματα, ἃ ὑπὲρ ἄλλων ἔωθεν θύεσθαι, παριστᾷν. πλὴν ἐπεὶ μηδ' ἕτερον τοῦ σημαινομένου τῇ ἀληθείᾳ λυμαίνεται, ἕκαστος, ᾧ μᾶλλον χαίρει, τοῦτο καὶ αἱρεῖσθαι ἐ κεκώλυται. ἄν τε γὰρ ὡς ἱερεῖον ὁ Παῦλος ὑπὲρ τῶν μαθητῶν ἐθύετο, τὸν Δεσπότην ἐμιμεῖτο καὶ διδάσκαλον. ἄν τε διδάσκων καὶ παραινῶν, καὶ πάντα ὑπὲρ τῆς αὐτῶν σωτηρίας πραγματευόμενος, ὡς ἄτιμος καὶ ἐδδελυγμένος ἐνομίζετο, πρὸς τὸν αὐτὸν ἀφορῶν Δεσπότην πάλιν ταῦτα ἐπάσχετο, ὃς λοιδορούμενος καὶ ὑβριζόμενος, καὶ πᾶν εἶδος ὑπομένων χλεύης, τῆς τῶν ὑβριζόντων καὶ προπηλακιζόντων σωτηρίας καὶ προνοίας ἐκ ἀφίστατο.

Ἀλλ' εἰς καιρὸν ἆρα τῆς μνήμης προῆλθεν καὶ ὁ πάλαι διηρώτησας, τί ποτε δηλοῖ τὸ ἐν τῷ εὐαγγελίῳ ῥηθέν· καὶ ἐκολάφισαν αὐτόν. τοῦτο δὲ κοινότερον μὲν τὸ ἐνέπαιξαν σημαίνει. παιδιᾶς δὲ εἴδος ἐστι τὸ κολαφίζειν. μεταβαλόντος τοῦ ἔθους, ὥσπερ καὶ ἐπ' ἄλλων πολλῶν, τὸ β εἰς τὸ φ. ἡ γὰρ ἀτθικίζουσα γλῶσσα διὰ τοῦ β μᾶλλον

τὴν

τὴν λέξιν προφέρει. τοίνυν μιαιφόνον καὶ ἀχάριστον τῶν Ἰουδαίων ἔθνος ἐπὶ τοσοῦτον εἰς τὸν εὐεργέτην τοῖς θυμοῖς ἀνηρέθισε, ὡς μὴ μόνον χεῖρας αὐτῷ σφαγῆς ἀνατεῖναι, ἀλλ' εἰ καί τι ὅλως αὐτὸς διαλάθοι χλεύης καὶ μυκτηρισμοῦ καὶ ἀσελγείας, ὃ μὴ ἐντρίψειεν αὐτῷ, ἐδόκει ἡγοῦντο καλοῤθῶσαι μέγα. Οὕτω καὶ τὸν ἀκάνθινον στέφανον, καὶ τὸν κάλαμον, καὶ τὸν βασιλέα καὶ τὰ τοιαῦτα ἐπέπαιζον αὐτῷ. καὶ νῦν δέ φησιν ὁ μὲν ὑψηλὸς καὶ μέγας Ἰωάννης, ὥσπερ ἐπιτρέχων τὴν ὕβριν, καὶ ἐδίδαν αὐτῷ ῥαπίσματα. ὁ δὲ θεσπέσιος Μάρκος καὶ Ματθαῖος, μικρὰ γὰρ ἡ τῶν ῥημάτων παραλλαγὴ, καὶ τὸ ὄνομα τῆς ὕβρεως λέγουσιν, καὶ τὴν τῆς ὕβρεως πρᾶξιν. Ἐκολάφισαν γὰρ αὐτὸν, καὶ ἤρξαντο περικαλύπτειν αὐτοῦ τὸ πρόσωπον καὶ κολαφίζειν αὐτόν. Εἶτα καὶ ἐῤῥάπισαν καὶ ῥαπίσμασιν αὐτὸν ἔβαλλον, καὶ ἔλεγον· προφήτευσον ἡμῖν, Χριστὲ, τίς ἐστιν ὁ παίσας σε. Ὁ μέντοι γε θεσπέσιος Λουκᾶς τὴν μὲν τοῦ κολαφίζειν παρῆκε, ἐξαπλοῖ δὲ σαφῶς, δι' ὧν λέγει, τῆς φωνῆς τὸ δηλούμενον. Καὶ οἱ ἄνδρες γάρ, φησιν, οἱ συνέχοντες τὸν Ἰησοῦν, ἐνέπαιζον αὐτῷ, δέροντες καὶ περικαλύψαντες αὐτὸν, ἔτυπτον αὐτοῦ τὸ πρόσωπον, καὶ ἐπηρώτων αὐτὸν, λέγοντες· προφήτευσον ἡμῖν, τίς ἐστιν ὁ παίσας σε; Καὶ γὰρ τοιοῦτόν ἐστι τὸ εἶδος τῆς παιδιᾶς. οἱ μὲν τοὺς ὀφθαλμοὺς χερσὶ περικαλύπτουσιν. οἱ δὲ πυξ μετὰ κόρδης παίοντες ἐπερωτῶσιν μηνῦσαι τὸν παίσαντα. κἂν μὲν τύχῃ τοῦ τυπήσαντος, ἀφίεται· ἂν δὲ μὴ, ἐπιμένουσιν αὐτῷ τὰς πληγὰς ἐντείνοντες. Τοῦτο ἂν δηλοῖ, καὶ τοῦτο παρίησιν ἡ κυριολεξία, τὸ ἐκολάφισαν. Ὅτι δὲ κόρον οὐδένα οὔτε ὕβρεως οὔτε ἀσελγείας τὸ Ἰουδαίων ἔθνος ἐλάμβανεν, ἐκπληττόμενος ὁ σοφὸς ἐπισημαίνεται μάλιστα Λουκᾶς. μετὰ γὰρ τὸ εἰπεῖν, ὅτι ἔτυπτον αὐτοῦ τὸ πρόσωπον, καὶ περιεκάλυπτον, ἐπάγει· καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον. Ἀλλὰ γὰρ περὶ μὲν τοῦ ἐκολάφισαν, καὶ περίψημα καὶ περικάθαρμα, ἔχεις, οἶμαι, κατ' ἐπιστολὴν ἐκ ἐνδεῶς. Σὺ δέ μοι τοῦ Χριστοῦ καὶ Παύλου κατὰ διάνοιαν φέρων πάθη καὶ τὰ ὀνείδη καὶ τοὺς πειρασμοὺς, ἴσασο γενναίως, μᾶλλον δὲ χαίρων, ἐννοούμενος, τίνι συντάττῃ χορῷ, καὶ τίνα κορυφαῖον ἔχεις, πρὸς πᾶσαν ἐπιφορὰν δυσχερῶν, ἄν τε δαίμονες ὦσι, ἄν τε μορφαῖς ἀνθρώπων ὑποκρινόμενοι δαίμονας οἱ ἐπιτιθέμενοι.

ΜΔ. (ρνζ'.)

Πῶς ἐκ ἔστιν ἐναντίον τὸ λέγειν, ἐάν τίς σε ῥαπίσῃ ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην· καὶ, εἰ δὲ καλῶς, τί με δέρεις;

Πολιτείας ἡμέρᾳ καὶ ἀσασιάστῳ κρηπῖδα πηγνὺς ὁ Σωτὴρ, ἐάν τίς σε ῥαπίσῃ ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην, τὴν ἐντολὴν ταύτην ὑποβάλλεται· αὐτὸς δὲ πληγὰς, τὰς ἐξ ἀνθρώπων, ἐπὶ κόρδης λαβὼν, ἀντὶ τοῦ στρέψαι, τί με δέρεις, ἠμείψατο. ἐδαμῶς, ὡς ἂν εἰς τὸ ἀπερίσκεπτον περιτραπείη τὸ περίεργον τῶν λογισμῶν, τοῖς ἔργοις τὸν λόγον καταστρεψάμενος· τρόπον δέ τινα μᾶλλον κἂν

τῇ τοιαύτῃ πράξει τὸ ῥῆμα βεβαιωσάμενος. κἀκεῖ μὲν γὰρ ἡ παραίνεσις τὴν ἀμοιβαίαν τιμωρίαν περιέκοπτεν, δι' ἧς εἰς τὸ ἄπειρον ἡ στάσις προέρχεται. διὸ τῆς πρώτης ἀντεπιχειρήσεως ἐξίστασθαι διετάξατο. Καὶ νῦν δὲ τὸ αὐτὸ διεπράξατο. Οὐ γὰρ ἀμύνης χειρὶ τὴν ῥαπίσασαν τῆς ὕβρεως δίκην εἰσεπράξατο, δικαιολογίᾳ δὲ μόνῃ ῥημάτων τὴν ἀδικίαν διήλεγξεν.

Ἀχθείη δ' ἂν οἰκειότερον εἰς συμφωνίαν μᾶλλον τὸ νομισθὲν ἀντιφθέγγεσθαι, ὅτι ἐκεῖ μὲν τοῖς ἀδικεῖν εἰς τὸ σῶμα καὶ περὶ σῶμα μὴ δεῖν ἀπείρηκεν ἀντανίστασθαι. ἐνταῦθα δὲ πλάνης γραφὴν, καὶ βλάβης ἀνθρώπων, οὓς ὠδήγει τε καὶ διέσωζε διωκόμενος, εἰ μηδὲ ῥήμασι διανέξη λύσασθαι, ἃ κατασκευάζειν τοῖς ῥαπίσμασιν οἱ συκοφαντοῦντες ἐμηχανήσαντο, ἐκείνως μὲν εἰς ἄφεσιν ἀπέλυεν τῷ ἐγκλήματος, καὶ πρὸς θράσος μᾶλλον ἐπέτριβεν τῆς ἀνοσιότητος, αὐτὸν δὲ τῆς συκοφαντίας καὶ τῷ ψεύδει, ἅπερ αὐτῷ δυσσεβῶς κατέχεον, ἐκ ἂν τὰς αἰτίας ἀπελύετο. Πῷ τοιγαροῦν ἐναντία ταῦτα, ἢ μαχόμενα, τὸν ῥαπίσαντα μὴ ἀντιῤῥαπίσῃς, τὸν δὲ γραφόμενόν σε πλάνης ἢ δυσσεβείας, ἢ τὴν σωτηρίαν κηρύττοντα ὡς εἰσηγητὴν ἀπωλείας, τοῦτον μὴ ἐπιτρέψῃς ταῦτά σοι περιάπτειν, μηδ' ὑποκατακλιθεὶς μὴ φωνῇ μὴ διαθέσει σιγήσῃ, μηδ' ἄλλον γίνε τρόπον ὑπαίτιος; Ἀλλὰ τῷ μὲν τῆς ἀληθείας φιλοθεάμονι ἐδὲ πρόφασιν ἔτι τὰ εἰρημένα ἀμφισβητήσεως ὑπολείπει. Τὸ δὲ, μὴ ποιῆτε τὴν ἐλεημοσύνην ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ, ὃ ποιεῖ ἡ δεξιά σε, μὴ γνώτω ἡ ἀριστερά σε· καὶ, ὅταν νηστεύῃς, μὴ σκυθρώπαζε ἔμπροσθέν σε, ὥσπερ οἱ ὑποκριταί· πρὸς τὸ, ἵνα λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς, τοσοῦτον ἀπέχει τῷ μάχεσθαι, ὥστε καὶ τὴν ὅτι μάλιστα συμφωνίαν κρίσει τῇ ἐμῇ καθασκευάζει. Κακία μὲν γὰρ ἡ ἐπίδειξις καὶ τὸ θηράσαι δόξαν, νέμεσίν τε σὺν δίκῃ καὶ ψόγον, ἃ γραφόμενον ἀπὸ τῶν σπουδαίων, κινοῦσα. ἡ δὲ φυγὴ τῆς κενοδοξίας ἀρετή τέ ἐστιν καὶ σεμνῶ ἤθους, καὶ τῶν συνετῶν ἀνθρώπων ἀποτίκτειν οἶδεν εἰς Θεὸν τὴν εὐχαριστείαν, ὅτι βλέπουσι μὲν δοξοκοπίαν ἀτιμαζομένην, ἀρετὴν δὲ τιμωμένην. Πῶς ἔν οἱ ἐνδεικνύμενοι δόξαν ἐξ ἀνθρώπων θηρῶνται, ἐξ ἃ μᾶλλον αὐτοῖς ἕπεται ψόγος; καὶ πῶς ἀπέχουσι τὸν μισθὸν αὐτῶν; οὐκ ἀπό γε τῶν θεοφιλῶν καὶ σπουδαίων. τοὺς δὲ πολλοὺς καὶ ἀγελαίους διαπλανῶντες, καὶ μηδὲν πλέον ἔχοντας διασκέψασθαι τῷ φαινομένῳ. Εἰ τοίνυν τὸ κενόδοξον φαύλως ποιεῖ, καὶ τὴν ἐξ ἀνθρώπων νέμεσιν ἐγείρει, ἡ δὲ τούτου φυγὴ τἀναντία πράττει, καὶ τοὺς ἐπιεικεστέρους εἰς δοξολογίαν Θεοῦ παραπέμπει, πῶς ἐχὶ συγατικὸν εὑρίσκεται μᾶλλον τοῦ μὴ ἐπιδείκνυσθαι, μηδὲ κενοδοξεῖν, τὸ, ὅπως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων.

Ἀλλὰ πῶς λάμψει τὸ φῶς ἔμπροσθεν τῶν ἀνθρώπων, μηδὲν τῶν ἐν κρυφῇ πραττομένων συνιέντων; Εἴρηται μὲν ἤδη. πλὴν ὅπως μᾶλλον. ὁ γὰρ βλέπων ἐν τῷ κρυπτῷ Πατὴρ, αὐτὸς τῆς ἔνδον ἀγρα-

ἀτραπῆς τὴν αὐγλην δυνατός ἐστιν εἰς τὸ Φανερὸν ἐναυγάσαι. ἄλλως τε δυσὶν ὁ σπουδαῖος χαρακτηρίζεται τρόποις, καὶ δυσὶ μάλιστα γράφεται χρώμασι, τῇ καθ' ὁμοίωσιν τῶ πλάστου ἀρετῶν αἱρέσει, καὶ κακίας φυγῇ. ἡ μὲν ἓν τῆς κακίας φυγὴ λάμπει πάντως ἔμπροσθεν τῶν ἀνθρώπων, κἂν ἔσω τις, ὅση δύναμις, κατέχῃ τὴν λαμπηδόνα. Τὸ γὰρ μὴ χεῖρα κακὸν εἶναι, μὴ περὶ ὕβριν, μὴ περὶ χρήματα, μηδ' ἀκριβῆ γλῶσσαν περὶ διαβολὴν, περὶ ὅρκους, περὶ ὅμοια, καὶ ἁπλῶς ἐν πᾶσι μηδενὶ μηδεμίαν λαβὴν ἐμπαρέχειν· ταῦτα καὶ τὰ τοιαῦτα, καὶ μηδαμῶς βλομένων ἡμῶν λαμπρὸν ἀναστράπτει καὶ μέγα φῶς τοῖς ἀνθρώποις. Τοῦτο καὶ ὁ θεῖος Παῦλος, θεσμὸς τῆς ἱερωσύνης ὑπογράφων Τιμοθέῳ, λέγει· δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἐκ τῶν ἔξωθεν. ἀλλὰ καὶ τὸ ἀπροσκόπους γενέσθαι Ἰουδαίοις τε καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ πάσῃ τοῦ Χριστοῦ, ἡ τῆς κακίας συνίστησι καὶ κατασκευάζει φυγή. νηστεία δὲ, καὶ πενήτων οἶκος, καὶ δάκρυον ἐξ ὀμμάτων, καὶ προσευχῆς τόνος, φιλεῖ μὲν τῆς ἐργασίας τὸ κρύφιον· ᾠδὴν δὲ ἧττον μηνυτὴν μεγαλόφωνον καὶ κήρυκα διαπρύσιον τὴν τῆς κακίας ἔχει φυγὴν, ἥτις τοῖς ἀνθρώποις προεκλάμψασα συνεφέλκεσθαί πως καὶ συνδιαλάμπειν φιλεῖ καὶ τῆς κρυφίου ἀρετῆς τὴν μαρμαρυγήν.

Εἰσὶ δ' ἓν, εἰσί τινες ἀρεταὶ, ἃς εἰς τὸ μέσον εἰκὸς πράττειν καὶ μάλιστα τοὺς προεστηκότας, δικαιοσύνη φημὶ καὶ εὐσέβεια, καὶ ἡ ταύτης πρόμαχος ἀνδρεία, καὶ ὅσαι συνέριθοι. Διόπερ ᾠδὴ ταύτας ὁ Σωτὴρ τῷ λαῷ θάνοιλι περιγράφεσθαι κελεύει, νηστείαν δὲ καὶ ἐλεημοσύνην, καὶ εἴ τι ὅμοιον. πλὴν ἐπὶ πασῶν γε τὸ πρὸς ἐπίδειξίν τε καὶ τὸ κενόδοξον ἐξορίζει, καὶ τοῦτο αὐτῷ τὸ κρύφιον βέλεται, καὶ τὸ μὴ γνῶναι τὴν δεξιὰν τὰ τῆς ἀριστερᾶς. Ὁ δὲ καθαρεύουσαν τὴν γνώμην ἔχων καὶ ἀνωτέραν τοῦ πάθους, ἄν τε ἐν οἰκίᾳ, ἄν τε ἐν ἐκκλησίᾳ, ἄν τε ἐν αὐτῇ μέσῃ πόλει πράττῃ τὸ καλὸν, τῆς δεσποτικῆς ἐστιν ἐντολῆς ἀκριβέστατος φύλαξ. Αὐτός τε γὰρ ὁ πρὸς ἐπίδειξιν ᾠδὲ κενῆς δόξης προβολὴν τὴν πρᾶξιν ποιεῖται, καὶ τῷ ἔργῳ τοὺς ὁρῶντας εἰς τὴν τοῦ Πατρὸς δόξαν ἐπιστρέφει. Πλὴν ἐπείπερ ὁ πολλοὺς ὁρῶμεν, (ὅτι συναναυψοῖ ἑαυτῷ τὸ ὕψος τοῦ κατορθώματος, σφοδρὸν γὰρ ἀφίησι κάτωθεν ἡ κενὴ δόξα τὸ βέλος, καὶ δυνατὴ πολλάκις καὶ στερρὸν ἦθος διελάσαι, καὶ πρὸς τὰ κάτω περιτρέψαι,) ἀσφαλέστερα πολλῷ ἡ ἐν τῷ κρυπτῷ, καὶ μάλιστα τῶν εἰσαγομένων εὑρίσκεται ἐργασία. τοῖς δ' ἔξω παντελοῦς βέλους γεγονόσιν ἀκώλυτος ἡ ἐν φανερῷ καὶ δημοσίᾳ πραττομένη. ἐπεὶ καὶ ὁ Σωτὴρ ποτὲ μὲν εἰς μέσους καὶ ἐν ταῖς συναγωγαῖς τὰ θαύματα ἐπετέλει· ἐφ' ὅτε δὲ ἐκ ἔξω δημοσιεύεσθαι ταῦτα. τὸ μὲν, ὅτι καθάπερ καὶ τοῖς ἄλλοις πάθεσιν ἀπροσπέλαστος ὅλως ἦν, ἔτω καὶ τὴν κενοδοξίαν ἀπρόσιτον κατεῖχεν. τὸ δὲ κανόνα καὶ γνώμονα παρέχων ἡμῖν, φεύγειν τε τὰς ἐπιδείξεις, καὶ τοὺς πεπλανημένους τῶν πολλῶν διακρίνεσθαι ἐπαίνους. τελειοτέρα μὲν ἓν καὶ τελείων, ὥσπερ ἔφαμεν, ἡ ἐν τῷ μέσῳ πρᾶξις, ἀσφαλεστέρα δὲ ἡ λανθάνουσα. Ἐκεῖ μὲν γὰρ

γὰρ πολλάκις λαθοῦσα συνεισδύεται τῇ ἀρετῇ ἡ κακία. ἐνταῦθα δὲ, τό γε ἐπ' αὐτῇ τῇ κρυφίῳ πράξει, ἀποτελείχισται παντελῶς αὐτῇ ἡ διείσδυσις. ὅτως ἐδαμῶς ἐκ ἔστιν ἐναντία τῶν δεσποτικῶν ῥημάτων ἡ νομοθεσία.

Ἴδοις δ' ἂν καὶ ἄλλως ἐδὲν ἧττον τὸ ῥηθέν. ἐλέγχων γὰρ τὲς Φαρισαίες ὁ Σωτὴρ, καὶ μεταρυθμίζων αὐτῶν τὸ κατεχηματισμένον καὶ ὑπερλον εἰς τὸ κόσμιόν τε καὶ τὸν χρηστὸν τρόπον, ἀπέπεμψεν μὲν αὐτοῖς Φεύγειν τὸ πρὸς ἀνθρώπες ζῆν, διώκειν δὲ, ὅσα θεραπεύει Θεόν. Τὲς ἓν τὴν κενοδοξίαν νοσοῦντας ἀπαλλάσσων τῆς νόσε, πρὸς ἐκείνες Φησίν· μὴ ποιεῖτε τὴν ἐλεημοσύνην ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ, ὃ ποιεῖ ἡ δεξιά σε, μὴ γνώτω ἡ ἀριστερά σε, καὶ ὅσα ὅμοια. τὲς ἐμπαθεῖς περικαθαίρων τῶ πάθες, τὲς ὑποκριτὰς ἐλαύνων τῆς σκηνῆς, τὲς ὑπὸ ζόφῳ καὶ πλάνῃ πολιτευομένες, εἰς τὸν ἁπλανῆ καὶ καθαρὸν τῆς ἀρετῆς βίον μεταλλῶν, ἐξ ἓ διαυγάζει ἡ ἀπάθεια καὶ ἡ ἀληθὴς δόξα, καὶ ἡ λαμπρότης ἡ ψυχική. ἅτως ἐκ ἔστιν ἀλλήλοις ἐναντία τὰ θεῖα καὶ ἱερὰ λόγια, ὥστε τἐναντίον ἐδ' ἄν τινι γένοιτο τῶν ἔργων ἀπαξράψαι τὴν λαμπηδόνα, εἰ μὴ τῆς κενοδοξίας τὸν ζόφον πρότερον διασκεδάσῃ, καὶ περιέλοι ἐξ αὐτῦ.

Ἄλλως τε δέ. Εἰ τὸ μὴ σκανδαλίζειν τὸν πλησίον σύνδρομόν ἐστι, μᾶλλον δὲ προηγέμενον τῦ περιλάμψαι τοῖς ἔργοις τὲς ἀνθρώπες, τὸ δὲ, μὴ ποιεῖν πρὸς ἐπίδειξιν, ἐν τῷ μὴ σκανδαλίζειν ὡς ἐν μέρει νόμος περιέχεται τῶ ὅλῳ· καὶ τὸ Φεύγειν ἄρα τὴν κενοδοξίαν προπαρασκευὴ γίνεται τῦ ἔμπροσθεν τῶν ἀνθρώπων διὰ τῶν ἔργων ἀναλάμψαι. Ἀλλὰ γὰρ τὰ μὲν κυριακὰ λόγια διὰ σὴν ἐξαίτησίν τε καὶ χάριν διαΦόροις ἐπιβολαῖς ἀντὶ τῦ διαΦωνεῖν ἐπεδείχθη μᾶλλον ἀσπαζόμενα τὴν συμΦωνίαν. Ἔτι δὲ καὶ δεσποτικῶν ἡ μίμησις νόμων κἀκεῖθεν ἔχει τὴν πρόοδον, τῷ πλείοσιν ἐπιχειρήμασι μεθοδεύειν τὰ ξασιάζειν ἀλλήλοις δοκοῦντα τῶν προβλημάτων. Καὶ γὰρ αὐτὸς ὁ κοινὸς καὶ πλάστης καὶ διδάσκαλος καὶ Σωτὴρ εἰσηγητὴς ὁρᾶται τῦ κανόνος, οἷς ἐποίησεν. Οὐκ ἄχαρι δ' ἴσως ἐν ταὐτῷ σοι συνδιεξαπλῶσαι καὶ τὴν θεωρίαν τῦ τρίτε ζητήματος. Ὅτε γὰρ τὸ ἀχάριστον καὶ ἀναίσχυντον ἔθος τῶν Ἰεδαίων τῆς ἐν σαββάτῳ σιτολογίας τὲς μαθητὰς αἰτίας εἰσέπραττεν, ἐχ ἑνί γε τρόπῳ τὸ ἐπηρεαστικὸν αὐτῶν ἐπεζόμισεν. ἀλλὰ πρῶτον μὲν τὴν ἀνάγκην αὐτοῖς ἀντεπέξησεν· τῦτο γὰρ καὶ κατασκευάζεται τῇ κατὰ τὸν Δαβὶδ πράξει καὶ τῷ παραδείγματι, ὃς τὲς ἄρτες Φαγὼν ἐκ ἐξὸν τῆς προθέσεως αἰτίας ἀΦίεται. δεύτερον δὲ ἀπὸ τῦ τόπε, ἤτοι τὸ ἐν τῷ τόπῳ προνόμιον. παραδειγματικὸν μὲν καὶ τῦτο, πλὴν τῦ προτέρε βαθύτερον. ὥσπερ γὰρ ἡ αὐτὴ πρᾶξις ἔξω μὲν τῦ ἱερῦ γινομένη πρὸς δίκην ὑπάγει, ἐν αὐτῷ δὲ τῷ ἱερῷ ἀνεύθυνον ἀπολύει· ἅτω καὶ σιτολογεῖν μέν τινας ἁπλῶς ἐν σαββάτῳ, δεδόθω γὰρ ὑμῖν, ποιεῖ ἐν εὐθύναις, τὲς δὲ τῶν ἀνθρώπων σωλῆρας καὶ διδασκάλες, καὶ αὐτῷ τῷ τῆς ἱερωσύνης συνόντας Δεσπότῃ καὶ νομοθέτῃ, παντὸς αἰτιάμαλος ἀπαλλάττει. πολλῷ γὰρ μείζω

ζω τῦ ἱερῦ τὰ ἐνταῦθα. Ἔτι δὲ καὶ ἀπὸ τῦ ἐλέε τὴν αὐτῶν ἀπόνοιαν σηλιτεύει. εἰ γὰρ μείζων μὲν ἡ θυσία τῆς παρατηρήσεως τῆς ἐν σαββάτῳ, ἐπίπροσθε τε τῆς θυσίας καὶ ὁ νόμος ὑμῶν τὸν ἔλεον ἄγει· ἔλεον γάρ φησιν θέλω, καὶ ὐ θυσίαν· οἱ τὲς μαθητὰς ἐρῶντες λιμῷ καὶ ἀσιτίᾳ πιεζομένες, εἶτα ἀντὶ τῦ ἐπ' ἔλεον τραπῆναι δίκην εἰσπραττόμενοι παρανομίας, ἔτοι πολλῷ χαλεπωτέρᾳ παραβάσει τὴν σκιὰν τῦ νόμε διεκδικεῖν εἰσιν ἑαλωκότες. Οὐ μὴν ἀλλὰ καὶ τετάρτῳ τέτες ἀποβράπίζει λόγῳ, ὐ διὰ τὸ σάββαλον τὸν ἄνθρωπον γεγονέναι λέγων, ἀλλ' ἀνάπαλιν ἀνθρώπε χρείᾳ τὸ σάββατον ὑφεσάναι. Ναὶ δὴ καὶ μέχρι πέμπλης πληγῆς τῆς ἀνοίας αὐτῶν τῇ μάσγι τῶν λόγων καθικνεῖται, δεσποτικώτερον λοιπὸν καὶ μετ' ἐξεσίας αὐτὲς ἐπιπλήττων. Κύριος γάρ ἐσι, φησὶν, ὁ υἱὸς τῦ ἀνθρώπε καὶ τῦ σαββάτε· εἰ δὲ Κύριος ὁ Υἱὸς, υἱοὶ δὲ καὶ κληρονόμοι μάλιστα οἱ μαθηταί· ἔτοι γὰρ καὶ πρῶτοι ἐκ ἐξ αἱμάτων, ὐδὲ ἐκ θελήματος σαρκὸς, ὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεῦ ἐγεννήθησαν, καὶ τῆς ἄνωθεν υἱοθεσίας ἠξιώθησαν· ἐκ ἔτι βελεύσεσιν, ἀλλὰ κυριεύσεσι τῦ σαββάτε. Ἐξ ὧν τῆς δεσποτικῆς ἐργασίας ταύτης, καὶ ὅση παραπλησία, δυναμωθέντες τε καὶ σοιχειωθέντες, ὥσπερ ᾔτησας, λόγοις διαφόροις τὴν τῶν σεπλῶν λογίων δοκῦσαν διαφωνίαν εἰς ἀσασίασον συνηγάγομεν συμφωνίαν. ἀλλὰ γὰρ τὰ παρ' ἡμῶν σοι ἐπὶ τοσῦτον. εἰ δὲ τὸ σὸν τῆς διανοίας τάχος, καὶ τὸ ἐν Φρονήματι συνετὸν, καὶ τῶν ἱερῶν θεωρημάτων ὁ πλῦτος, καὶ ῥήτωρ τέχνη γλυκύτερά τε καὶ ὑψηλότερα προσεπιθεωροίη, (προσεπιθεωρήσειε δ' ἂν μόνον βελητέη, εἴπερ ἐγὼ τὸν ἐμὸν ἐκ ἀγνοῶ φίλον,) εἰς τὸ πληρέσατον ἂν εἴην τὴν ἀμοιβαίαν ἀπειληφὼς χάριν.

ΜΕ. (ρνή.)

Διὰ τί ἐν ταῖς ἐπισολαῖς αὐτῦ Παῦλος ὁ ἀπόσολος προλάτ[illegible]ει τὸ ἴδιον ὄνομα;

Προτάτ[illegible]ει τῶν ἐπισολῶν αὐτῦ Παῦλος ὁ Θεῖος τὸ ὄνομα, μηδὲ διαῤῥᾶαι σόμα χωρὶς τῦ μεμνῆθαι τῆς δεσποτικῆς εὐεργεσίας βελόμενος. καὶ γὰρ αὐτῷ καὶ τὴν κλῆσιν ἡ χάρις ἐκαίνισεν, εἰς Παῦλον τὸν Σαῦλον, ὥσπερ τὲς τρόπες, ἕτω διαμειψαμένη καὶ τὰ ῥήματα. Διό φησι Παῦλος, ὁ καὶ αὐτὴν οἱονεὶ τὴν κλῆσιν ἐκ δεσποτικῆς Φιλοτιμίας φέρων, ὁ πάντα πλετήσας ἀπὸ τῦ Χριτῦ, τὸ ὄνομα, τὴν πίτιν, τὸν πόθον, τὸν δρόμον, τὴν ἀποσολὴν, τὰ πολιτεύματα, εἰκότως τοιγαρῦν καὶ δῆλος Χριτῦ. ὁ γὰρ προῖκα τοσαῦτα λαβὼν, καὶ μηδὲν προκαταθέμενος, πῶς ἐχὶ δῆλος, καὶ εἴ τι ἄλλο, τῦ διὰ τοσέτων τιμήσαντος; Δῆλοι μὲν γὰρ καὶ ἅπαντες ὅσες ὁ δημιεργικὸς λόγος ἐκ μὴ ὄντων εἰς ὕπαρξιν θέμενος, πρὸς τὸν Δεσπότην ὁρᾶν ἀναγκάζει, καὶ τῦ πλάτε τὸ κράτος ἐπίσαθαι. Καὶ γὰρ ἀνάγκη τὸ δημιέργημα δῆλον εἶναι καὶ ὑπεξούσιον τῆς τῦ δεδημιεργηκότος κυριότητος. δῆλον δὲ καὶ ὅσον τῆς τοῦ κρείτονος ἀπολαύει προνοίας, καὶ τῆς ζωῆς ὥσπερ ἐκεῖθεν ἔχει τὴν ὕπαρξιν,

ἔτω καὶ τῆς διαμονῆς τὴν συνέχειαν. Εἶεν δ' ἂν εὐγνωμονέντες δοῦλοι, καὶ οἵτινες τυραννίδος πικρᾶς καὶ χαλεπῆς αἰχμαλωσίας μεγάλοις ἐλευθερωθέντες λύτροις, τὸν λυτρωτὴν ἐπιγράφεσθαι δεσπότην ἐγνώκασιν. Ἀλλ' ὅ γε θεῖος Παῦλος ἐ τέτοις ἑαυτὸν τοῖς τρόποις ὑποδάξαι Χριστῷ μέγα ἐποιεῖτο. κοινά τε γὰρ ταῦτα, καὶ οὐδὲν ἐξαίρετον ἐδὲ θαυμαστὸν ἐνδεικνύμενα. ἑτέροις δὲ μᾶλλον ἑαυτὸν διακοσμεῖ καὶ διαπλάττει δοῦλον, πλείοσί τε καὶ μείζοσι, καὶ τὸ τῆς δουλείας καθαρὸν καὶ ὅλως ἐλεύθερον λαμπρῶς ἐπιδεικνύται. καὶ πρῶτον μὲν, οἷς ἔχει ἰδίως φιλοτιμεῖσθαι, τοῖς δεδομένοις αὐτῷ παρὰ τῆ πλάσῃ χαρίσμασι· δεύτερον, τῷ ἐξηρημένῳ τῶν ἄλλων ἀνθρώπων καὶ διαπύρῳ τῆς εἰς αὐτὸν ἀγαπήσεως· καὶ τρίτον, τῇ ἀπροφασίστῳ τῆς ἀποστολῆς ὑπηρεσίᾳ, καὶ τῷ ἀπαραβλήτῳ δρόμῳ τῆ εὐαγγελικῆ κηρύγματος. τέτοις τῆς αὐτῆ δουλείας ἐλευθέρῳ φρονήματι τὴν ὡς ἀληθῶς ἐμφανίζει εὐγένειαν. καὶ πρός γε τοῖς εἰρημένοις τῇ ἀκριβείᾳ καὶ καθαρότητι τῆ πολιτεύματος, δι' ὧν ἑαυτὸν δοῦλον καὶ σῶμα καὶ ψυχὴν καὶ λογισμὸς καὶ τὰ πάντα τῷ Χριστῷ παρεστήσατο· ἐδαμῆ τὴν ἐκλογὴν αἰσχύνας, ἐδὲ τὴν ἄνωθεν ψῆφον φαυλίσας, πανταχῆ δὲ μᾶλλον θείαν ὡς ἀληθῶς ἀποφήνας, καὶ τοῖς ἔργοις τὴν κρίσιν βεβαιωσάμενος, καὶ μηδὲν λιπὼν, τί δεῖ λέγειν τῶν ἐντολῶν ἀκατόρθωτον, ὅπῃ λαβεῖν ἐστιν, ἃς καὶ ὑπερεβάλετο. Δείκνυται τοιγαροῦν ὁ θαυμάσιος Παῦλος καθ' ἕνα μὲν τρόπον δοῦλος, ὡς τῆς δημιουργικῆς παλάμης φιλοτέχνημα· καθ' ἕτερον δὲ, ὡς τῇ ἐκεῖθεν προνοίᾳ τὴν ὕπαρξιν συνεχόμενος, εἶτα ὡς ἠγορασμένος τῷ δεσποτικῷ αἵματι. λοιπὸν ἐντεῦθεν τὰ ἰδιάζοντα· ἐδὲ γὰρ ἐδὲ μέχρι τέτων ἵσταται, ἐδὲ τοῖς κοινοῖς τὴν αὐτῆ δουλείαν περιγράφει, ἀλλὰ καὶ χαρισμάτων πλῆτον περιβαλλόμενος, ἄλλης δουλείας ζυγῷ καὶ τρόπῳ ἑαυτὸν ὑποζεύγνυσιν· ἀντιδεξιῶσθαι φιλονεικῶν ἐκ εἰωθόσι θεραπείαις τὸν καινοτέραις αὐτὸν φιλοτιμησάμενον χάρισι. καὶ δὴ καὶ ἀντὶ πάντων φιλεῖ τὸν δεσπότην, φίλτρῳ ὑπερβολὴν ἐ λείπων, καὶ μεῖζον ἢ κατὰ λόγον τῆ θαυμάζεσθαι· καὶ πάντα σκύβαλα ἡγεῖται, ἵνα Χριστὸν τὸν ποθέμενον κερδήσῃ. ἀλλὰ καὶ ἀποστέλλεται κήρυξ, καὶ οἰκεμένην πληροῖ τῷ κηρύγματι, ἀπὸ Ἱερουσαλὴμ ἐξ ἀφετηρίᾳ τινὸς πρὸς τὰ τῆς πάντα θραμὼν πέρατα, καὶ μέχρις αὐτῶν τῶν ὠκεανῆ ῥευμάτων σαλπίσας τὸ εὐαγγέλιον. Τοιαύτην δουλείαν ὁ Παῦλος ἠπίσατο, ἐφ' οἷς ἕβδομος δουλείας ἐξανύεται τρόπος, δι' ἧ τῆς ἐν Χριστῷ πολιτείας τὰς θεσμὰς καὶ τὰ νόμιμα καθαρῶς τε καὶ σπουδαίως, καὶ ὡς ἐκ ἄν τις ἕτερος, ἐ τότε, ἐχ ὕστερον, καλῶρθωσέν τε καὶ διεφύλαξεν, ὑποπιάζων τὸ σῶμα καὶ δουλαγωγῶν, μή πως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένηται. Αὗται τῆς δουλείας αἱ θαυμάσιαι καὶ κρείττους ἁπάσης ἐλευθερίας ἰδέαι. ταύτας ἀνέπνει, ταύτας ἐκ ἔλιγε δουλεύων, ταύταις ἐναθλῶν ἐσεμνύνετο. Διὸ καὶ γράφων δοῦλον ἑαυτὸν Ἰησοῦ Χριστοῦ ἀπογράφεται. τοῦτό μοι, φησὶ, τὸ ἀξίωμα. τοῦτο τῆς ἀρχικῆς ἐξουσίας τὸ ἐπίσημον. ἀπὸ τέτε βούλομαι πᾶσι γνωρί-

γνωρίζεθαι. Οἱ μὲν ἐν κόσμῳ ἀναγρεφόμενοι ἀπὸ τῶν ἐν κόσμῳ ἀξιωμάτων δηλῶσθαι βέλονται, ὑπάτους ἑαυτὲς καὶ στρατηγὲς καὶ δημάρχες καὶ τὰ τοιαῦτα ὑπογράφοντες. Παῦλῳ δὲ ἀρκεῖ εἰς μέγεθος καὶ δόξης καὶ ἀρχῆς καὶ ἀξιώματος, τὸ δῆλον εἶναι Χριστοῦ, κἀκεῖθεν μᾶλλον ἢ ἀπό τινος ἄλλε γινώσκεσθαι. Ἀλλ' ἔτω μέντοι τεθεωρήθω ἡ αἰτία τῦ τε προτάτλεσθαι τὴν κλῆσιν τῶν ἐπιστολῶν Παῦλον, καὶ τοῦ διὰ παντὸς δῆλον ἑαυτὸν ἀναγράφειν Χριστῦ.

Τὸ δὲ, ὁρισθέντος Υἱῦ ἐν δυνάμει, καὶ ἑξῆς, τοιαύτην τινά μοι δοκεῖ τὴν θεωρίαν ἔχειν· ὁρισθέντος, φησὶν, οἱονεὶ ἐπιγνωσθέντος, εἰς γνῶσιν ἀνθρώποις ἐληλυθότος. Εἰώθαμεν γὰρ ἢ ὀνόματί τινι καταλαμβάνειν τὰ πράγματα, ἢ διά τινων ὁρικῶν λόγων εἰς τὴν αὐτῶν ἀφικέσθαι ἐπίγνωσιν. Νῦν ἓν ὁρισθέντος φησὶν ἀντὶ τοῦ παρά τινος εἰς υἱοθεσίαν ἀνειλῆφθαι, ἅπαγε, ἐπ' ὅτι τὴν τῦ υἱῦ τῦ Θεῦ προσηγορίαν ἀπό τινος ἐπέσχεν θέσεως, ἀλλ' ὁρισθέντος φησὶν, οἷον τῦ διὰ τῶν περὶ αὐτὸν ἰδιωμάτων ἡμῖν ἐμφανισθέντος, καὶ εἰς γνῶσιν καὶ κατάληψιν, ὡς οἷόν τε ἐστὶν ἀνθρωπίνῃ φύσει, περιελθόντος. Πόθεν ἓν καὶ ἐκ τίνων ὁ τῦ Θεῦ υἱὸς ἀφορίζεται, καὶ τίσιν ἰδιότησι χαρακτηριζόμενος εἰς γνῶσιν ἡμῖν ἔρχεται; Ἐκ προφητικῶν, φησι, χρησμῶν. τῦτο γὰρ παρίστησι διὰ τῦ εἰπεῖν, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτῦ ἐν γραφαῖς ἁγίαις. Δεύτερον ἐκ τῶν δυνάμεων, ἃς ὑπερφυῶς ἐτέλει. τῦ ὁρισθέντος γάρ, φησιν, υἱῦ Θεῦ ἐν δυνάμει. Εἶτα ἐκ τῦ πνεύματος τῦ ἁγίε, ὃ τοῖς εἰς αὐτὸν πεπιστευκόσι ἐχορήγει. ἀλλὰ καὶ ἐκ τῦ ἀναστῆναι αὐτὸν ἐκ σπέρματος τῦ Δαβὶδ γεγεννημένον. Καὶ γὰρ τύτων ἁπάντων ἡ συνδρομὴ διορίζει καὶ ἀποδείκνησιν αὐτὸν τῶν ἄλλων ἁπάντων, ὅσοις κατὰ χάριν γέγονεν υἱὸς ἐπονομασθῆναι· καὶ δείκνυσι καὶ διδάσκει πάντας, αὐτὸν εἶναι τὸν ἀληθῶς καὶ Φύσει υἱὸν τῦ Θεῦ καὶ Θεόν. Ὅθεν δυνατὸν ἂν εἴη, καὶ ἐχὶ πλαγιασμῷ τῶν ῥημάτων μόνον, ἀλλὰ κατ' εὐθείαν αὐτὰ συνείροντας, τὸ ἐξαίρετον τῆς υἱότητος τῦ Χριστῦ καὶ Θεῦ ἡμῶν ἀφορίσαι τε καὶ παραστῆσαι, καὶ τὴν περὶ αὐτῦ γνῶσίν τε καὶ εἴδησιν σαφῆ καὶ καθαρὰν τοῖς πιστοῖς παραχέθαι. οἷον εἴ τις ἐρωτᾴη, τί ἐστιν Χριστὸς, ῥᾴδιον καὶ ἑδὲν ἐργῶδες εἰπεῖν· Χριστός ἐστιν ὁ διὰ τῶν προφητῶν μὲν κροκηρύχθεὶς καὶ γενόμενος κατὰ σάρκα ἐκ σπέρματος Δαβὶδ, ὑπερφυέσι δυνάμεσι καὶ Πνεύματος ἁγίε δαψιλεῖ τε καὶ ἀφθόνῳ χορηγίᾳ τὸ τῶν ἀνθρώπων γένος εὐεργετῶν, καὶ διὰ τῆς οἰκείας ἀναστάσεως τὸν θάνατον μὲν νεκρώσας, καὶ τὸν ᾅδην σκυλεύσας, τὲς ἀπ' αἰῶνος δὲ συναναστήσας ἑαυτῷ νεκρές. ἔτός ἐστιν ὁ Χριστὸς, ἔτος ὁ τῦ Θεῦ υἱὸς καὶ Θεός. εἰς τύτο τὸ εὐαγγέλιον Παῦλος ἀφωρισμένος ἐγένετο. τῦτο παρίστησιν ἡ τῦ ὁρισθέντος υἱῦ Θεῦ φωνή. πρόσθες, εἰ βέλει, πρὸς ἐξάπλωσιν καὶ δήλωσιν σαφεστέραν· δι' ἣ καὶ Παῦλος ἔλαβε χάριν ἀποστολῆς ἔθνη βάρβαρα πεῖσαι, καὶ παρασκευάσαι ὑπακῦσαι τῇ πίστει τῦ Χριστῦ· τελέσιν, εἰς αὐτὸν πιστεῦσαι καὶ λατρεύειν μόνῳ, ὡς ἀληθινῷ Θεῷ, καὶ υἱῷ Θεῦ, ἀφέμενα τῶν πατρῴων

ἐθῶν, καὶ τῆς παλαιᾶς αὐτῶν καὶ δεισιδαίμονος πλάνης.

Τὸ δὲ, καυχάσθω ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ, ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ, τῷ ἱερῷ ῥηθὲν Ἰακώβῳ, ἐ τοῦτο δηλοῖ, ὡς, μεγαλορρημονείτω, μεγαλαυχείτω, ἀλαζονευέσθω. ἐδὲν τούτων. Τίθεται μὲν γὰρ, ὡς ἔθος, τὰ ῥήματα ταῦτα ἐπὶ τῆς τοιαύτης διανοίας, καὶ τὸ πρόχειρον τῆς λέξεως εἰς τοῦτο φέρει. Ἀλλ' ἔν γε νῦν τὸ καυχᾶσθαί φησιν ἀντὶ τοῦ θαῤῥείτω, ἐλπιζέτω. μηδὲ γὰρ ὅτι ταπεινὸς, φησὶν, ἀθυμείτω, ὡς ἐν πενίᾳ τρυχόμενος, ἢ τῇ παρὰ τῶν ἀνθρώπων ἀδοξίᾳ ὑβριζόμενος. καὶ γὰρ καὶ ὁ Κύριος ἡμῶν τοὺς ταπεινοὺς καὶ εὐτελεῖς καὶ πένητας καὶ πτωχοὺς ἐξελέξατο, τοὺς πλουσίους καὶ δόξῃ καὶ γένει μεγαλοφρονοῦντας φρυάττεσθαι λιπών. οὐκ ἂν ὀφείλοι τις ἀθυμεῖν, ὅτι ταπεινὸς, εὐφροσύνης δὲ μᾶλλον πληρέσθω, κοινωνὸν ἑαυτὸν καὶ μέτοχον τοῦ ἀποστολικοῦ χοροῦ διὰ τῆς εὐτελείας καὶ ταπεινότητος ἐνταῦθα. Ἀλλ' ἴσως ἄν τις ὑποφέρων ἐροῖ, ὡς ἁρμόσειε τὸ νῦν εἰρημένον ἐ πρὸς τοὺς ἀρχομένους τότε πιστεύειν, ἀλλὰ μᾶλλον πρὸς τοὺς νῦν πιστούς. οὔπω γὰρ ἐκείνοις λαμπρὸν ἦτο καὶ ἀξιοθαύμαστον τὸ τῶν ἀποστόλων ὑπῆρχεν ἀξίωμα, ὡς ἀπὸ τοῦ κατ' αὐτοὺς παραδείγματος εἰς μίμησιν ἀρετῆς καὶ ζῆλον τοὺς ἄλλους προκαλεῖσθαι. ἐδὲν δὲ ἄρα τοῦτο κωλύει. Καὶ γὰρ καὶ τότε αὐτῶν τὸ τῆς ἀρετῆς μέγεθος χεδὸν ἐδένα ἐλάνθανεν, ὅπου γε καὶ θυσίαις αὐτοὺς ἔνιοι καίτοι τὰ Ἑλλήνων ἔτι θεράζοντες, γεραίρειν καὶ τιμᾶν ἐμελέτησαν. καὶ αὐτὸς δὲ Παῦλος ἐν παῤῥησίᾳ φησὶν· μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. Ὕψος ἔν τοῦ ταπεινοφρονοῦντος ἀνδρὸς ἡ ταπεινοφροσύνη, ἐν ᾗ ἔτως θεραπεύεσθαι δεῖ, καὶ εὐθυμεῖν, καὶ χαρᾶς πληροῦσθαι τὴν ψυχὴν, ὡς εἴ τις ἄλλος τὸν σύμπαντα πλοῦτον καὶ τὴν ἀνθρωπίνην δόξαν εἶη περιβεβλημένος καὶ κατέχων· χειρὶ. Ὁ μὲν γὰρ ἔτω καὶ ἐν τούτοις ταπεινὸς τὸν Θεὸν ὑψοῦντα ἔχει, καὶ ἄνω τιθέντα. Ὁ γὰρ ταπεινῶν ἑαυτόν, φησιν, ὑψωθήσεται· ὁ δ' ἀπεναντίας ὑψούμενος τότε τὸν Θεὸν ἀντιτασσόμενον εὑρήσει, καὶ ταπεινοῦντα, καὶ εἰς γῆν αὐτῷ φυσήματι καὶ ματαίῳ κόμπῳ καταβάλλοντα. Εἶδες ὕψος ἐχάτης αἴτιον ταπεινώσεως, εἶδες ταπείνωσιν εἰς οὐρανὸν ἀναφέρουσαν, πῶς ἐκ ἄν τις εὔθυμος εἴη καὶ καυχήσαιτ' ἂν εἰκότως, τοιούτοις, τοιαύτη καὶ θαῤῥήσει ἐπὶ τῷ ὕψει αὐτοῦ τῆς ταπεινώσεως;

Τί ἔν; οἱ πλούσιοι ταύτης ἐξῄρηνται τῆς ἀναγωγῆς καὶ ὑψώσεως; ἐ τοῦτό φημι, ἐπεὶ καὶ ὁ κοινὸς Δεσπότης ἐ τοὺς πλουσίους ἐκβάλλει τῆς βασιλείας, τοὺς δὲ προστεθηκότας τῷ πλούτῳ, καὶ ταῖς φρονήσεσιν ὅλως πρὸς αὐτὸν νεύσαντας καὶ ἐπτοημένους, οἳ τὴν μέριμναν πᾶσαν τοῖς θησαυροῖς ἐνδησάμενοι ἔχουσιν ὡς ἐν δεσμωτηρίῳ τῇ γῇ καὶ τῷ χρυσῷ κατορωρυγμένας καὶ πεπεδημένας αὐτῶν τὰς ψυχάς. ὧν καὶ τὴν ἄνοιαν σκηπτεύων ὁ Σωτὴρ ἔλεγεν· ὅπου ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν. Τούτοις τοῖς πλουσίοις ἄβατος ἡ οὐράνιος πολιτεία, καὶ εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος διελθεῖν, ἢ τοὺς

τες εἰς τὴν τῶν οὐρανῶν βασιλείαν. Πῶς ἂν εἰσελεύσονται οἱ πλέσιοι, καὶ κλῆρος αὐτοῖς ἔσαι τὰ ἐράνια πολιτεύμαλα; Ἂν μιμῶνται τὸν Ἀβραὰμ, ἂν τὸν Ἰὼβ, ἂν οἰκονόμοι καλοὶ τῦ πλύτυ, ἀλλὰ μὴ μικροὶ καθίσανλαι τύραννοι, ἐδὲν ἔλατλόν τε ὁμοφυῦς ἢ τῆς ἑαυτῶν σωτηρίας πολλοῖς κλείθροις καὶ μοχλοῖς τὴν τῶν πενήτων παραμυθίαν ἐναποκλείονλες. Πόθεν δὲ ὁ πλέσιος εἰς ταύτην τὴν πρᾶξιν ἀφίξεται; καὶ τίς αἰτία καὶ τῦ κατορθώμαλος; ἡ ταπείνωσις, φησιν. Ἐὰν γὰρ ταπεινώσῃ ἑαυλὸν, καὶ ἐ πρὸς Φυσίωσιν ἐπαρθῇ, ἐὸ' εἰς ἀπόνοιαν ἐμπέσῃ τῷ χρυσῷ καὶ πλύτῳ γαυρύμενός τε καὶ διογκύμενος· οἶδεν, ὅτι τύτων ἐδὲν ἐσιν ἴδιον αὐτοῦ, ὅτι πάντα ἐσὶ τῦ Θεῦ, ὅτι ῥᾴον ἐσιν ἀφελέσθαι μὲν αὐτῦ ταῦτα, εἰς ἑτέρας δὲ μετενεγκεῖν, ὅτι ταῦτα δίδονται, ἐχ ἵνα σέρωνλαι τῶν ἀναγκαίων οἱ πλησίον, ἀλλ' ἵνα ἔχοιεν ἐκ τῦ λαβόνλος μεταλαμβάνειν· καὶ μυρία ἄλλα. Καὶ ταῦτα εἰδὼς, καὶ τοῖς λόγοις ἀνελίσσων εὐχαρισεῖ τῷ δοτῆρι. οἶδεν ἑαυτὸν χρεώσην, πείθεται τοῖς τῦ πλάσανλος αὐτὸν καὶ πλυτίσανλος νόμοις, ὡς ἀλλοτρίων τῶν ἰδίων προϊσαται καὶ ταῦτα οἰκονομεῖ, μᾶλλον δὲ ὡς μάλισα ἰδίων. Ἴδια καὶ λογιζόμενος, καὶ ποιύμενος, ὅσα τὲς ὁμοπίσες καὶ ὁμοφυεῖς ἰσχὺν εἴληφε θεραπεύειν, ἕτω πράως τοῖς δεομένοις ἐπαρκῶν, ἕτως φιλανθρώπως, ἕτως οἰκονομικῶς, ὡς τῶν κοινῶν φύλαξ καὶ οἰκονόμος ταχθεὶς ἐκ Θεοῦ. Ὁρᾷς, ὅπως καὶ τὸν πλέσιον ἡ ταπείνωσις λαμπρὸν καὶ ὑψηλὸν καὶ τῆς βασιλείας ἄξιον ἀποφαίνει; διὰ τῦτό φησιν, ὁ δὲ πλέσιος καυχάσθω ἐν τῇ ταπεινώσει αὐτῦ· ἐν ταύτῃ, φησὶν, ἐλπιζέτω τῇ ταπεινώσει· ἐν ταύτῃ θαῤῥείτω, διὰ ταύτης ὑψωθήσεται. Εἰ γὰρ μὴ τῦτό, φησιν, ἀπὸ τῦ πλάσε κερδήσειεν, τί ἄλλο αὐτῷ ἐξ αὐτῦ ἔσαι, ἀπὸ γῆς, ἀπὸ πηλῦ, ἀπὸ ψηφιδίων ἕτω μικρῶν; μᾶλλον δὲ, ὡς ἱερὸς Ἰάκωβος φάναι, ἀπὸ μηδὲν ἄνθες χόρτυ διαφέροντος, ὃ πρὸς ὥραν μὲν ἀνθεῖ, καὶ τέρπει πολλάκις αἴθησιν, ἐπικαίονλος δὲ τῦ ἡλίυ ξηραίνεταί τε καὶ ἀφανίζεται, μηδὲ λείψανον τῆς προτέρας εὐπρεπείας ὑπολειπόμενον. Ὥσπερ ἂν τὸ ἄνθος τῦ χόρτυ, ἐν ᾧ τὸ ὡραῖον προβάλλει, φθείρεται καὶ ἀπόλλυται, ἕτω καὶ ὁ πλέσιος ἐν αὐτῷ τῆς πολυτελείας τῷ ἄνθει μαραίνεται καὶ διόλλυται. μᾶλλον δὲ καὶ τῦ ἐν τῷ χόρτῳ εὑρήσεις αὐτὸν ἀθενέσερόν τε καὶ ἀβρανέσερον. τὸ μὲν γὰρ ἰδίῳ καιρῷ ἀνθεῖ, καὶ ἰδίῳ μαραίνεται· ὁ δὲ πλέσιος ἐν αὐτῇ μάλισα τῇ ἀκμῇ, ὅτε πανλαχόθεν αὐτῷ βλαςάνει καὶ ἀνθεῖ τὰ ἡδέα, καὶ δοκοῦνλα εἶναι λαμπρὰ καὶ ζηλωτὰ, καὶ τῷ ὄγκῳ καὶ τῷ φυσήματι φλεγμαίνων τοῖς πολλοῖς ἐσι φοβερὸς, τότε δὴ, τότε ἀθρόον πολλάκις ἢ θανάτου νόμῳ συλληφθεὶς ἐξ ἀνθρώπων ἀφανίζεται, ἢ ναυάγιον αὐτὸν ποιεῖ ὑποβρύχιον. καὶ τὸ καινὸν καὶ παράδοξον οὐδ' αὐτὸν ἔθ' ὅτε βυθίζοι, ἀλλὰ τὸν χρυσὸν, τὴν αὐτῦ ψυχὴν καὶ ζωὴν, καὶ τύραννος δὲ μᾶλλον ἢ κατ' ἐκεῖνον χεὶρ τὸν πλῦτον ἁρπάσασα, ἔρημον αὐτὸν καὶ τῆς ὀφρύος καὶ τῆς ζωῆς ἐναπέλιπεν, θεραπόντων ἐπιβελαὶ, λῃζῶν ἐνέδρα. τί ἂν τις, οἷς ἐκεῖνος ἁλί-

σκεται καὶ διόλυται, Φέρων ἀριθμῷ δοίη. ἔτω καὶ ἄνθρωπος παθεῖν ὁ τοιοῦτος φαυλότερός τε καὶ ἑτοιμότερος. Ἀλλὰ ταῦτα μὲν, περὶ ὧν ἠρώτησας, ἡ ἐπιστολή σοι διαλέγεται. Σὺ δὲ Χριστῷ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, ἔργοις καὶ δόγμασι δοῦλον σεαυτὸν παρίστα, καὶ τὸν πλοῦτον καλῶς οἰκονομῶν ἐν τῇ τοιαύτῃ πεποιθὼς ἔσο καὶ εὐθύμει ταπεινώσει, καὶ τἄλλα τῇ ψυχῇ καὶ τῷ σώματι ἔρρωσο.

Μς'. (ρξ'.)

Πόσαι Σίβυλλαι γεγόνασι;

Σίβυλλαι μὲν γεγόνασι δέκα, ὧν πρώτη ὄνομα Σαμβήθη, Χαλδαίαν δέ φασιν αὐτὴν οἱ παλαιοὶ λόγοι, οἱ δὲ μᾶλλον Ἑβραίαν· καὶ δὴ καὶ ἑνὶ παίδων τῶν Νῶε εἰς γυναῖκα ἁρμοσθῆναι καὶ συνεισελθεῖν αὐτῷ τε καὶ τοῖς ἄλλοις ἐν τῇ κιβωτῷ. ταύτην καὶ τὰ περὶ τῆς πυργοποιΐας χρησμῳδῆσαί φασι, καὶ ὅσα τοῖς τότο συνέβη τολμήσασι· χρησμῳδῆσαι δὲ πρὸ τῆς διαιρέσεως τῶν γλωσσῶν γεγενημένην γλώσσῃ φασὶ τὰ χρησμῳδηθέντα τῇ ἑβραΐδι· ἃ μὴν δὲ, ἀλλὰ καὶ τὰ κατὰ τὸν Ἀλέξανδρον τὸν Μακεδόνα προειπεῖν, ἧς καὶ μνήμην Νικάνωρ ὁ τὸν Ἀλεξάνδρου βίον ἀναγράψας πεποίηκεν. Δευτέρα δὲ Λίβυσσα, ἧς μνήμην ἐποιήσαλο ἐν τῷ τῆς Λαμίης προλόγῳ Εὐριπίδης. ὄνομα δὲ αὐτῆς οὐ πάνυ σαφηνίζεσιν. Τρίτη Δελφὶς ἡ ἐν Δελφοῖς τεχθεῖσα, περὶ ἧς ἱστόρησε Χρύσιππος. Τετάρτη Ἰταλικὴ, ἡ ἐν ἐρημίᾳ τῆς Ἰταλίας τὴν διατριβὴν λαχοῦσα. Πέμπτη ἡ Ἐρυθραία, ἥτις καὶ τὰ κατὰ τὸν Τρωϊκὸν πόλεμον συναχθέντα προηγόρευσεν, περὶ ἧς Ἀπολλόδωρος ὁ Ἐρυθραῖος διεξέρχεται. Ἕκτη ἡ Σαμία, ἧς τὸ κύριον ὄνομα Φυτώφασιν. Ἑβδόμη ἡ Κυμαία μὲν γένος, ὄνομα δὲ Ἀμάλθεια· οἱ δὲ Ἐρωφίλην φασί· παρά τισι δὲ κλῆσιν ἠνέγκατο Ταραξάνδρα· Βιργίλιος δὲ ὁ Ῥωμαίων ποιητὴς Διϊφόβην αὐτὴν ὀνομάζει. Ὀγδόη ἡ Ἑλλεσποντία, ἥτις ἐν κώμῃ Μαρμισσῷ τὴν γένεσιν ἔσχεν περὶ τὴν πολίχνην Γεργετιόνα· ὑπὸ τὴν ἐνορίαν δὲ αὐτῇ ποτὲ τῆς Τροίας ἐτύγχανεν. Ἐννάτη ἡ Φρυγία. Ἐπὶ πᾶσι δεκάτη ἡ Τιγεστία μὲν γένος, ὄνομα δὲ Ἀλβουναία. Ταύτας φασὶ τῶν φρενῶν ἐξισταμένας τὰ μέλλοντα χρησμῳδεῖν· τῶν ὑπολαμβανόντων δὲ γραφῇ τὰς χρησμὰς, οὐκ ἐχόντων σοφίαν τὰ χρησμῳδούμενα γράφειν ἀπταίστως, ἄλλως τε δὲ καὶ τῷ τάχει τῆς φορᾶς τῶν λόγων ἐκ ἐχόντων καθυπηρετουμένας τὰς χεῖρας, συμβῆναι πολλὰς τῶν χρησμῶν εἰς χωριαμβὰς διαπεσεῖν καὶ μηκέτι τυχεῖν διορθώσεως· ἅτε δὴ τῶν μὲν χρησμῳδῶν γυναίων ἐν ἐκστάσει καθεζομένων, ἐπειδὰν τὴν ὕπαρξιν προηγόρευσον τῶν μελλόντων, πεπαυμένων δὲ τῷ χρησμολογεῖν μηδαμῶς αἴσθησιν ἐχόντων μήτε ὧν ἔλεγον, μήτε τί ἂν βούλοιντο τὰ κεχρησμῳδημένα.

ΜΖ. (ρξ'.)

Ἀμφιλοχίῳ μητροπολίτῃ Κυζίκου.

Ὅπερ Χριστὸς, ὁ Θεὸς ἡμῶν, τῇ Μαγδαληνῇ Μαρίᾳ προσιόντι φησὶ, Μή μου ἅπτου, οὔπω γὰρ ἀναβέβηκα

βηκα πρὸς τὸν πατέρα μου, δοκεῖ μέν πως εἶναι δυσθεώρητον. Τί δέ; ἆρα γὰρ μετὰ τὴν πρὸς τὸν Πατέρα ἄνοδον, τότε μᾶλλον αὐτῇ ἐπιτρέψει τὸ ἐφάπτεσθαι; Τὸ δὲ τοιοῦτόν ἐστιν· οὐκ ἔξεστί σοι, φησὶν, ἐμοῦ ἅπτεσθαι· διὰ τί; οὔπω γάρ σοι δοκῶ πρὸς τὸ παλαιὸν ὕψος ἀναβεβηκέναι, καὶ τῆς ὑπερφυοῦς θεότητος ἀναλαβεῖν τὸ ἀξίωμα· ἀλλ' ἔτι ταπεινὰ λογίζῃ περὶ ἐμοῦ, προσιοῦσά μοι, καὶ τῶν ἀνθρωπίνων μέτρων οὐδὲν ὑψηλότερον· τὸ δὲ, οὐχ ὅτι ἀξίαν οὐ ποιεῖσε τῆς ἐμῆς δόξης ἐφάπτεσθαι, ἀλλὰ καὶ μακρὰν τίθησιν. Καὶ ὅρα, ὅπως τὸ, Μή μου ἅπτου, εἰπὼν, τὸ, Οὔπω γάρ, συνεπήνεγκεν· διδοὺς ἐλπίδας αὐτῇ, ὡς οὐκ εἰς τέλος τοῦ πόθου ἀπελαθήσεσθαι, ἀλλ' ὅτι καὶ μετ' ὀλίγον ἂν ἐσπούδασεν ἐπιτεύξεσθαι· ὡσανεὶ λέγων, μεθ' ἧς μὲν προσέρχῃ μοι γνώμης, οὐκ ἔξεστί σοι προσιέναι μοι· οὐδὲ γὰρ ἂν τύχοις τῆς ἐφέσεως· ἂν δὲ ταῖς ὑψηλοτέραις καὶ θεοπρεπέσι διανοίαις σεαυτὸν ἐπάρῃς τῶν ταπεινῶν, συγχωρηθήσεταί σοι ἡ πρόσοδος, καὶ μειζόνων ἀξιωθήσῃ, ἢ ὧνπερ ἤλπισας. Καὶ γὰρ ἡ μὲν ἐβούλετο, οἷα δὴ καὶ πρότερον, ἀνθρωπικώτερον καὶ κατὰ τὸν τῆς οἰκονομίας τρόπον τῷ Δεσπότῃ συναναστρέφεσθαι. πολλὰ γὰρ τοιαῦτα, καὶ τῷ τάφῳ παρακαθημένη, ἔπραττέ τε καὶ ἐλογίζετο, μύρα φέρουσα, δακρύουσα, μεταθέσιν ὑπονοοῦσα τὴν ἔγερσιν. ὁ δὲ ταύτης αὐτὴν ἀπάγων τῆς ὁρμῆς, καὶ τῶν τοιούτων διακαθαίρων ὑπονοιῶν, ἔτι δὲ καὶ τὸ ἄκαιρον ἐνδεικνὺς καὶ ἀδύνατον τῆς ἐγχειρήσεως, Μή μου ἅπτου, φησὶν, οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου· τετέχθαι, ἃ προσῆκε, τὴν σὴν ἀρέσκειαν τῆς κοινῆς προνοίας προτιμᾷν, καὶ τοῦ τῇ οἰκουμένῃ συμφέροντος· ἀλλὰ τὸν σὸν πόθον ἀφοσιέμενον, τὴν ἐν ἐμοὶ παλαιὰν συνεπισκιάζειν ἔτι θεότητα, καὶ ὡς ἀνθρώπῳ ψιλῷ ἔτι ἀνέχεσθαι προσιέναί μοι. ἦν μὲν γὰρ τῆς συγκαταβάσεως καὶ τῶν ταπεινοτέρων ὁ πρὸ τοῦ σταυροῦ καιρὸς, ὅτε καί σοι παρεχωρεῖτο, τοῖς ταπεινοτέροις λογισμοῖς, οἷον ἀναπαυομένην, ὑποσηρίζεσθαι, καὶ μὴ πρὸς τὰ μείζω καλαρχας καὶ ἀθρόον ἐκβιαζομένην, πάντων ἐκπίπλειν καὶ ὑποσύρεσθαι· νῦν δὲ τῶν ὑψηλοτέρων καὶ θείων ἐφέσηκεν ὁ καιρός. Θάνατος γὰρ εἰς νῖκος καταποθεὶς τεθανάτωται, καὶ ᾅδης, τῶν ἀπ' αἰῶνος νεκρῶν κενωθεὶς, τῆς τυραννίδος ἐκβέβληται, καὶ λαμπρὰ κατὰ πάντων ἐχθρῶν διὰ τῆς ἀναστάσεως ἠγέρθη τὰ τρόπαια. χρὴ τοιγαροῦν καί σε, πρὸς τὰ ὑψηλότερα καὶ θεοπρεπῆ τὸν νοῦν ἀναφέρουσαν, μηκέτι τὰ πρότερα καὶ τὰ τῆς συγκαταβάσεως ἐπιζητεῖν, μηδὲ τοῖς ταπεινοτέροις ἐναπομένειν καὶ συγκαλαφέρεσθαι. τοῦτο δὲ κατορθοῦσα, εὑρήσεις ἕξ ἑτοίμου καὶ οὐ σφαλομένῃ γνώμῃ τὸ ποθούμενον· λαβοῦσα γάρ, ἃς ἔπω εἴληφας, ὀρθὰς ὑπολήψεις, τότε μᾶλλον καὶ τῆς ἐνανθρωπήσεως τὸν ἄρρητον καὶ ὑπερφυᾶ θαυμάσεις τρόπον, καὶ πλέον, ἢ ἐγώ σοι ἀπεῖπον, εὐλαβουμένη ταπεινῶς μοι προσιέναι καὶ ἐφάπτεσθαι, ἀξίως καὶ τῆς ἐμῆς θεότητος καὶ τῆς σῆς ἐντελοῦς πίστεως ἐπιδείξεις τὸν εἰς ἐμὲ πόθον καὶ τὴν εὔνοιαν. Ὅτι γὰρ ἐχὶ τῆς ἐπαφῆς,

προηγε-

προηγουμένῳ λόγῳ καὶ καθ' ἑαυτὸ, τὸ γύναιον ἐκωλύετο, ἀλλ' ὅτι ταπεινοῖς καὶ χαμαιπετέσι λογισμοῖς ἔτι διενοεῖτο προσάπτεσθαι, τεκμηριῶσι σαφῶς καὶ αἱ συναντήσασαι τῷ Δεσπότῃ δύο γυναῖκες, αἷς τό τε Χαίρετε ἡ πάντων χαρὰ λαμπρῶς προσφωνεῖ, καὶ τῶν ἀχράντων ποδῶν τετελειωμέναις καὶ θρεσὶ καὶ χερσὶν ἐφίησιν ἅπτεσθαι. Ἐπεὶ δὲ τέως ἐφάπτεσθαι τὸ γύναιον ἐκεκώλυτο, ἵνα μὴ διαμαρτῶσα τῆς σπουδῆς, εἰς λύπην καὶ λογισμὸς ἐμπέσῃ· εὔκολον γὰρ τὸ θῆλυ γένος πρὸς ὀλιγοψυχίαν καὶ ὑπόνοιαν, ὡς παρεώραμαι, ὡς ἐξουθένημαι, εἶ μοι λοιπὸν, τίς γένωμαι· ἵνα ἓν μὴ πρὸς ταῦτα δράμῃ, προλαβὼν αὐτὴν ὁ Σωτὴρ ψυχαγωγεῖ· καὶ, πορεύου, φησὶ, πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς· δυσὶ τρόποις διὰ τῶν ῥημάτων τούτων τὸν τάραχον ἀπελαύνων τῶν λογισμῶν, καὶ πρὸς εὐθυμίαν αὐτὴν παρακαλῶν· ἑνὶ μὲν, ὅτιπερ αὐτὴν εὐαγγελίσηται ἐχειροτόνει τῆς ἀναστάσεως· ἑτέρῳ δὲ, δι' ὧν τὰ ἴσα καὶ τοῖς μαθηταῖς δι' αὐτῆς ἐκείνης παρεκελεύετο. Καὶ γάρ φησι, καὶ εἰπὲ αὐτοῖς, ἀναβαίνω πρὸς τὸν πατέρα μου· ἵνα εἴπῃ, Μή σε λυπείτω, ὅτι προσάπτεσθαί μου διεκώλυσα· ὃ γὰρ παρορῶν, ἢ ἐνυβρίζων, τοῦτο ἔπραξα· ἀλλ' ἡ τῶν πραγμάτων Φύσις, καὶ τῆς ἐμῆς προνοίας καὶ οἰκονομίας ὁ ἄῤῥητος θεσμὸς, τοῦτο κρατεῖν ἐπὶ πάντων βούλεται· καὶ οὐδὲν ἔζεις ἔλαττον, εἰ μὴ καὶ πλέον, τῆς σῆς σπουδῆς ὑ συντελεσθείσης· ἰδοὺ γάρ σε καὶ κήρυκα πέμπω τοῖς μαθηταῖς τῆς ἐμῆς ἀναστάσεως· κἀκείνοις δὲ τὰ αὐτά σοι διακελεύομαι, εἰδέναι πρὸς τὸν Πατέρα μου ἀναβαίνοντα, καὶ μηκέτι ταῖς προτέραις δόξαις ὑποφέρεσθαι, ταπεινὰ φανταζομένους περὶ ἐμοῦ καὶ ἀνθρώπινα, συνοδοιπορεῖν μοι πάλιν, ὡς τὸ πρίν, καὶ συνδιαφέρειν πόνους καὶ λύπας, συνεχῶς τε ἐπιχωριάζειν καὶ συναλίζεσθαι. Σὺ δέ μοι σκόπει, ὅπως καὶ ἀδελφοὺς, ἐν τοῖς πρὸς τὴν γυναῖκα ῥήμασιν, τοὺς μαθητὰς ἐπωνόμασε, θαῤῥεῖν αὐτὴν διὰ πάντων παρασκευάζων, καὶ μηδὲν λυπηρὸν ὑποδέχεσθαι. ὁ γὰρ τῶν ἀδελφῶν τὴν κλῆσιν τοῖς μαθηταῖς χαριζόμενος, εἶτα ταύτην ἐκείνοις συναριθμῶν, καὶ τῶν ἴσων ἀξιῶν, πᾶσαν αὐτῆς λύπην καὶ ὑποψίας ἐξέβαλε θόρυβον. Σοφῶς δὲ λίαν καὶ θεοπρεπῶς καὶ τὸ, πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, κατὰ διαφορὰν προηνέχθη καὶ διάστασιν· τῶν συλλαβῶν τῷ συνδέσμῳ, τῆς τῶν πραγμάτων διαφορᾶς καὶ ἑτερότητος ἐπιτεινομένης. τῷ μὲν γὰρ ἰδιάζοντι, τὴν Φύσιν ἔδειξε τῷ δὲ κοινῷ, τὴν χάριν ἐμήνυσεν. ὅσον δὲ Φύσις χάριτος καὶ υἱοθεσίας διενήνοχεν, ἐν τοσούτῳ μέτρῳ τῆς ὑπεροχῆς καὶ ἡ πρὸς τὸν ἕνα καὶ μονογενῆ τοῦ Πατρὸς κατ' οὐσίαν σχέσις, τῆς ἐκ Φιλανθρωπίας καὶ οἰκτου πρὸς τοὺς ἄλλους σχέσεως ὑπερανέχει· καὶ ὁ μονογενὴς δὲ, δῆλον ὅτι τῶν πολλῶν υἱῶν καὶ ὑπεριδρυται, ἐς ἣ χάρις ἐκυοφόρησε· διὸ, πατέρα μου εἰπὼν καὶ τὸ γνήσιον τῆς Φύσεως τῷ ἰδιάζοντι ἀφορίσας, καὶ πατέρα ὑμῶν ἐπενήνοχε, τὴν ἐκ Φιλοτιμίας θέσιν καὶ εἰσποίησιν τῶν ἀποστόλων παρασημαίνεσθαι· καὶ τὸ Θεόν μου δὲ, καὶ Θεὸν ὑμῶν, πρὸς τὴν αὐτὴν

βλέπει

Βλέπει διάνειαν, καὶ τῆς αὐτῆς γνώμης ἤρτηται. Διὰ μὲν γὰρ τῦ, Θεόν με, τὸ συγγενὲς τῦ ἑνὸς καὶ οἰκεῖον, περιλαμβανόμενον, ἀνακηρύττεται· διὰ δὲ τῦ, Θεὸν ὑμῶν, τῶν πολλῶν τὸ δοῦλον καὶ ὑπήκοον, καὶ τὸ δεδημιουργῆσθαι, κοινοποιούμενον, ἐπιδείκνυται. Δῆλον γὰρ δῆλον ἅπασιν, ὅτι, ὥσπερ ἐνίοτε τὸ ὑποβεβηκὸς καὶ παρημελημένον, ἢ τὸ ὑπερέχον, διὰ τῆς τῦ ἐμῦ φωνῆς ἐνσημαίνεται· ἕτω πάλιν καὶ τὸ ἴσον καὶ συγγενὲς καὶ γνησιώτατον διὰ τῆς αὐτῆς χαρακτηρίζεται λέξεως. Ἀλλὰ ταῦτα μέν σοι πρὸς ὑποτύπωσιν διεχάραξα, τῆς μὲν ὑποθέσεως ταπεινότερον, τῆς δὲ κατ' ἐπιστολὴν χρείας ἴσως ἐκ ἐνδεέστερον.

ΜΗ. (ρξδ'.)

Θεοδώρῳ ἀδελφῷ.

Παροιμία λέγεται ἐπὶ τῶν σφόδρα λυπουμένων καὶ ἀγωνιώντων, Αἵματι ἴδρωσεν· ὥσπερ καὶ ἐπὶ τῶν πικρῶς ὀδυρομένων, Αἵματι κλαίει. Εἰ μὲν ἔν, κατὰ τῦτόν τις πεπαρᾴδῆσθαι νομίσοι τὸν τρόπον (ἐδὲ γὰρ τῶν τοιούτων μαθημάτων ὁ ἀνὴρ ἀνήκοος) καὶ τὸ παρὰ τῷ Θεσπεσίῳ Λουκᾷ εἰρημένον, Ἐγένετο δὲ ὁ ἱδρὼς αὐτῦ ὡσεὶ θρόμβοι αἵματος· ἔχεις τὸ ζήτημα. Εἰ δὲ περιεργότερον ἐπινενοῆσθαί σοι τῦτο δόξει· ἀλλ' ἔν ἐκεῖνο αὐτόθεν ἔχει τὸ εὔκολον, ὅτι, ὡσεὶ θρόμβοι αἵματος, εἰπὼν, οὐ θρόμβους ἱδρῶσαι ἀπεφήναλο αἵματος· ἐ γὰρ ἂν καθ' ὁμοιότητα τούτων εἰρήκει γενέσθαι τὸς ἱδρῶτας· τῦτο γὰρ σαφῶς δηλονότι τὸ ὡσεὶ θρόμβοι παρίσησι· θέλων δὲ μᾶλλον δηλῶσαι, ὡς ἐχὶ λεπταῖς τισι νοτίσι, καὶ οἷον ἐνδείξεως χάριν ἐπιφαινομέναις, τὸ δεσποτικὸν ἐνοτίζετο σῶμα, ἀλλ' ὡς ἀληθῶς ἀδρῶν ταγόνων δίκην ὅλον τοῖς ἱδρῶσι περιεξάζετο· τὲς τῶν αἱμάτων θρόμβες εἰς εἰκόνα τῦ γεγενημένε παρείληφεν. Ἐδήλε δὲ ἄρα, ὥσπερ καὶ διὰ τῆς ἐντεταμένης προσευχῆς καὶ τῆς πολλῆς ἀγωνίας, ἕτω καὶ διὰ τῆς τῶν ἱδρώτων παχύτητος, ὡς φύσει καὶ ἀληθῶς, ἀλλ' ἐκ ἐπιδείξει καὶ φαντασίᾳ, ἄνθρωπός τε ἐχρημάτισεν ὁ Σωτὴρ, καὶ τοῖς φυσικοῖς τῶν ἀνθρώπων καὶ ἀδιαβλήτοις ὑπηρετήσατο πάθεσι. Τῦτο γὰρ αὐτὸ καὶ ὁ Δεσπότης ἔργοις παρισᾷ, καὶ ὡς ἐχὶ κατὰ θείαν φύσιν, ἀλλ' ἐν τῇ ἀνθρωπίνῃ τὸ πάθος ἐδέξατο, καὶ προσηύξαλο, καὶ ἠγωνίασε, καὶ τὲς παχεῖς ἐκείνες, καὶ παραπλησίες αἵματος θρόμβοις, ἱδρῶτας ἐξίδρωσεν. Μηκέτι ἔν σοι τῇ εὐαγγελίᾳ τόδε τὸ χωρίον περικεκόφθαι, κἂν τισι τῶν Σύρων, ὡς ἔφης, δοκεῖ, εὐπρεπὲς νόμιζε· ἀλλ' ὡς ἐδὲν ἀδύναλον, μᾶλλον δὲ καὶ λίαν ἀκόλεθον, ἐν αὐτῷ περιεχόμενον, καλῶς ἐπιγνὲς, τοῖς ἄλλοις συντάσσων θείοις χρησμοῖς, ἀναμφιβόλῳ γνώμῃ συναναγίνωσκε.

ΜΘ. (ρξέ.)

Θεοδώρῳ μητροπολίτῃ Λαοδικείας.

Πολλὰ μὲν εἰπεῖν ἔχων, δι' ὧν ἐστι σαφῶς ἐπιγνῶναι, ὡς ἐχὶ βαρὺς ἐδὲ ἀδύνατος, ἀλλὰ καὶ κῦφος καὶ χρηστὸς, ὁ δεσποτικὸς ἐκεῖνος χρησμὸς, ὁ λέγων,

Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ, ἐκεῖνα τέως κατ' ἐπιτολὴν σοι ἐρῶ. Ὅτι πρῶτον χρεωστοῦμεν οἱ τῆς χάριτος πλέον τι τῶν ἐν νόμῳ βεβιωκότων κατορθοῦν· καὶ οὐχ ὁμοίως πέφυκεν ἑκατέρῳ μέρει βαρὺς τῆς νομοθεσίας ἡ ἀκρίβεια· ἀλλὰ τὸ ἐκείνοις ἴτως δόξαν βαρὺ, ἡμῖν σύμμετρον καὶ ἐλαφρόν· καὶ τὸ ἡμῖν τοιοῦτον ἐκείνοις ὑ τοιοῦτον. Τοῖς μὲν γὰρ μόνον ἀπέτρεπεν ὁ νόμος, ἃ μὴ θέμις ποιεῖν· δύναμιν δὲ ἐδεμίαν ἐχαρίζετο πρὸς τὴν τῶν νομοθετηθέντων ἐκπλήρωσιν. Ἡμῖν δὲ μεγάλη γέγονεν ἡ διὰ τοῦ βαπτίσματος καὶ τῶν ἄλλων δωρεῶν ἐπικουρία, κυφίζουσα χεδὸν ἅπαν τὸ δυχερὲς, καὶ τῶν πονηρῶν πνευμάτων τὴν ὁρμὴν ἐκ ἐῶσα τυραννίδι καθ' ἡμῶν ἐπιτίθεσθαι· μόνη δὲ τῇ ἡμετέρᾳ ῥᾳθώνῃ, καὶ οἷον ὑποκατακλίσει, παραχωροῦσα αὐτοῖς τὴν ἐπίθεσιν· ὥστε εἰ μή τι ἀκριβέστερον ἡμῖν, ἥπερ ἐκείνοις, ἐνενομοθέτητο, εἰς τἐναντίον ἂν ἡ τοῦ Θεοῦ δικαιοσύνη καὶ χρηστότης περιέῤῥαπτο, ἡμῶν τε τῶν μεγίστης ἐπικουρείας τυχόντων, κἀκείνων τῶν μηδεμιᾶς τοιαύτης ἀπολελαυκότων, τὴν αὐτὴν ἀκρίβειαν καὶ τὸ τῆς πολιτείας παραπλήσιον ἀπαιτουμένων, καὶ ἐν τῷ ἀνίσῳ τῆς δυνάμεως τῆς ἴσης ἐπιζητουμένης πράξεως. ὥσπερ γὰρ ἄδικόν τε ὁμοῦ καὶ βαρύτατον, τὸν δύο τάλαντα εἰληφότα, ἐπὶ τῇ συντελείᾳ τῆς ἐργασίας, δέκα ἀπαιτεῖν· ἔτως ὀλίγωρον καὶ ἐκ τοῦ ἐναντίου παράνομον, τὸν πέντε τάλαντα λαβόντα, εἰς τέσσαρα τὴν ὅλην πρᾶξιν συγκεφαλαιωσάμενον, ἀποδέχεσθαι· ἀλλ' ἕκαστον δεῖ ἀναλόγως τῇ ἰσχύϊ, καὶ τῷ καταβληθέντι χαρίσματι, τὴν ἐργασίαν εἰσπράττεσθαι· τοιοῦτος γὰρ τῆς ἰσότητος καὶ τῆς ἀδεκάστου γνώμης καὶ κρίσεως ὁ θεσμός. Δῆλον τοιγαροῦν ἐκ τῶν εἰρημένων, ὡς τοιοῦτον παρ' ἡμῖν ὀφείλει νομίζεσθαι τὸ μηδὲ ἐμβλέψαι γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν, οἷον παρὰ τοῖς ἐν τῷ νόμῳ τὸ μὴ μοιχεῦσαι· καὶ ἐχὶ μόνον τῶν λόγων τὸ ἀψευδὲς καὶ ἀκόλαθον ἐπιμαρτύρεται τοῦτο, ἀλλὰ καὶ διὰ τῶν ἔργων αὐτῶν ἐναργῶς ὁρᾶται. Οὐ πλείους γάρ ἐσιν ἰδεῖν τῶν Μωσαϊκῶν, τὴν πρᾶξιν πεφυγότας, ἢ τὲς ἐν τῇ χάριτι καὶ τῶν πρὸς τὴν πρᾶξιν ὠθέντων ἀνακεχωρηκότας· ὅπερ γε πλεῖσοι ὅσοι τῶν παρ' ἡμῖν ὑ μόνον περιέργως καὶ ἐρωτιῶντας ὀφθαλμὲς ξένοις κάλλεσιν ἔκ ἐπέβαλλον, ἀλλ' ἐδὲ εἰς ὄψιν ἁπλῶς γυναικὸς ἐνιτένισαν, μέχρι ψιλῆς θεᾶς ἑαυτοῖς τὸ σεμνὸν συντηρήσαντες. Δεύτερον δὲ, ὅτι τοῖς μὲν ὑπὸ τῷ νόμῳ παιδαγωγεμένοις, τὰ προστεταγμένα κατορθοῦσιν, τὰ ἀγαθὰ τῆς γῆς, ἆθλον προὐτείνετο· ἡμῖν δὲ βασιλεία ἐρανῶν, καὶ ἃ ὀφθαλμὸς ἐκ εἶδε, καὶ ἃ, ἐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπῳ οὐκ ἀναβέβηκεν. ὥστε καὶ ἐκ τῆς τῶν ἐπάθλων διαφορᾶς, τὸ ῥᾴῳον καὶ χρηστὸν τῆς εὐαγγελικῆς ἐντολῆς ἐπιδείκνυται. Οὐ γὰρ ὁμοίως ἐπίπονον, δραμόντα σάδιον τυχεῖν κοτίνου, καὶ δύο σάδια χρυσοῦ στεφάνου ἀξιωθῆναι. Δῆλον γὰρ, ὡς κυφότερος ὁ τῶν δύο σαδίων πόνος, ἢ ὁ τοῦ ἑνὸς, τῇ ἀσυγκρίτῳ τοῦ ἐπάθλου ὑπεροχῇ καὶ λαμπρότητι τῆς ταλαιπωρίας κυφιζομένης, καὶ μηδ' αἴσθησιν

ἐπιγί-

ἐπιγίνεσθαι συγχωρεῖντος τῆς διπλῆς συντριβῆς καὶ τῶν διπλῶν ἱδρώτων τῷ κάμνοντι. Ἐπὶ τούτοις δὲ ἐδὲ μοιχείαν ἁπλῶς τὴν τοιαύτην διὰ τῶν ὀφθαλμῶν συμπλοκὴν διωρίσατο· ἀλλὰ μοιχείαν εἰπὼν ἐν καρδίᾳ, καὶ τὸ δοκεῖν σφοδρὸν τῆς ἀποφάσεως, καὶ ἀπότομον, νόμῳ συμπαθείας ἀφῆτε ἔκοψεν. Ἐν καρδίᾳ, φησὶν, ἡ μοιχεία συνέστη, ἣν ὁ διὰ τῶν ὀμμάτων οἶστρος καὶ γαργαλισμὸς κατειργάσατο· ὅπως ἄν τις φιλανθρωπότερον, ἢ ἔτως εἴποι; Ἔβριψας ὄμμα πορνικὸν ἐπὶ πρόσωπον γυναικὸς ἀλλοτρίας· ἐνετρύφησας, ἐκ ἔξον, ἀσελγεῖ καὶ ξένῳ θεάματι· βλέμμασιν ὑγροτέροις τὸν ἰὸν τῶ πάθους ψυχαῖς ἐνέσαξας ἀπαλωτέραις· ἀνῆψας ἐκεῖθεν, σφοδροτέραν λοιπὸν καὶ ἀκάθεκτον, ἐν τοῖς λογισμοῖς τὴν φλόγα· μέχρι καρδίας ἡ πύρωσις διῆλθεν· εὐκαιρία μόνη πρὸς τὴν πρᾶξιν λείπει· πῶς ἐκ ἐμοίχευσας ἐν καρδίᾳ; ἀλλ' εἴποι μὲν ἴσως ἄλλος ἄν τις, ὡς καὶ μοιχείαν τελείαν εἰργάσω, ἂν εἰς τὴν ἑαυτῦ σε μάλιστα συνήθετο τοῦτο δεδρακότα· φιλεῖ γὰρ ἕκαστος, ὥσπερ, ὅσα μὲν αὐτὸς εἰς ἄλλους ἥμαρτε, μέτρια ποιεῖν καὶ βραδύτερον ἐπισκοπεῖν· ἔτως ὀξύτερον τὸ εἰς ἑαυτὸν ἀδίκημα βλέπειν, καὶ τότε γενέσθαι τῦ ἀκριδικοῦ. Ἐπέβαλες ὀφθαλμοῖς ὄψεσιν ἀλλοτρίαις, πορνικὰς δι' αὐτῶν ἐκπέμπων ἀκτῖνας· ἀντανεκλάθησάν σοι πάλιν ἐκεῖθεν μιαρωτέραι βολίδες· ὅλον, ἐκ μέσης δεσμήσας καρδίας, ἀγχμάλωτον ἕλκεις τὸ ζῶον, τοῖς αὐτοῖς ἀνθελκόμενος βρόχοις· ἐτρώθης, ἔτρωσας· κατεβλήθης, κατέβαλες. Πῶς ἐχὶ σαφῆς τοῦτο μοιχεία; ἀλλ' ἐχ ὁ φιλάνθρωπος ἡμῶν Θεὸς ἔτως, ἀλλὰ μέχρι καρδίας, ἐν ᾗ καὶ τὸ πάθος ὑπέστη, περιγράφει τὴν ἁμαρτίαν· Ἐμοίχευσας γάρ, φησιν, ἐν καρδίᾳ. Ὁρᾷς, ὅπως χρηστῶς, ὅπως κάφως πάντα γνωματεύει; ὅπως ἡμῶν φείδεται; Πρὸς δὲ τοῖς εἰρημένοις καὶ κεῖνο λογίζε· ὅτι ἐχὶ τιμωρίαν ἡμῖν ἐτινοῶν, ἀλλὰ τιμωριῶν ἐξαιρέμενος, ταύτην ἀνεῖπε τὴν γνώμην. Ὁ γὰρ τοῖς τοιούτοις ἐμφιλοχωρῶν ἀτόποις θεάμασιν, ἐγγύς ἐστι καὶ πρὸς αὐτὴν τὴν πρᾶξιν ὅλως βαπτισθῆναι. Ἵνα ἕν ἡμᾶς ἐξέληται τῦ κολασθῆναι, προαναστέλλει τὰς αἰτίας τῶν, ἐφ' οἷς εἰσπραττόμεθα τὰς τιμωρίας. Ἴδοις δ' ἂν μᾶλλον ἐπισκοπέμενος, ὡς ἐχὶ ποινὴν ἀδυσώπητον, ἐδὲ τιμωρίαν ἀλογοθέτητον, ψυχαγωγίαν δὲ μᾶλλον φιλάνθρωπον, καὶ χειραγωγίαν σωτήριον, διὰ ταύτης ἡμῶν τῆς ἐντολῆς μεθοδεύει. πῶς; ἐπεὶ γὰρ, οἷα πολλὰ τὰ ἀνθρώπινα, καὶ χωρὶς μελέτης καὶ περιεργίας, εἰς ἀτόπους ἐκφερόμεθα πράξεις· ἵνα ἐπειδὰν μηδὲν προμεμελετηκότες, μηδὲ τοῖς λογισμοῖς τὸ πάθος σηλώσαντες, κατά τινα δὲ βίαν, ἢ συναρπαγὴν, ἢ δόλον, εἰς τοιαύτην παραλογισθήσωμεν πρᾶξιν, τηνικαῦτα μὴ καταπέσωμεν παντελῶς, μηδ' εἰς ἀπόγνωσιν ἑαυτὸς ἀποῤῥίψωμεν· ἀλλ' ἐννοοῦντες, ὅτι μήτε μελέτης, μήτε σπουδῆς, μήτε λογισμῶν, συγκαταθέσεως προηγησαμένης, τῷ πλώματι παρεσύρημεν, θᾶττόν τε αὐτὸς ἐκεῖθεν ἀνασήσωμεν, καὶ πρὸς μετάνοιαν δράμωμεν, μεγάλην ἐφευρηκότες

τος ἀφορμὴν συγγνώμης, τὸ μὴ μετὰ γνώμης πεσεῖν. Ἵνα ἂν τούτοις τοῖς λογισμοῖς, ἐπεισδ' ἂν ἐξ ἐπιδρομῆς, ἢ τέχνης τινὸς διαβολικῆς, ἢ καὶ τυραννίδος ἁλῶμεν, ψυχαγωγεῖν ἔχωμεν ἑαυτὲς, καὶ προθυμώτερον πρὸς τὴν διόρθωσιν εὐθυδρομῶμεν, ταύτην ὁ Σωτὴρ ἀπεφήνατο τὴν γνώμην· ἐν τῇ τῶν χειρόνων αἱρέσει, καὶ τῶν λογισμῶν τῇ συγκαταθέσει, ἀλλ' ἐκ ἐν τῇ πράξει μόνῃ, τὸ τῆς ἁμαρτίας περισήσας. Τοῦτο δὲ ἐ βαρύνοντός ἐστι, δίχα λόγε, τὸ συνειδὸς τῶν ἁμαρταινόντων· ἀλλὰ βεβαρημένην, τῶν ἐκ μελέτης ἁλόντων, ἀνακεφίζοντος τὴν συνείδησιν καὶ παρηγορεῖντος. ὥσπερ γὰρ τοῖς δι' ἐκείνων προελθεῖσι τῶν ἐρεθισμάτων, μέγα καὶ δύσοιστον τὸ καταίκριμα. (τί γὰρ ἐμελέτας; τί δ' ἀνηρέθιζες τὰ πάθη; καὶ τῆς φαύλης αἱρέσεως ὅλον σεαυτὸν ἐποίεις, ἑκὼν ἀποσὰς τῶν κρειττόνων, καίτοι τὸ θέλειν τὰ ἀμείνω ῥᾷον; παράκειται γὰρ καὶ ἐν ἑτοίμῳ πᾶσιν, ὡς καὶ Παῦλος βοᾷ, τὸ τὰ ἀγαθὰ θέλειν, καὶ ἐδὲν ἐργῶδες μισεῖν ταναντία.) ἀλλὰ γὰρ ὥσπερ τοῖς τοιέτοις τὸ τῆς κατακρίσεως χαλεπόν· ἔτω τοῖς μὴ διὰ τῶν ὁμοίων παρενεχθεῖσι, προφθάνει τῆς τιμωρίας ἡ φιλανθρωπία· ἐν τῇ ταχινῇ μεταμελείᾳ, ῥᾳδίαν τὴν συγγνώμην καὶ τὴν ἀθώωσιν χαριζομένη. Καὶ ταῦτα μὲν ἐπὶ τοσῦτον. Σὺ δέ μοι καὶ πράξεις ἀτόπους ἐκτρέπου, καὶ εἴδωλα τοῖς λογισμοῖς διὰ περιέργου καὶ ἐμπαθοῦς ὄψεως ἀνιεὰν ἀπέχου, ἵνα σοι καὶ τοῖς τοιούτοις λόγοις ἐντρυφᾷν, ἀλλὰ μὴ δυχεραίνειν, περιγίνοιτο.

Ν. (ρξς΄.)

Κωνσταντίνῳ Πατρικίῳ.

Εὐσέβιος ὁ τῆ Παμφίλε, εἴτε δῦλος, εἴτε συνήθης, ὅτι μὲν Ἀρειανισμῷ ἑάλω, βοῶσι μὲν αὐτῆ τὰ βιβλία· καὶ αὐτὸς δὲ μεταμελόμενος δῆθεν, καὶ ἀκὼν, τὴν νόσον ἀνομολογεῖ· καὶν τῇ μεταμελείᾳ δὲ μᾶλλον ἑαυτὸν δείκνυσιν ἀμεταμέλητον. Οὐ γὰρ ἑαυτὸν ἐκρῆναι τῆς προτέρας κακοδοξίας, δι' ἣν ἐδοξεν ἀπολογεῖσθαι, συνίησιν· ἐδὲ τῇ ἁγίᾳ καὶ οἰκυμενικῇ συμφρονῆσαι συνόδῳ, ἀλλὰ τὲς τῆ ὁμοσίε πρεσβευτὰς αὐτῆ συνελθεῖν τῷ φρονήματι, καὶ συνδιατεθῆναι τῇ γνώμῃ, τερατεύεται· καὶ τοῦτο σαφῶς ἄλλα τε πλείονα παρισῶσι, καὶ ἡ τοῖς Καισαρεῦσιν αὐτῷ γραφεῖσα ἐπιστολή. Ἀλλ' ὅτι μὲν ἀπαρχῆς τὰς Ἀρειανικὰς δόξας ὑπέθαλπε, καὶ μέχρι τέλες ἐ διέλιπε περιέπων, πολλοί τε συνεπίσανται, καὶ ῥᾴδιον ἐστι λαβεῖν πολλαχόθεν· ὅτι δὲ καὶ τῆς Ὠριγένες νόσε μετέσχεν, ἣν κατὰ τῆς κοινῆς ἡμῶν ἐκεῖνος ἐνέσησεν ἀναζάσεως, εἰ καὶ τὲς πολλὲς ὑπελαθάνει, ἀλλ' ἔν αὐτὸς σὺν ἐρεύνῃ τὲς ἐκείνε λόγες ἀναλεγόμενος, ἐδὲν ἔλαττον αὐτὸν τῷ ὀλεθρίῳ τέτῳ ἀρρωσήμαλι, ταῖς Ἀρειανικαῖς μανίαις, κεκραπημένον ὄψῃ.

ΝΑ. (ρπέ.)

Τί ἰδόντες οἱ ποιμένες διεγνώρισαν περὶ τῆ λαληθέντος αὐτοῖς παιδίε; Αὐτοψίᾳ τὰ εὐηγγελισμένα λαβόντες, καὶ τῷ θαύματι τῆς ἀληθείας κατεχόμενοι, ἐκ ἀπέκρυψαν τοῖς πυνθανο-

θανομένοις τὴν αἰτίαν. ἀλλ', ἅπερ τε πρότερον ἐθεάσαντο, καὶ ὧν ἀκοῇ τὴν γνῶσιν ἔσχον, παρ' αὐτῶ τε τῶ εὐαγγελιζομένω ἀγγέλω καὶ κήρυκος, καὶ παρὰ τῆς ἄλλης ἀγγελικῆς καὶ ὑμνολόγω στρατιᾶς, ταῦτα πάντα τοῖς παροῦσιν ἀπεκάλυπτον καὶ ἀνεκήρυττον. Οὐ γὰρ μόνον τῇ Μαρίᾳ καὶ τῷ Ἰωσὴφ τὰ ὑπὲρ λόγον αὐτοῖς τεθεαμένα ἀπήγγελλον, ἀλλὰ μετ' ἐκείνους καὶ τοὺς ἄλλους ἅπαντας, ὅσοις ἦν ἐντυχεῖν, κοινωνοὺς τῶν ὑπερφυῶν θεαμάτων καὶ ἀκουσμάτων διὰ τῆς διηγήσεως παρελάμβανον. Καὶ αὐτίκα ἡ πόλις ἡ Βηθλεὲμ ἀνεπέπλητο, πλησίον γὰρ ἦν, τῶ τε σωτηρίω τόκω τὴν ἀλήθειαν καὶ τῆς ἐξ οὐρανῶν μαρτυρίας τὴν ἀκρίβειαν, τῶν θεοσόφων ἐκείνων ποιμένων προθύμως πάντα διηγουμένων, καὶ τὸ φρικῶδες τῶ θαύματος ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐναφιέντων. Καὶ γάρ, φησι, πάντες οἱ ἀκούσαντες ἐθαύμαζον περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς. Πῶς γὰρ οὐκ ἦν θαυμάζειν τὸν ἐν οὐρανοῖς ἐπὶ γῆς ὁρᾶν, καὶ τὴν τε γῆν τοῖς οὐρανοῖς διὰ τῆς εἰρήνης συνάπτοντα, καὶ τὰ οὐράνια τὴν γῆν οἰκειούμενα; μᾶλλον δὲ τὸ ἄφραστον ἐκεῖνο βρέφος, τῇ μὲν θεότητι τὰ οὐράνια, τῇ δὲ ἀνθρωπότητι τὰ ἐπίγεια συνάπτον ἀλλήλοις, ἐκ τῆς οἰκείας συναφείας, καὶ τὴν πρὸς ἄλληλα εἰρήνην θαυμασίαν τινὰ καὶ ὑπὲρ λόγον ἐπερυτάνευεν. ὃ καὶ καθορῶσαι αἱ οὐράνιαι στρατιαὶ τὸ, δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, μετὰ τῆς πνευματικῆς χορείας ἀνέμελπον.

Ἀλλὰ τὸ μὲν τῶν ποιμένων ἔργον καὶ τὸ κήρυγμα καὶ ὁ δρόμος ἐν τούτοις Ἡ δὲ Μαρία, φησὶν, συνετήρει τὰ ῥήματα ταῦτα συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς. ποῖα ῥήματα; τὰ τῦ ἀρχαγγέλω Γαβριὴλ, τὰ τῦ Ζαχαρίᾳ, τὰ τῆς Ἐλισάβετ, τὰ τῶν ποιμένων, οἷς ὁ ἄγγελος αὐτὸς ἐκόμιζεν εὐαγγελια, καὶ τὰ τάγματα τῶν ἀγγέλων, ἃ διὰ τῆς ὑμνολογίας τὴν πίστιν τοῖς εὐαγγελίοις βεβαιοτέραν παρείχοντο. ἀλλὰ τίσι τὰ ῥήματα ταῦτα συνέβαλλεν ἐν τῇ καρδίᾳ αὐτῆς, ἢ δῆλον ὅτι τοῖς ἔργοις, ὧν τὴν πεῖραν εἶχεν; τῇ ἀσπόρω συλλήψει, τῇ ἀνωδίνω κυήσει, τῶ ἀδιαφθόρω τόκω; Τοῖς ἓν καθ' ἑαυτὴν ἔργοις τὸς λόγους συμβάλλουσα Θεὸν ὁμολογεῖν τὸν γεννηθέντα τὴν κρίσιν ὀρθὴν ἀνεδέχετο. οἱ μέντοι ποιμένες τὸ τελευταῖον, ὧν εἶδον παραδόξων, θεασάμενοι καὶ τὴν ψυχὴν χαρᾶς πληρωθέντες ὑπέστρεφον, δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν, οἷς ἤκουσαν καὶ εἶδον, καθὼς ἐλαλήθη αὐτοῖς.

NB. (ρπε΄.)

Ἆρα ἱερεὺς ἦν Συμεὼν, ὁ τὸν Κύριον ἡμῶν Ἰησῦν Χριστὸν δεξάμενος ἐν ἀγκάλαις;

Οὐκ ἦν ἱερεὺς ὁ Συμεὼν, τῶν δὲ ἱερέων ταῖς ἀρεταῖς πολλὰ προεῖχεν. Διὸ καὶ ὁ μὲν ἱερεὺς, ἅπερ ἐπὶ τῦ βρέφους πράττειν ὁ νόμος ἐκέλευεν, τούτοις ὑπηρέτει· ὁ δὲ Συμεὼν τοῖς τε ἄλλοις κατορθώμασι καὶ τῇ πρεσβυτικῇ βεβηκὼς πολιᾷ κατὰ τὸς θείους χρησμὸς τῆς ἀπολαύσεως ἠξιῦτο. ἐπέγνω τὸν κηρυσσόμενον, τῶν χρησμῶν ἑώρα τὴν

ἀλήθειαν, ἀγκάλαις ἔφερεν τὸν φέροντα πάντα τῷ ῥήματι. καὶ τῆς τοῦ γένους σωτηρίας ἐν ὄψει καταστὰς, καὶ θειοτέρας ἀναπλησθεὶς ἡδονῆς, ἐκ ἔτι τῷ ζῆν περιείχετο, αὐτίκα δὲ μᾶλλον τῆς σωτηρίας ἐφεξώσης καταλιπεῖν μὲν ἐπόθει τὸ σαρκίον, εὐαγγελίσασθαι δὲ καὶ τοῖς ἐν ᾅδου τὴν σωτηρίαν καὶ τὴν ἀπολύτρωσιν. καὶ τὸν Θεὸν μὲν εὐλόγει, τελέσι δι' ἐπαίνων καὶ δοξολογίας ἤγεν. εὐλόγει δὲ, τά τε ἄλλα, καὶ διότι τὰς πρὸς αὐτὸν ὑποχέσεις εἰς ἀλήθειαν ἔβλεπε προελθέσας, καὶ τὴν τῷ Ἰσραὴλ παράκλησιν ὀφθαλμοῖς τε καθορᾶν ἠξιῶτο, καὶ χερσὶ φέρειν. Καὶ χαρᾶς ἐπὶ τούτοις ἱερᾶς πεπληρωμένος, Νῦν, φησὶν, ἀπολύεις τὸν δοῦλόν σε, Δέσποτα, κατὰ τὸ ῥῆμά σε, ἐν εἰρήνῃ. Νῦν, φησιν, ἐπεὶ τὸ τέλος ἔχω τῶν ἐπηγγελμένων, ἐχέτω τοῦτο καὶ ὁ ἐπίκηρος βίος. Τὸ γὰρ σόν μοι ῥῆμα ταῦτα προανεφώνει. καὶ γὰρ, τῷ μὴ ἰδεῖν με θάνατον, πρὶν ἰδεῖν τὸν Χριστὸν Κυρίε, αὐτός μοι πάλαι τὰ εὐαγγέλια παρέχες. ἐπεὶ δὲ εἰς ἐμὰς ὀφθαλμὰς ἦκεν, ἃ ἐπόθουν, ἃ ἐζήτουν, ὧν ἐγλιχόμην, νῦν ἀπολύεις τὸν δοῦλόν σε, οὔτε πρὸς τὴν πεῖραν ταραττόμενον τῷ θανάτῳ, οὔτε λογισμοῖς θορυβούμενον ἀμφιβολίας, ἀλλ' ἐν εἰρήνῃ βαθείᾳ καὶ πολλὴν τὴν εὐφροσύνην πηγαζούσῃ· καὶ γὰρ τὸ σωτήριον πάντων τῶν λαῶν εἶδον. Καὶ ὅρα τὴν ἀκρίβειαν τοῦ θείου καὶ ἱεροῦ γέροντος. Πρὶν ἢ μὲν τοῦ μακαρίου θεάματος καταξιωθῇ, παράκλησιν προσεδέχετο τῷ Ἰσραὴλ. Ἐπεὶ δὲ ἐγγὺς τῆς ἐλπίδος γέγονε καὶ τῆς ἐπιθυμίας, ἐκέτι τῷ Ἰσραὴλ ἀνακράζει παράκλησιν ἰδεῖν, ἀλλὰ πάντων σωτηρίαν τῶν λαῶν. καὶ γάρ, φησιν, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν. ὅτως αὐτὸν περιήστραψεν ἡ ἐν τῷ βρέφει καθορωμένη ἀπόῤῥητος καὶ ὑπὲρ λόγον ἄγλη, ὡς τὰ προϊόντος τοῦ χρόνου καὶ κατὰ μικρὸν ἀνακαλυφθέντα, ἐκείνῳ καὶ τηνικαῦτα καὶ εἰς γνῶσιν ἀθρόον ἐλθεῖν. Καὶ ἵνα μηδὲ χώραν τινὶ παράσχοι, πάντας λαοὺς καλεῖν τοὺς ἐν τῷ Ἰουδαίων ἔθνει, ἐπάγει τὰ ἑπόμενα. Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, ἀντὶ τοῦ· μηδεὶς με νῦν οἰηθείη πάντα καλεῖν τὸν Ἰουδαϊκὸν λαὸν, ἀλλὰ σύμπαν τὸ γένος διὰ ταύτης μηνύω τῆς φωνῆς. καὶ γὰρ σωτηρίαν καὶ ἀπολύτρωσις ἔσαι πάντων ἔτος, ὃν ἐγὼ τεθέαμαι καὶ ἐν ἀγκάλαις φέρω. Καὶ ἐδὲ μέχρι τότε ἠρκέθη, ἀλλ' ἀντιδιαστέλλων τὸν Ἰσραὴλ, πάντα τὰ ἔθνη ἐπισυνάπτει, Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ. εἷον, κοινὴ μέν ἐστι σωτηρία τὸ ἀγκαλοφορούμενον βρέφος τοῖς ἔθνεσι πᾶσι καὶ τῷ Ἰσραήλ. ἀλλὰ τοῖς μὲν φῶς, ὅτι τοῦ σκότους ἐξάγει τῆς εἰδωλολατρείας. τῷ δὲ δόξα, ὅτι τὰ τούτοις πάλαι νόμιμα δοθέντα, ἃ διὰ τῆς εἰδωλικῆς ἀπεκαθαίροντο ἀχλύος, εἰς δόξαν καὶ τελειότητα μεταβαλεῖ. καὶ ἄλλως δὲ δόξα τοῦ Ἰσραηλιτικοῦ λαοῦ ὁ τεχθεὶς, ἅτε δὴ ἐκ σπέρματος τοῦ Ἀβραὰμ ἄνθρωπος γεγονώς. μικρῷ δὲ καὶ Ἡσαΐας ὁ προφήτης τὰ αὐτὰ προανακράζει, λέγων, ἰδὲ, τέθεικά σε εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμὰς τυφλῶν, τετέσι παρασχεῖν ὁρᾶν καὶ διαστεῖλαι τὸ φῶς ἐκ τοῦ σκότους καὶ τὴν ἀλήθειαν

ἐκ

ἐκ τῦ ψεύδες, καὶ τὴν εὐσέβειαν ἀπὸ τῆς πλάνης. Διὸ καὶ ὁ Δαβὶδ ταύτην κροτῶν, οἱονεὶ χωρεύων καὶ ἀνακηρύττων τὴν σωτηρίαν, πάντα ἔθνη, φησὶ, κροτήσατε χεῖρας, ὅτι Κύριος ὕψιστος φοβερὸς βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Εἰ δὲ λαὸς τῦ Χριστῦ καὶ λέγεται καὶ ἔστιν ὁ Ἰσραὴλ, πρὸς τὰ ἔθνη διαστελλόμενος, διαστέλλεται δὲ πάντως τοῖς τε Μωσαϊκοῖς νόμοις καὶ τοῖς ἔθνεσι, δῆλον, ὅτι, κἂν μήπω τῆς χάριτος ἀπήλαυσεν καὶ ἐντὸς ταύτης ἐχρημάτισεν, λαὸς καὶ ἔτός ἐστι τοῦ Χριστοῦ. Εἰ δὲ ὁ ἐν τῇ παλαιᾷ διαθήκῃ λαὸς τῦ Χριστῦ ἐστι λαός· πῶς ἐκ ἐμφράττεται τὰ ἀπύλωτα σώματα, τὰ ἀπὸ Μάνεντος εἰς ἑτέραν τέτες παραπέμποντα ἀρχήν;

Τῦ μέντοιγε πρεσβύτε Συμεῶνος, θεολογῦντος τὰ εἰρημένα, ἦν, φησιν, Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτῦ θαυμάζοντες ἐπὶ τοῖς λαλεμένοις περὶ αὐτῦ θαυμάζοντες, ἐχ ὅτι νῦν τῶν ὑπὲρ λόγον τὴν γνῶσιν ἐδέχοντο, ἀλλ' ὅτιπερ ἐπὶ τοῖς ὑπερφυῶς προεγνωσμένοις καὶ ταῦτα προσελάμβανον. ὑπερφυῶν γὰρ πραγμάτων γνῶσις, ὁσάκις ἂν εἰς μνήμην ἄγει τὸν ἐγνωκότα, τοσαυλάκις ἐν ταῖς διανοίαις ἀνακαινίζει τὸ θαῦμα. εἶτα συντελέσας ὁ πρεσβύτης τὴν εἰς τὸ θεῖον δοξολογίαν, τρέπεται λοιπὸν ἐπὶ τὴν εὐλογίαν τῶν ἀναγαγόντων τὸ βρέφος. εἶτα ἐκεῖθεν πρὸς μόνην τὴν μητέρα ἀποστρέφει τὸν λόγον. καὶ εὐλόγησεν γὰρ αὐτὲς Συμεών, καὶ εἶπε πρὸς Μαριὰμ τὴν μητέρα αὐτῦ· πρὸς Μαριάμ, φησι, τὴν μητέρα, ἐχὶ πρὸς Ἰωσὴφ τὸν πατέρα αὐτῦ. ἀλλὰ τῆς μὲν εὐλογίας ἀμφοῖν μεταδίδωσι, τὴν δὲ πρόσρησιν τῶν ἀπορρητοτέρων τῇ μητρὶ προσάγει μόνῃ, ἵνα διὰ μὲν τῆς κοινῆς εὐλογίας τῦ χήματος τῶν γεννητόρων μὴ ἀπογυμνώσῃ τὸν Ἰωσὴφ, διὰ δὲ τῶν πρὸς τὴν μητέρα λόγων, τὴν παρθένον ἐκείνε διαστείλας, τὴν ὡς ἀληθῶς ἀνακηρύξῃ μητέρα. εἶτα καὶ τί διαλέγεται πρὸς τὴν μητέρα; ἔτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον. Ὁρᾶς, ὅπως ὅλην τῦ μυστηρίε τὴν οἰκονομίαν συνοπτικῶς πρὸς τὴν παρθένον ἀναφέρει, κἀκείνη ποιεῖται τὴν τότε διήγησιν. Εἰ δέ σοι Φίλον καὶ πρὸς τὰ ἀκόλεθα μετελθεῖν ἀνδρῶν ἱερῶν σεμνολογήματα, τελείαν σοι τῶν ζητεμένων ἡ ἱστορία τὴν λύσιν ἐπιδαψιλεύσοιτο.

ΝΓ. (ρπζ'.)

Τί ἐστιν· ἔτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον κ. ἑξ.

Ἐπειδὴ καὶ τῶν ὑπολοίπων τὴν λύσιν τάχος ἐπεζήτησας, ἡμεῖς σοι καὶ ταύτην, Θεῷ πεποιθότες, παρέξομεν. πῶσιν μὲν ἐνταῦθα τῶν ἐκπεπωκότων τῆς εἰς αὐτὸν πίστεως καὶ εὐσεβείας λέγει, ἀνάστασιν δὲ τῶν ἐπεγνωκότων παραγεγονότα τὸν Σωτῆρα. Τῦτο καὶ ὁ Ἡσαΐας προανεφώνει, λέγων· ἰδὲ τίθημι ἐν Σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλε· καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτὸν ἐ καταισχυνθήσεται. Πίστοιεν δ' ἂν οἱ μὴ πεπιστευκότες εἰς αὐτόν. καὶ πρὸς τὴν ἐν ψυχῇ ἀνάστασιν χειραγωγῦνται οἱ τῆς εἰδωλικῆς, καὶ τῆς

ἄλλης,

ἄλλης, ἐν ᾗ ἐζηρίζοντο πρότερον, πλάνης ἐκπεπλωκότες.

Τὴν αἰτίαν δὲ, δι' ἣν ἡ πτῶσις καὶ ἡ ἀνάστασις ἔπεται, παραδηλοῖ. ἐπεὶ γὰρ τὰ ἐπὶ τῆς οἰκονομίας ἀνθιλέγεται, τοῖς μὲν κατατιθεμένοις ἀνάστασις τὸ μυστήριον γίνεται, τοῖς δὲ ἀντιφθεγγομένοις πτῶσις καὶ ἀπώλεια. τίνα δέ ἐσι τὰ ἀντιλεγόμενα; οἱ μὲν ἀναστάντες πεπιστεύκασιν, ὅτι παρθένος ἔτεκεν καὶ παρθένος ἔμεινεν· οἱ δὲ καταπεσόντες εἰς τὰς ὑλικὰς λογισμὰς, καὶ ἡδὲν τῶν ὑπὲρ φύσιν εἰδέναι θέλοντες, ἃ πάθοντα συνομολογεῖν, ὡς ὁ πλάσας μηδ' ὅλως ἦσαν παρθένον, δύναται καὶ ὑποσᾶσαν παρθένον φυλάττειν, μάλιστά γε τὴν γέννησιν εἰ αὐτὸς ὁ πλάσας ἀναδέχοιτο· ἀντιλέγοιτο δ' ἂν τῶν περὶ οἰκονομίαν καὶ ἄλλα σημεῖα· οἷον τῶν μὲν ἀναστάντων Θεὸν ἀληθῶς καὶ ἄνθρωπον τὸν γεγεννημένον ὑπερφυὲς ποιεμένων μάθημα. Τῶν δὲ πρὸς τὴν ἀνθρωπίνην ἀσθένειαν ἀναφορώντων καὶ μηδ' ὅλως ταύτης ὑψηλότερον ἐπαρθῆναι βελομένων, τὸ μὴ συνομολογεῖν τὸν αὐτὸν Θεόν τε εἶναι, καὶ ἄνθρωπον.

Πολλὰ δὲ καὶ ἄλλα σημεῖα τῆς ἀφράστε τῆ Σωτῆρος ἐπιδημίας εἰς ἀντιλογίαν κατέστη· διεξελθὼν δὲ πρὸς τὴν παρθένον ὁ ἱερὸς Συμεὼν τὰ εἰρημένα, ἀκροτελευτὶ αὐτοῖς ἐπιτίθησιν καὶ τὸ αὐτῆς τῆς παρθένε ἐξ ἀχθηδόνος πάθος, καὶ φησίν· Καὶ σῆ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί. σῆ αὐτῆς, οἷον τῆς πάντα ἀκριβῶς τὰ τῆ μυστηρίε ἐξακριβωσαμένης, ἐδὲ σε Φείσεται τὸ ἀπὸ λύπης πάθος· καὶ γὰρ ὡς ἀσπόρως συνέλαβες, καὶ ὁ τόκος ἄσπορος γέγονεν, καὶ ἡ κύησις ἀνώδινος, καὶ τὰ τῆ Γαβριὴλ εὐαγγέλια, τῶν ποιμένων τὰ διηγήματα, καὶ τὰ μυρία ἄλλα τῶν θαυμάτων καὶ ἐξαίρετα, ἐδεὶς ἄν σε μᾶλλον ἐπισάμενος εἴη· ἀλλ' ὁ μόνον ταῦτα ἀμελῆσιν οἱ τῆς πλάνης ἐραταὶ καὶ τῆς ἀληθείας κατήγοροι, ἀλλὰ καὶ σεαυτὴν ἐπί τε τῆ συλλήψει καὶ τόκῳ συκοφαντήσουσιν· ἡ συκοφαντία ῥομφαίας ἐκ ἔλαττον τὴν σὴν ψυχὴν δάκνουσά τε καὶ κατατιτρώσκουσα διελεύσεται· ἀλλ' ἐπειδάν σε τέτοις ἐνυβρίσωσι, τότε μᾶλλον ἐκ πολλῶν καρδιῶν ἀποκαλυφθήσονται καὶ διαλυθήσονται διαλογισμοί. Πῶς δὲ, καὶ τίνα τρόπον; τῶν μὲν συκοφαντῶν ἐκ ἐνδιδόντων ταῖς συκοφαντίαις, τῶν δὲ συκοφαντεμένων ἐπὶ τὴν παλαιὰν τῆ νόμε καταφευγόντων διάκρισίν τε καὶ κρίσιν. Τίς δὲ αὕτη ἐσὶν, ἢ ἡ διὰ τῆ ὕδατος τῆς ἐλέγξεως γινομένη; καὶ γὰρ λόγος διεφοίτησεν παλαιὸς, ὡς συκοφαντεμένης τῆς ἀειπαρθένε Μαρίας ἠνέχετο παραχεῖν ἑαυτὴν τῆ κρίσει τῆ ὕδατος, καὶ τότε τὸ καθαρὸν αὐτῆς καὶ ἄσπιλον λαμπρῶς ἐπιδειξαμένε καὶ ἀποφήναντος, αἰσχύνη μὲν δοθῆναι τὰς συκοφάντας· τὰς δὲ πρὶν διαζόντας τὴν παρθένειαν καὶ τὸν ἄφθορον τόκον ἀναντιῤῥήτοις μαρτυρίαις βεβαιωθῆναι, καὶ τὴν παρθένον ἀπαλλαγῆναι τῆς ἐπὶ τῆ συκοφαντίᾳ καὶ ταῖς διαβολαῖς δυθυμίας τε καὶ λύπης. τὸ μέντοιγε τῆς ἐλέγξεως ὕδωρ ἱστορίᾳ παρειλήφαμεν περὶ τὸ Γαβὴ, Παλαισιναίων δὲ τὸ ὄρος, τὰς πηγὰς

πηγὰς ἀναβιδόναι, ὃ κριτήριον καὶ ὁ παλαιὸς ἐπίσταται νόμος, τῶν τε τὴν σωφροσύνην ἐ διαφθειρομένων γυναικῶν, καὶ τῶν ἀλλοτρίαις ὁμιλίαις τὴν νηδὺν ἐνυβριζόντων. Ἀλλὰ τοῦτο μὲν ἴσως ἀφαιρεῖται τὴν πίστιν, ὅτι τε προελθοῦν ἐπὶ τῇ παρθένῳ τὸ τῆς ἐλέγξεως ὕδωρ ἀναγέγραπται, ἔπω τῷ βρέφει φανέντος, ἡνίκα καὶ ὁ καιρὸς τὴν ἀμφιβολίαν εὔλογον παρεῖχε, καὶ ἡ κρίσις ἐκ εἰς τὸ παράλογον ὑπεσύρετο. τῷ δὲ τόκῳ προελθόντος, καὶ τῷ βρέφει ἐγνωσμένῳ, πῶ καιρὸν εἶχεν τὸ ὕδωρ τῆς ἐλέγξεως; ἀλλὰ τοῦτο μὲν κατὰ τὴν ἱστορίαν ὅμως εἴρηται.

Οἶδα δὲ πολλὰς τῶν ἱερῶν ἡμῶν παλέρων ῥομφαίαν ἕτω ἐξειληφότας διελθεῖν τὴν ψυχὴν τῆς ἀειπαρθένε Μαρίας· κατὰ τὸν καιρὸν τῷ σωτηρίῳ πάθες αὐτὴν τὴν καταζέσαν πικρὰν καὶ ὀδυνηρὰν ἐπὶ τῷ τέκνῳ ἀλγηδόνα, καὶ τῷ ἀνυπερβλήτῳ τῆς λύπης, καὶ τῷ ἐζηρημένῳ σπαραγμῷ τῶν σπλάγχνων τὴν ἔμφυτον πρὸς τὸν υἱὸν μητρικὴν συμπάθειαν ἐπιδεῖξαι· καὶ διὰ τῆς μητρικῆς ταύτης συμπαθείας, ἐκ πολλῶν καρδιῶν λογισμὸς ἀποκαλυφθῆναι, καὶ διελεγχθῆναι τές τε καλὰ φαντασίαν τὴν σάρκα φορέσαι τὸν Κύριον ἡμῶν Ἰησῦν Χριστὸν τερατολογοῦντας, καὶ τὲς ἐκ ἐκ τῆς παρθένε, ἐξ ἐρανοῦ δὲ ταύτην καταγαγεῖν ἀπαναισχυντοῦντας. Εἰ δὲ καὶ τηνικαῦτα διελήλυθεν τῆς παρθένε τὴν ψυχὴν ῥομφαία, ἡνίκα λελοιπότες τὸν παῖδα, μετὰ τὸ πολὺν ὁδὸν διανύσαι, μὴ εὑρον τοῦτον, ἀλλὰ καὶ ὑποζρέψαντες ἐπεζήτεν, ὡς ἤδη τὸν θησαυρὸν ἀπολωλεκότες, οὐδὲν ἂν εἴη παρὰ τὸν ὀρθὸν διανενοημένον λόγον· καὶ γὰρ καὶ τηνικαῦτα ἐκ πολλῶν καρδιῶν ἀπεκαλύφθησαν διαλογισμοὶ, τῆς μὲν παρθένε πρὸς τὸν παῖδα λεγόσης· ἐγὼ καὶ ὁ πατήρ σε ὀδυνώμενοι ἐζητοῦμέν σε. τῷ δὲ ἐνυποστάτε λόγε καὶ σάρκα φορέσαντος ἀνταποκρινομένε, τί, ὅτι ἐζητεῖτέ με; ἐκ ᾔδειτε, ὅτι ἐν τοῖς τοῦ Πατρός με δεῖ εἶναί με; καὶ δηλοῦντος τὸν περιώνυμον λαὸν, ὃς τοῦ Πατρὸς νεώς τε καὶ οἶκος ἐπωνομάζετο. Καὶ γὰρ τὸν ἴδιον Πατέρα σαφῶς ἀνακηρύξαντος τοῦ Υἱοῦ, σαφῶς ἀπεκαλύφθησαν οἱ διαλογισμοὶ τῶν λεγόντων αὐτὸν ἐκ εἶναι τοῦ τέκτονος υἱὸν, οὐδ' ἄλλης τινὸς ἐπιγείε σποράς, ἀλλὰ τοῦ πρὸ αἰῶνος γεγεννηκότος αὐτόν. Τὸν μέντοι λόγον, τὸν λέγοντα, ῥομφαίαν αὐτῆς τὴν ψυχὴν ἐξ ἀμφιβολίας διελθεῖν, ὡς μήποτ' ἐκ εἴη Θεὸς ὁ ταυρέμενος, εἰ καί τισιν ἐρρήθη, ἀλλ' ἐκ ἂν ἐμοὶ ῥηθείη.

Καὶ ἦν, φησὶν, Ἄννα προφῆτις, θυγάτηρ Φανουὴλ, ἐκ φυλῆς Ἀσὴρ, ἕως τοῦ, καὶ αὕτη χήρα ὡς ἐτῶν ὀγδοήκοντα τεσσάρων. Ἄννα προφῆτις, θυγάτηρ Φανουὴλ, ταύταις διατέλλεται ταῖς διαφοραῖς πρὸς τὴν τῆς παρθένε μητέρα· διέλαμπε δὲ ταῖς ἀρεταῖς ἁπάσαις· ἐκ γὰρ τοῦ μὴ ἀφίστασθαι τοῦ ἱεροῦ, καὶ νηστείαις καὶ δεήσεσιν λατρεύειν νύκτα καὶ ἡμέραν, δῆλον, ὡς καὶ ὁ λοιπὸς αὐτῇ τῶν ἄλλων ἀρετῶν συμπαρῆν χορὸς, ὑφ' ὧν κεκαθαρμένη τὸν νοῦν, καὶ τοῦ παναγίε Πνεύματος γεγενημένη δοχεῖον, καὶ τὰς παρ' αὐτοῦ δεχομένη ἐμφάσεις, αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀνθωμολογεῖτο, καὶ ἐλάλει

τὰ περὶ αὐτῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλήμ· αὐτῇ τῇ ὥρᾳ ἐπισᾶσα φησίν· αὐτὴ, ποία; ἡ καθ' ἣν τὸ παιδίον ἡ μήτηρ καὶ ὁ Ἰωσὴφ προσέφερον τῷ ἱερῷ· καὶ ὅρα τὴν παραπλησίαν τῷ Συμεῶνι ταῖς ἀρεταῖς, ὅπως καὶ τὰς προφητείας παραπλησίως κιχρᾷ· ἅμα μὲν γὰρ παρῆσαν τῷ ναῷ, ἅμα δὲ τῆς προφητικῆς ἠξιῦντο χάριτος· ἀλλ' ὁ μὲν Συμεὼν προελάμβανεν χρησμολογῶν· ἡ δὲ τὴν δευτέραν ἔχουσα τάξιν ὅμως ὑπ' ἐδευτέρευσε τοῖς χρησμοῖς· ἀλλ' ἐκάλει μὲν τὸ βρέφος Κύριον, ᾧ καὶ ἀνθωμολόγει· ἐλάλει δὲ περὶ αὐτῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν τῷ Ἰσραὴλ, λύτρωσιν τὴ γένει καὶ σωτηρίαν ἀνακηρύττουσα. Τάχα δ' ἂν διὰ τῦτο προλαβεῖν ἱερολογήσειέ τις τὸν Συμεῶνα, διότι ὁ μὲν τύπον ἔφερεν τῦ νόμυ, καὶ γὰρ καὶ ἡ κλῆσις τὸ ὑπήκοον δηλοῖ· ἡ δὲ τῆς χάριτος, ἡ Ἄννα, τῦτο γὰρ ἡ κλῆσις ἀναπλυσσομένη δηλοῖ· ὧν ἀμφοῖν ὁ Χριστὸς ἔκειτο μέσος, τὸν μὲν ἀπολύων συντελευτῶντα τῷ νόμῳ, τὴν δὲ τέως κατέχει τῇ χάριτι συζῶσαν. ἡ μέντοιγε παρθένος καὶ Ἰωσὴφ κοινὴν τὴν εἰς Θεὸν ἀποδεδωκότες ὑμνολογίαν ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν, εἰς τὴν πόλιν αὐτῶν Ναζαρὲτ, καὶ μετὰ τεσσαράκονθα ἡμέρας τὰ κατὰ τὲς μάγυς καὶ τὸν ἀστέρα διεπέπρακτο, καὶ δὴ καὶ ἡ εἰς Αἴγυπτον γέγονε φυγὴ, καὶ ἡ ἀπὸ ταύτης ἐπάνοδος.

ΝΔ. (ρπή.)

Διὰ τί τὴν Μαρίαν τὴν Μαγδαληνὴν, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια, ἐκλέγεται ὁ Χριστός;

Τὸν ἕβδομον ἀριθμὸν καὶ ἐπὶ τῆς ἀρετῆς καὶ ἐπὶ τῆς κακίας εὑρίσκομεν τὴν γραφὴν παραλαμβάνεσαν. εἰκότως ἂν τὴν Μαρίαν ἐκλέγεται τὴν Μαγδαληνὴν ὁ Σωτὴρ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια, ἵνα τὸν ἄρχοντα τῆς κακίας δι' αὐτῆς ἀπελάσῃ τῆς ἀνθρωπίνης Φύσεως· ὅτι αἱ ἱστορίαι τὴν Μαγδαληνὴν ταύτην διὰ βίυ παρθένον διδάσκυσιν. Καὶ μαρτύριον δὲ αὐτῆς φέρεται, ἐν ᾧ λέγεται διὰ τὴν ἄκραν αὐτῆς παρθενίαν καὶ καθαρότητα ὡς ὕαλον αὐτὴν καθαρὸν ταῖς Βασανισταῖς φαίνεσθαι. Ὅτι, φησὶν, μετὰ τὴν κοίμησιν τῆς δεσποίνης ἡμῶν θεοτόκυ πορευθεῖσα εἰς Ἔφεσον πρὸς τὸν ἠγαπημένον μαθητὴν, ἐκεῖσε τὸν δρόμον τὸν ἀποστολικὸν διὰ τῦ μαρτυρίυ ἡ μυροφόρος Μαρία ἐτελείωσεν, μὴ θελήσασα μέχρι τῆς τελευτῆς χωρισθῆναι τῦ παρθένυ καὶ εὐαγγελιστῦ Ἰωάννυ. Ὥσπερ, φησὶν, ἡ ἀπαρχὴ τῶν ἀποστόλων Πέτρος ὠνομάσθη διὰ τὴν ἀσάλευτον πίστιν, ἣν εἶχεν ἐπὶ Χριστὸν τὴν πέτραν· ἕτω καὶ αὐτὴ, ἀρχηγὸς τῶν μαθητριῶν γενομένη, διὰ τὴν καθαρότητα αὐτῆς καὶ τὸν πόθον, ὃν εἶχεν εἰς αὐτὸν, Μαρία ὁμωνύμως τῇ μητρὶ παρὰ τῦ Σωτῆρος προσηγόρευται. ὥσπερ τῷ Δεσπότῃ τῶν μαθητῶν ἠκολούθει ὁ χορὸς· ἕτω τῇ δεσποίνῃ καὶ μητρὶ τῦ Κυρίυ τῶν μαθητευομένων γυναικῶν ὁ χορός. Ἐθαύμαζον γάρ, φησιν, ποτὲ οἱ μαθηταὶ, ὅτι μετὰ γυναικὸς ἐλάλει. δῆλον, ὡς ἐκ ἔσης τοιαύτης συνηθείας τῷ Κυρίῳ, ἀλλὰ τὸν εὐαγγελικὸν δρόμον τῆς μητρὸς τῦ Δεσπότυ συνεξανυέσης τῷ υἱῷ καὶ δημιυρ-

μιεργῷ, καὶ αὐταὶ συνακολουθοῦσαι αὐτῇ τῷ κοινῷ Δεσπότῃ ἐκ τῶν ὑπαρχόντων αὐταῖς ἀναγκαίοις, καὶ τοῖς μαθηταῖς, διηκόνει.

ΝΕ. (ρπϑ'.)

Τί ἐστὶ τό· ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ;

Οἱ ψευδόχριστοι ἀφ' ἑαυτῶν ἐλάλουν, οὐκ ἐκ νόμου, οὐκ ἐκ προφητῶν, ἀλλ' ἀπὸ τῆς ἰδίας γνώμης καὶ ὁρμῆς· ὁ δὲ Σωτὴρ οὐκ ἀπέστη νόμου, οὐκ ἐγκαταλέλοιπεν προφήτας, ἀλλ' ἔλεγε νῦν μὲν, καλῶς εἶπεν Ἡσαΐας· νῦν δὲ, ὁ γέγραπται ἐν τῷ νόμῳ ὑμῶν, καὶ μυρία ταῦτα. Ἐπεὶ ἔν οἱ ἐλθόντες πρὸ Χριστοῦ, καὶ τὸ ἐκείνου περιθέντες ἑαυτοῖς κακέργως ὄνομα, ἐκ ἀπὸ τῶν ἱερῶν γραφῶν, ἀλλ' ἐκ τῆς ἰδίας ἀπονοίας τὰ τῆς πλάνης πρεβάλλοντο, λέγει ὁ Σωτήρ· ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ὥσπερ ἐκεῖνοι. Τὸ γὰρ ἀφ' ἑαυτοῦ λαλεῖν, τὸ ἔξω τῶν ἱερῶν γραφῶν ἐστι λαλεῖν. Ὅτι δὲ τὸ ἀφ' ἑαυτοῦ λαλεῖν ψευδοχρίστων ἐστὶ καὶ ψευδοπροφητῶν, λέγει διὰ τοῦ προφήτου τοῦ Ἐζεκιὴλ ὁ Θεός· ἐκ ἀπέστειλα αὐτούς, ἀφ' ἑαυτῶν ἐλάλησαν· ἐκ τῆς καρδίας αὐτῶν φθέγγονται. Ἐπεὶ ἔν οἱ ψευδοπροφῆται ἀφ' ἑαυτῶν ἐκήρυττον, ταύτην ἀποδύεται τὴν ἀπόνοιαν· καὶ γὰρ ἐδυσφήμει τὸ ἀχάριστον τῶν Ἰουδαίων ἔθνος πλάνον αὐτὸν καὶ πλανᾶν τὸν κόσμον. διὰ τοῦτο ἔλεγεν· ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ἀλλ' ἀπὸ νόμου, ἀπὸ τῶν προφητῶν, ὅσα ἤκουσα παρὰ τοῦ Πατρὸς ἐν νόμῳ, ἐν προφήταις· (ἐκ προσώπου δὲ τῆς σαρκὸς ταῦτα λέγει, καὶ εἰς διάλυσιν τῆς δυσσεβοῦσης ὑπονοίας·) ὑμεῖς δὲ, ὅσα ἠκούσατε παρὰ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου. Τὰ γὰρ τοῦ πατρὸς κλῆρος γίνεται τοῖς παισὶ, καὶ διὰ τοῦτο τὰ ἐκείνου γίνεται τῶν κληρονόμων· ὡς ἴσον ἐνταῦθα καθορᾶσθαι καὶ εἰς ταυτὸν συνιέναι τὸ ἐξ ἑαυτῶν λαλεῖν καὶ τὸ ἐκ τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου λαλεῖν. Ὥσπερ ὁ Χριστὸς ἐλθὼν ἐγένετο πλήρωμα νόμου καὶ προφητῶν, οὕτω καὶ τὸ Πνεῦμα πλήρωμα τοῦ εὐαγγελίου. Χριστὸς ἐλθὼν ἐβεβαίωσεν τὰ παρὰ τοῦ Πατρὸς ἐν τῷ νόμῳ εἰρημένα καὶ προφήταις· διὸ καὶ λέγει Παῦλος· πλήρωμα νόμου Χριστός. τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἐπλήρωσε τὰ τοῦ εὐαγγελίου. ὅσα ἐστὶν ἐν τῇ Χριστοῦ διδασκαλίᾳ, τὸ Πνεῦμα πληροῖ· ὅσα ἐν τῇ τοῦ νόμου, ὁ Χριστός· οὐχὶ ὡς ἀτελοῦς ὄντος τοῦ Πατρὸς, ἀλλ' ὡς ἑρμηνευτὴς τῶν τοῦ Πατρὸς καὶ τελειωτής. Οὕτω δὲ καὶ τὸ Πνεῦμα διασαφοῖ καὶ διατρανοῖ τὰ τοῦ Υἱοῦ. Καὶ γάρ, φησιν, πολλὰ ἔχω ὑμῖν λαλεῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· ὅταν δὲ ἔλθῃ τὸ Πνεῦμα τὸ ἅγιον, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν, καὶ ἑξῆς. Ὅτι ἀφ' ἑαυτοῦ οὐ λαλεῖ· οὐ γὰρ ἀντιφθέγγεται τῷ Υἱῷ, ἀλλ' ἀναπληροῖ τὰ τοῦ Υἱοῦ, καθ' ὃν τρόπον ὁ Υἱὸς τὰ τοῦ Πατρός. Ὅτι ἐν τούτῳ τῷ λόγῳ εὑρήσεις πρὸς τῷ τέλει δεικνύοντος τὸν Χρυσοστόμου, ὅτι ἡ ἀποστολὴ ἔστε τοῦ Υἱοῦ, ἔστε τὸ Πνεῦμα ἐλάττω ποιεῖ τοῦ Πατρὸς, ὅτι καὶ αὐτὸς ὁ Πατὴρ ἀποστέλλεται παρὰ τοῦ Πνεύματος καὶ παρὰ τοῦ Υἱοῦ· λέγει αὐτοῖς λέξεσιν· ἐάν σοι δείξω τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς ἀποστελλόμενον παρὰ τοῦ Πνεύματος,

καὶ παρὰ τῦ Υἱῦ, τί ποιεῖς; ἢ ἄρνησαι τὸν Χριστὸν, καὶ ἀπόβριψον τὰς γραφάς· ἢ, δῆλος ὢν τῶν γραφῶν, ὑποτάτῖε ταῖς γραφαῖς· καὶ πῦ, φησιν, εἴρηται τῦτο; ἄκυε τῦ Θεῦ διὰ τῦ προφήτυ λέγοντος Ἡσαΐυ· ἄκυέ μυ Ἰσραὴλ, ὃν ἐγὼ καλῶ· καὶ ὅλην τὴν περικοπὴν ἐκλιθεὶς τῦ χωρίυ μέχρι τῦ, καὶ νῦν Κύριος ἀπέστειλέ με, καὶ τὸ Πνεῦμα αὐτῦ, διίχυρίζεται, τὸν Πατέρα ταῦτα εἰπεῖν, ἐκ τῶν προτεταγμένων βεβαιῶν τὸν λόγον, καὶ καθιστῶν δῆλον, ὡς ὁ Πατὴρ εἴη νῦν ὁ λέγων καὶ ἀποστελλόμενος παρά τε τῦ Πνεύματος καὶ τῦ Υἱῦ.

Νε. (ρϟ.)

Πῶς βραχίονα Κυρίυ ὁ θεολόγος Ἰωάννης τὴν οἰκονομίαν διαλαμβάνει;

Ὅτι ὁ θεολόγος Ἰωάννης, τὸν βραχίονα εἰς τὴν οἰκονομίαν ἐκλαμβάνων τῦ Σωτῆρος, καὶ τὴν αὐτῦ θεότητα, πολλά φησι σημεῖα ποιήσαντος τῦ Ἰησῦ εἰς ἐπίστευσαν οἱ Ἰυδαῖοι, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τῦ Ἡσαΐυ· Κύριε, τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων Κυρίυ τίνι ἀπεκαλύφθη; αὐτὸς τοίνυν καὶ ἡ αὐτῦ δικαιοσύνη· ἐγγίζει γὰρ ἡ δικαιοσύνη μυ παραγενέσθαι· αὐτὸς καὶ Σωτὴρ, αὐτὸς καὶ βραχίων. Διὰ τῦτο καὶ ὁ Παῦλος περιλαβὼν ἅπαντα εἰς ἓν ἀναφέρει, λέγων· ὃς ἐγενήθη ἡμῖν ἀπὸ Θεῦ σοφία καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις. Οὗτος ἡμῖν ἀνέτειλεν ἀναλοὴν δικαίαν. Ἰδὲ γάρ, φησιν, ἀνατελῶ τῷ οἴκῳ Δαβὶδ ἀνατολὴν δικαίαν, καὶ βασιλεύσει βασιλεὺς δίκαιος· μία μὲν ἓν ἡ ἀνατολὴ, πολλαὶ δὲ αὐτῆς αἱ ἀκτῖνες· ἀκτῖνες Φιλανθρωπίας, ἴάσεως, εἰρήνης, δικαιοσύνης, καὶ μυρίων ἄλλων. Διὸ καὶ ὁ Δαβὶδ προθεσπίζων ᾔδεν· ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη. Αὕτη γᾶν ἡ ἀνατολὴ ἐξ ὕψυς ἀνέτειλεν, καὶ ἀπὸ τῆς γῆς· ἐξ ὕψυς μὲν κατὰ τὴν θεότηλα, ἀπὸ γῆς δὲ κατὰ τὴν οἰκονομίαν.

ΝΖ. (ρϟά.)

Τί δηλοῖ, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας, καὶ ἐξ.

Ἐβύλευσεν ἡ κτίσις τῷ ἀνθρώπῳ, ἥλιος καὶ σελήνη, καὶ ἄστρα καὶ γῆ, καὶ τὰ ἐν αὐτοῖς· οὐχ ὡς ἀξίῳ δὲ, καὶ γὰρ παραβάτης ἦν καὶ ὑπόδικος, ἀλλὰ τῦ Θεῦ βυλεύσαντος, ὡς ἂν μὴ ἐξυβριθῇ διὰ πάντων ἡ εἰκών, εἰ καὶ παρέβη. πάσης τοίνυν τῆς κτίσεως σασιαζύσης, ὁ Θεὸς κελεύει τῇ κτίσει μὴ ἀφηνιᾶν, ἀλλὰ παρέχειν μὲν τὸν ἥλιον τὴν ἑαυτῦ ἀκτῖνα, τὴν γῆν τὰς καρπὰς, τὴν θάλασσαν ἰχθῦς καὶ τὰς ἐμπορίας, καὶ ἕκαστον τῶν κτισμάτων τὴν ἐξ ἑαυτῶν χρείαν καὶ ὠφέλειαν τοῖς ἀνθρώποις. Ταύτην ἐπιγυμνῶν ὁ ἀπόστολος τὴν ἔννοιαν φάσκει· ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τῦ Θεῦ ἀπεκδέχεται· τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη ἐχ ἑκῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι· ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δβλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τῦ Θεῦ.

εἶεν

οἷόν τι λέγω· ὡς εἶδεν ὁ Θεὸς τὸν ἄνθρωπον ἐκπεσόντα, καὶ τὴν κτίσιν ἀνανεύσασαν πρὸς ὑπηρεσίαν τῷ ἡμαρτηκότος, ἐχαλίνωσεν αὐτὴν καὶ μὴ θέλουσαν, καὶ ἐκέλευσεν ὑπηρετεῖν ὡς πρότερον, ἡνίκα τὸ βασιλικὸν ἑαυτῷ καὶ ἀρχικὸν τὴν ἐντολὴν Φυλάττων συνδιέσωζεν· ἠχύνετο γὰρ ἡ κτίσις τὸν αἰχμάλωτον τῇ παραβάσει κύριον ἐπιγράφεσθαι, καὶ ἐξυπηρετεῖν αὐτῷ, τῆς ἁμαρτίας αὐτὸν ὁρῶσα δοῦλον γενόμενον· ἀλλ' ἐκέλευσεν ὁ κτίσης μὴ ἐξαρνεῖσθαι τὸν παραβάτην, ἀλλ' ἐπιδεικνῦναι τοῦ κοινοῦ Δεσπότου τὴν ἄφθονον χάριν, καὶ τὸ τῆς εὐεργεσίας ἀμετάθετον· ἐπαγγελλόμενος καὶ τῇ κτίσει, ὅτι περ ἀνακαινιζομένῳ καὶ ἐλευθερωμένῳ τῷ Φθαρέντος καὶ αἰχμαλωτισθέντος ἀνθρώπῳ ἀνακαινισθήσεται καὶ αὐτή· ὡσανεὶ ἔλεγεν· ἔπεσεν ἡ εἰκὼν, καὶ ὠλίσθησεν διὰ τὴν παράβασιν, καὶ φθείρεται διὰ τὴν παρακοήν· ἀνάγκῃ δουλεῦσα τῇ τῷ Φθαρέντος Φθορᾷ, ἵνα ὅταν αὐτὸν ἀνακαινίζω τὴν ἐμὴν εἰκόνα, τὸν Φθαρέντα ἄνθρωπον, σὺν αὐτῷ καὶ σὲ τὴν κτίσιν ἀνακαινίσω, καὶ σύνθρονον αὐτῷ τῆς δόξης ποιήσω· συγκατεσπάσθης αὐτῷ τῇ ταλαιπωρίᾳ, συναναστήσῃ τῇ δόξῃ. Τί δέ ἐστι τὸ τὴν κτίσιν φεύγειν τὴν τῷ ἀνθρώπῳ δεσποτείαν; λέγει γὰρ, τῇ ματαιότητι ἡ κτίσις ἐχ ἑκοῦσα ὑπετάγη· ποίᾳ ματαιότητι; ἀφ' ἧς ἂν ἐκτραπῇ ὁ ἄνθρωπος τῷ Θεῷ, ματαιότης καλεῖται· ἄκουσον ψάλλοντος Δαβὶδ· πλὴν τὰ σύμπαντα ματαιότης πᾶς ἄνθρωπος ζῶν. πᾶς ἄνθρωπος μάταιός ἐστιν, ὁ τὸν Θεὸν καταλιμπάνων καὶ τὰ μάταια μεταδιώκων· ἔστησεν ὁ Θεὸς ἀγγέλους κατὰ τὰ κλίματα τῆς οἰκουμένης ἕνα ἕκαστον ἐπιτροπεύειν, ὡς καὶ Μωσῆς λέγει, ἑνὸς ἑκάστου ἔθνους· ἔστησε δὲ, ἵνα τὴν ἄψυχον κτίσιν χαλινώσωσιν, ἥλιον καὶ σελήνην, καὶ θάλασσαν, καὶ γῆν, καὶ τὰ ἐν αὐτοῖς ὑπηρετεῖν τῇ τῷ ἀνθρώπῳ ἀπολαύσει. Πάλιν οἱ ἄγγελοι ἐτύχησαν ὑπηρετούμενοι ἀναξίοις καὶ δίκης ἐνόχοις ἀνθρώποις· καὶ μάλιστα ὁρῶντες αὐτὲς τὴν δεσποτικὴν ἀξίαν τοῖς εἰδώλοις ἀνάπτοντας καὶ ἀνιερεῦντας· ἔφερεν ἡ γῆ τὸν οἶνον, καὶ οἱ βωμοὶ τὰς σπονδὰς ἐδέχοντο· τὲς ἄλλες καρπὲς καὶ τοῖς εἰδώλοις ἀνετίθεντο· διὰ τοῦτο ἐδυσφόρουν οἱ ἄγγελοι τὰ μὴ ὄντα ὁρῶντες ἀντὶ τῷ ὄντος τιμώμενα· ἐντεῦθεν λέγεται καὶ τὸ ἕτερον ζήτημα τὸ εἰς τὸν προφήτην ἀναφερόμενον. Ἦλθεν πρὸς αὐτόν, φησιν, ὁ ἄγγελος Γαβριὴλ, καὶ λέγει αὐτῷ· Δανιὴλ, ὁ δοῦλος τῷ Θεῷ, ἀφ' ἧς ἡμέρας προέθω καρδίαν σου τὴν ψυχήν σε ἔναντι Κυρίε, εἰσηκούσθη ἡ δέησίς σε, καὶ ἀπεστάλην ἀπαγγεῖλαί σοι τὰ ῥήματα ταῦτα· ἀλλ' ὁ ἄρχων τῆς βασιλείας Περσῶν ἀντέστη μοι, εἰ μὴ Μιχαὴλ, ὁ ἄρχων τῷ ἔθνους ὑμῶν, ἦλθεν εἰς βοήθειαν. ἀπορήσειεν γὰρ ἄν τις, εἰ ὁ τῆς Περσίδος ἐπιτροπεύων ἄγγελος παρὰ Θεῷ ἐπιτροπεύειν τέτακται, ὡσαύτως δὲ καὶ ὁ Γαβριὴλ, ἀνακομίσων τὸν Ἰσραὴλ τῆς αἰχμαλωσίας παρὰ Θεῷ ἀπέσταλται, πῶς αὐτῷ τῶν Περσῶν ὁ ἄρχων ἀνθίστατο; λυθείη δ' ἂν τὸ διαπορούμενον ὧδε· ὁ κόσμος εἰδωλολατρείας ἐπεπλήρωτο. οἱ δὲ ἄγγελοι, οἱ ἐπεσῶτες τῶν ἐθνῶν, ἠγανάκλησαν καὶ ἐθλίβοντο·

αἰχμάλωτος δὲ Δανιὴλ εἰς Βαβυλῶνα μετὰ τῶν ὁμοφύλων ἀπαχθεὶς τὴν θεογνωσίαν ἐκήρυττεν· ὡσαύτως καὶ οἱ τρεῖς παῖδες, οὓς τὸ πῦρ εἰς ἱλαρὰς αὔρας τὴν καυστικὴν δύναμιν ἀμείψαν ἀνέψυχεν· διὸ καὶ πολλὰς τῆς εἰδωλικῆς μεταστήσαντες πλάνης θεοσεβῶν παρεσκεύασαν· ὁ ἦν τῆς ἀρχῆς τῶν Περσῶν ἐφεστηκὼς ἄγγελος ἔχαιρεν, ὁρῶν ἐν τοῖς αὐτῶ μέρεσι τὸν Θεὸν ἀντὶ τῶν εἰδώλων λατρευόμενον. Τὸν Ναβυχοδονόσορ ἑώρα ἀντὶ τῦ καταναγκάζειν θύειν εἰδώλοις, καὶ ἑκάταις τοὺς μὴ πειθομένους ὑποβάλλειν τιμωρίαις, λαμπρῶς θεολογοῦντα καὶ λέγοντα, Σεδραὰχ, Μισὰκ, Ἀβδεναγὼ, οἱ δοῦλοι τῦ Θεῦ τῦ ὑψίστυ, καὶ πολλὰ τοιαῦτα. Ἐπεὶ ἔν ὁ μακάριος Δανιὴλ ἐδεῖτο τῦ Θεῦ, πληρωθέντων τῶν ἑβδομήκοντα ἐτῶν, τῶν ἐπὶ τῇ αἰχμαλωσίᾳ διορισθέντων, ἀναγαγεῖν τῆς αἰχμαλωσίας τὸν Ἰσραὴλ, ἀπεστάλη δὲ Γαβριὴλ μηνῦσαι αὐτῷ τὴν ἀνάῤῥησιν, ἀνθίστατο τῷ Γαβριὴλ ὁ τῆς Περσικῆς ἀρχῆς ἐπιστάτης λυπέμενος, ὅτι πάλιν ἡ γῆ, ἧς ἐπεστάτει, τῶν διδασκάλων τῆς εὐσεβείας ἐκεῖθεν ἀνακομισθέντων, εἰς τὴν προτέραν ἀναστρέψει ἀσέβειαν καὶ πλάνην· ἀνθίστατο δὲ ὁ μαχόμενος, ἀλλὰ δικαιολογούμενος· τίς ἡ σπουδὴ λέγων τῆς ἀνόδυ; τὴν οἰκείαν οἰκῶν πατρίδα ὁ Ἰσραὴλ καὶ εὐπαθῶν εἰς εἰδωλολατρίαν πολλάκις ἐξώλιθεν· νῦν δὲ οὐ καθαρῶς εὐσεβεῖ μόνον, ἀλλὰ καὶ ὑπεραθλεῖ τῆς εὐσεβείας, καὶ πολλῶν τῶν πεπλανημένων πρὸς τὸν ἀληθινὸν ἐπιστρέψει τὸν Θεόν. Ὅτε οὖν καὶ τοῖς τὴν χάριν δεχομένοις ἐδὲν καλὰ ψυχὴν λυσιτελέστερον ἐπακολουθεῖ, καὶ τὸς εὐσεβεῖν δι' αὐτὸς ἀρξαμένυς τὸ ἔσχατον κακὸν, ἡ δυσσέβεια, πάλιν ὑποχειρίυς ποιεῖ, πόσον ἦν ἄμεινον καὶ τὸν Ἰσραὴλ τέως τῆς αἰχμαλωσίας μὴ ἀναγαγεῖν, καὶ τὸς ἄρτι πρὸς τὸ Φῶς ἀναβλέψαντας τῆς θεογνωσίας ἐν τῇ αὐτῇ συντηρεῖν εὐσεβείᾳ· ἀπεστάλην, φησὶ, τὸν λαὸν ἀποκαταστῆσαι τῇ πατρίδι· ποίᾳ πατρίδι; ἣν οἰκοῦντες ἐμίαναν κνίσσαις, δαίμοσι θύοντες, καὶ εἰδωλομανίαις· οὐ ταῦτα καθηγορεῖ λέγων Ἱερεμίας, κατ' ἀριθμὸν τῶν πόλεών συ ἦσαν οἱ θεοί συ Ἰούδα, καὶ κατὰ τὰ ἀμφόδια Ἱερουσαλὴμ ἔθυες τῇ Βαάλ; μυρίοις τότε παρὰ Θεῦ περιεκλύζοντο ἀγαθοῖς, καὶ τῆς κακίας καὶ ἀσεβείας ἐκ ἀνεχώρευν· μυρία νῦν ὑπομένυσι κακὰ, καὶ τῦ Θεῦ ἐκ ἀφίστανται. Τί ποτ' οὖν ἔσαι τὸ τῆς ἐπανόδυ κέρδος; ἦν τοίνυν ἡ ἀντίστασις ἐ κακῦ πρὸς ἀγαθόν· ἐ γὰρ εἶπεν, ἐμάχετο, ἀλλ' ἀνθίστατο· καὶ γάρ ἐστι πολλάκις ἀντίστασις δικαία πρὸς ἀγαθὸν, ὡς ἀνθίστασθαι πολλάκις νόμῳ Φιλανθρωπία, καὶ Φιλανθρωπία νόμος· ὁ νόμος τὸν ἁμαρτήσαντα κολάζει, Φιλανθρωπία δὲ βασιλέως πολλάκις τὸν ἁμαρτήσαντα ἐλεεῖ καὶ ἐξαρπάζει τῆς τιμωρίας· ὥσθ' ἓν ἡ μάχη ἐκ ἐναντία πρὸς ἐναντίον, ἀλλὰ συγγενῦς πρὸς συγγενές. Οὔτε γὰρ τὸ δίκαιον ἔξω ἀγαθότητος, οὔτε τὸ ἀγαθὸν ἔξω δικαιοσύνης εὑρίσκεται.

Τῆς κτίσεώς, φησιν, ὡς προείρηται διακειμένης, καὶ ἀγανακτύσης, ἐφ' ᾧ καὶ ἄκυσα τῷ παραβάτῃ παρεῖχε τὴν χρείαν καὶ ἐξυπηρέτει, καὶ ἀγγέλων ἀχθομένων ἐπὶ τῇ τῦ εὐεργετηθέντος ἀγνω-

ἀγνωμοσύνῃ, καὶ ὅλε κακωθέντος τοῦ κόσμε διὰ τὰς παρανομίας· (καὶ γὰρ εἶδεν, φησὶν, ὁ Θεὸς τὴν γῆν, καὶ ἦν κατεφθαρμένη, ὅτι κατέφθειρεν πᾶσα σὰρξ τὴν ὁδὸν αὐτῆς·) οὐκ ἦν ἡ κτίσις, οἵαν ὑπέστησεν αὐτοῖς ὁ Θεὸς ἀπ' ἀρχῆς· ἐκ ἦν τοῖς ἄνροις ὁ ουρανὸς, ὡς τὸ πρὶν, ἄνευ τινὸς μιάσματος καταλαμπόμενος· οὐκ ἦν ἡ γῆ τὲς καρπὲς ἀμολύντες, ὡς τὸ πρὶν, ἀναδιδῶσα· οὐ θάλασσα, ἐκ ἄλλο τι τῶν ἐν τῇ κτίσει. ὁ γὰρ παραβάτης εἰσελθὼν ἐν αὐτῇ, κατεμίανεν καὶ ἀνεθόλωσεν ἅπαντα ταῖς βλασφημίαις, ταῖς θεομάχοις καὶ αἰχραῖς φωναῖς, ταῖς μιαιφονίαις τὴν γῆν, τοῖς πειράταις καὶ λῃσαῖς τὴν θάλασσαν· τὰς πηγὰς καὶ ποταμὲς ταῖς εἰδαλολατρείαις, νύμφαις καὶ δαίμοσιν ἀνάπλοντες αὐτά· πᾶσα τοῖς ἀνθρώποις ἡ κτίσις εἰς θεὲς ἀνεπλάτλετο· ἐδὲν δὲ κτίσιν ἔτω μιαίνει καὶ κιβδηλεύει, ὡς τὸ θεοποιεῖσθαι αὐτήν. Εἰσῆλθεν ὁ Σωτὴρ τοῦ κόσμου διὰ σαρκὸς ἐν αὐτῇ, καὶ ταύτην τῶν μυρίων τούτων ἀπαλλάξας μιασμάτων ἀνεκαίνισεν πολὺ χαλεπωτέρων ἢ σωματικῆς διαφθορᾶς, ἐλευθερώσας αὐτὴν κακώσεων καὶ παθῶν ἀνακαινίζει διὰ τῆς πρώτης παρεσίας τὴν κτίσιν· ἵνα μάθῃς, ὅτι αὐτός ἐσιν, ὁ καὶ ἀπ' ἀρχῆς αὐτὴν δημιεργήσας· οὐ γὰρ ἄλλε μὲν κτίζειν, ἄλλε δὲ διαφθαρεῖσαν ἀνακαινίζειν· ἀλλὰ τῆς αὐτῆς ἑκάτερον σοφίας καὶ τέχνης, ἀνακαινίζειν τὴν κτίσιν καὶ τὴν πρώτην ἐπιδημίαν, ἵνα μηδεμία σοὶ χώρα καταλειφθῇ ἀπισίας, ὡς κατὰ τὴν δευτέραν παρεσίαν οὐ καινισθήσεται, καὶ σὺ πρὸ αὐτῆς εἰς ἀφθαρσίαν, εἰς ἀπάθειαν, εἰς ἄφατον καλλονήν. Εἰ γὰρ, ὅτε ἦν ἑκὼν ἐν ἀθενείᾳ σαρκὸς, ἐν ἱδρῶσιν, ἐν πάθεσιν ὁ Χριτὸς, ὅτε πλάνος καὶ Σαμαρίτης ἐσυκοφαντεῖτο, τὴν κτίσιν ἐκάθαρεν τῶν τοσούτων καὶ τηλικάτων καὶ πολυχρονιωτάτων παθῶν καὶ μιασμάτων· ὅταν ὡς κριτὴς ζώντων παραγένηται καὶ νεκρῶν, ὅταν μυριάσιν ἀγγέλων δορυφορέμενος τάγμασιν, ὅταν πάντων δεσπόζων καὶ Κύριος, ὅταν πάντα φρίσσῃ καὶ τρέμῃ, πῶς ἡ ἐκ φθορᾶς εἰς ἀφθαρσίαν μεταβολὴ ἐ τὸ ῥᾷον ἔχυσα καθοραται; καὶ τὸ ἀκόλυθον καὶ θεοπρεπὲς, ὅτι παραγίνεται ὁ Σωτὴρ, προκηρυτλόντων τῶν προφητῶν, ἵνα μή τις νομίσῃ, ὅτι καθ' ὃν τρόπον ἄνθρωπος τῆς προτέρας διαμαρτὼν ἐπιβολῆς καὶ βοηθείας ἐπὶ δευτέραν ἔρχεται, ἔτω καὶ ὁ Θεός. Ἵνα ἓν μή τις ὑπονοήσῃ τᾶτο, ἄνωθεν προέλεγον οἱ προφῆται τὴν παρεσίαν αὐτᾶ· ἵνα δείξωσιν, ὅτι Θεὸς ἐ σκεπτόμενος εὑρίσκει τὸ συμφέρον, ἀλλ' ἀπ' ἀρχῆς προείδεν ἅπαντα. Ἡμεῖς μὲν γὰρ οἱ ἄνθρωποι σκεπτόμεθα, καὶ, ἐὰν ἀποτύχωμεν τῆς πρώτης πείρας, ἐφ' ἑτέραν μεταβαίνομεν· ὁ δὲ Θεὸς οὐχ ἔτως· ἀλλ' ἔδωκε νόμον, προφήτας, καὶ μετὰ ταῦτα τὸ εὐαγγέλιον, ἐ χρόνῳ τὸ συμφέρον μεταμαθὼν, ἀπ' ἀρχῆς δὲ εἰδὼς, ὡς ἐχ οἷόν τε ἄλλως ἦν τὴν κτίσιν καὶ τὸν ἐν αὐτῇ ἄνθρωπον ἔτε γενέσθαι, ἔτε παιδαγωγηθῆναι, οὔτε τὸ τῆς ἀφθαρσίας ἀξίωμα ἀναλαβεῖν, εἰ μὴ καθ' ὃν τρόπον ἡ ἄφατος πρόνοια καὶ φιλανθρωπία ᾠκονόμησεν. Ὅτι φασὶν, εἰ προεῖδεν ἁμαρτήσειν τὸν

Ἀδὰμ

Ἀδὰμ ὁ Θεὸς, τί καὶ προήγαγεν αὐτόν; καὶ πολλαὶ μέν εἰσι καὶ πάγκαλοι τοῦδε τοῦ ἀπορήματος ἐπιλύσεις. Λέγει δ' οὖν καὶ ὁ θεόσοφος Ἰωάννης ὁ Χρυσόστομος, ὅτι οὐ τοῦτο μόνον φημὶ, ὅτι προῄδει, ἀλλ' ὅτι καὶ πεσόντα ἀνασήσει αὐτὸν διὰ τῆς οἰκονομίας· καὶ οὐ πρῶτον εἶδεν τὴν πῶσιν, εἰ μὴ προεπενόησεν τὴν ἀνάστασιν· ᾔδει, ὅτι πεσεῖται, ἀλλὰ προαπέθετο τῆς ἀναστάσεως φάρμακον, καὶ συνεχώρησεν εἰς πεῖραν ἐλθεῖν θανάτου τὸν ἄνθρωπον, ἵνα μάθῃ, τίνος μὲν ἀπολαύσει δι' ἑαυτόν· τίνος δὲ τῇ τοῦ πλάσαντος χάριτι· ᾔδει πεσόμενον τὸν Ἀδὰμ, ἀλλ' ἔβλεπεν ἐξ αὐτοῦ προελευσόμενον τὸν Ἄβελ, τὸν Ἐνὼς, τὸν Ἐνὼχ, τὸν Νῶε, τὸν Ἠλίαν, τοὺς προφήτας, τοὺς θαυμαστὸς ἀποστόλους, τὴν εὐγένειαν τῆς φύσεως, τὰ θεοκίνητα τῶν μαρτύρων καὶ σάρκινα τὴν εὐσέβειαν νέφη· ἔβλεπε ταῦτα, καὶ πῶς ἦν καλὸν, πῶς δὲ δίκαιον, πῶς δὲ θεοπρεπὲς, ἵνα, διότι ἔμελλεν εἰς ἄνθρωπος ἁμαρτάνειν, τοῦτον μὴ ἀναγαγεῖν ἐκ μὴ ὄντων, καὶ τοσούτων ἀνδρῶν, ὧν ἕνεκα καὶ ἕνα ἄξιος ὁ κόσμος, Φορὰν ἀνακόψαι, καὶ θερίσαι πρόῤῥιζον τὴν τοσαύτην τοῦ γένους βλάστησιν καὶ καλλονὴν, καὶ κατ' αὐτῆς ἐπαφιέναι τὴν ἐκτομὴν καὶ ὀργὴν, καὶ τό τε τῇ ἁμαρτίαν ὕστερον ἑλομένῳ οὔτε ἁμαρτόντος, οὔτε ἁμαρτεῖν μεμελετηκότος, ἅτε μήπω μηδ' ὑφεστῶτος; Εἰ γὰρ σωφρόνων ἐστὶν ἀνδρῶν, τὸ μελετήσαντα μὲν ἁμαρτῆσαι, μὴ ἁμαρτήσαντα δὲ, μὴ εἰσπράττειν εὐθύνας ἁμαρτημάτων· εἴπερ γε ἂν εἴη Θεῷ, τὸν, μηδὲ μελετήσαντα ἐξαμαρτῆσαι, τὰς τῶν ἡμαρτηκότων ἀπαιτεῖν δίκας, καὶ τό τε χαλεποῦ μὲν ὄντος τῷ ἁμαρτήματος, (πῶς γὰρ οὐ χαλεπὸν ἀθέτησις δεσποτικῆς ἐντολῆς;) ἐκ ἀνιάτου δὲ ἐσομένου τῇ ἀφάτῳ φιλανθρωπίᾳ τοῦ πλάσαντος, καὶ τὲς πρωτοπλάστους εἰς τὴν ἀρχαίαν ἐπαναγεσθαι μέλλοντος εὐγένειαν· ὥστε εἰ μὴ πρόηδει, διότι ἔμελλεν ἁμαρτεῖν ὁ ἀρχέγονος, ἐδείκνυτο ἂν τὸ θεῖον, τὸν μὴ ἁμαρτάνοντα κολάζον, καὶ τῆς ὕστερον ἀνακλήσεως καὶ σωτηρίας ἀποστερῶν, καὶ τοσούτων ἀνδρῶν καλῶν τε καὶ ἀγαθῶν ἔρημον τὴν κτίσιν ἀποφαίνον.

ΝΗ. (ρλβ'.)

Τί ἐστι πρωτότοκος πάσης κτίσεως;

Τοῦ θείου Παύλου εἰπόντος, πρωτότοκος πάσης κτίσεως, οἱ αἱρετικοί, μὴ νοήσαντες περὶ ποίας κτίσεως λέγει, εἰς κτίσμα τὸν Υἱὸν ἀνόητοι καταβιβάζουσι. Διττὴ δὲ ἡ κτίσις· ἡ μὲν γάρ ἐστιν ἡ γεγεννημένη· ἡ δὲ ἡ ἀνακαινιζομένη. αὐτὸς γὰρ Παῦλος βοᾷ· εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· ἵνα δὲ λαμπρῶς ἀποδείξῃ, ὅτι τῆς ἀνακαινισθείσης κτίσεως λέγει πρωτότοκον τὸν Χριστὸν, ἐπάγει· πρωτότοκος ἐκ νεκρῶν, ἵνα γένηται ἐν πᾶσι πρωτεύων. πρωτεύων τῶν ἀνακαινιζομένων, τῶν εἰς ἀφθαρσίαν καλεσμένων, τῶν ἐκ νεκρῶν ἐγειρομένων. πρωτεύων, ἢ κατὰ τὴν θεότητα· ἄπαγε· ὕβρις γὰρ Θεῷ, τὸ καλεῖσθαι πρῶτον τῶν κτισμάτων, ὃς ἀῤῥήτῳ λόγῳ καὶ ἀνεπινοήτῳ ὑπεροχῇ πάσης ὑπερήρτηται καὶ ὑπερίδρυται Φύσεως· ἀλλὰ πρωτεύει κατά γε τὴν ἀνθρω-

ἀνθρωπότητα, ἀρχηγὸς ἡμῶν γεγονὼς τῆς ἀναστάσεως, καὶ τῆς ἐκ φθορᾶς εἰς ἀφθαρσίαν μεταστοιχειώσεως. Εἰ γὰρ ὁ Ἠλίας τὸν υἱὸν τῆς χήρας ἤγειρε, καὶ Ἐλισσαῖος τὸν τῆς Σωμανίτιδος, καὶ αὐτὸς ὁ Σωτὴρ τεταρταῖον τὸν Λάζαρον συνεξανέστησεν· ἀλλ' οὐδεὶς αὐτῶν εἰς ἀφθαρσίαν καὶ ἀθανασίαν ἐξανέστη, πάλιν γὰρ αὐτῶν ὁ θάνατος ἐκυρίευσεν. Χριστὸς δὲ ἀναστὰς ἐκ νεκρῶν οὐκ ἔτι ἀποθνήσκει, θανάτου αὐτῷ οὐκ ἔτι κυριεύει. ἀλλ' οὐδὲ ἐκείνων, ἃς κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν ἀναστήσει. ὢ κακῆς καὶ ἄφρονος ἡμῶν γνώμης! ἦλθεν ὁ Χριστὸς πρὸς ἡμᾶς, ἔδωκεν ἡμῖν τὸ αὐτοῦ Πνεῦμα, καὶ ἀνέλαβεν τὸ ἡμέτερον σῶμα, καὶ τὸ συνάλλαγμα προῆλθεν· καὶ λαβὼν ἡμῶν τὸ Φύραμα ἀνύψωσεν αὐτὸ, καὶ ἐκάθισεν ἐν δεξιᾷ τῷ Πατρός· καὶ ἡ ἀγνωμοσύνη τὴν εὐεργεσίαν ὑβρίζει. Φύσιν ἐξ ἡμῶν ἀνέλαβε καὶ ἐκ δεξιᾶς Πατρὸς ἐκάθισεν, ἐλάβομεν ἐξ αὐτοῦ τὸ Πνεῦμα, καὶ ὑβρίζομεν ἐν κτίσμασι καὶ δούλοις αὐτὸν καλαλέγοντες.

ΝΘ. (ρλγ'.)

Τί ἐστι δέησις καὶ προσευχή;

Ὅτι, φησὶ (*), δέησις μὲν λέγεται, ὅταν τις τὸν Θεὸν ἀξιοῖ εἰς πρᾶγμα· προσευχὴ δὲ, ὅταν ὑμνῇ τὸν Θεόν· εὐχαριστία δὲ, ὅταν τις ὑπὲρ ὧν ἔλαβεν, χάριν ἀνθομολογῇ τῷ Θεῷ· ἐντυχία δὲ, ὅταν τις κατὰ τῶν ἀδικούντων ἐντυγχάνῃ τῷ Θεῷ, προσκαλούμενος αὐτὸν εἰς ἐκδίκησιν. Ὅτι δὲ τὸ ἐντυγχάνειν ἐκ ἔστι, φησὶν, ἱκετεύειν, ἀλλ' ἐρωτᾶν, καὶ ἀπόκρισιν δέχεσθαι, λέγει ὁ Θεὸς πρὸς τὸν Ἠλίαν· τί σὺ ἐνταῦθα, Ἠλία; ἀποκρίνεται ἐρωτηθεὶς ὁ προφήτης· ζηλῶν ἐζήλωκα Κυρίῳ παντοκράτορι, ὅτι ἐγκατέλιπόν σε υἱοὶ Ἰσραὴλ, καὶ ἐξῆς. Καὶ οὐκ ἔστιν ἐνταῦθα δέησις, ἀλλ' ἐρώτησις καὶ ἀπόκρισις· καὶ γέγονεν τὸ ἐξ ἀμφοῖν ἔντευξις. Καὶ πόθεν δῆλον; Παύλε λέγοντος ἄκουσον· οὐκ ἀνέγνωτε ἐν Ἠλίᾳ τῷ προφήτῃ, τί λέγει ἡ γραφὴ, ὡς ἐντυγχάνει τῷ Θεῷ κατὰ τοῦ Ἰσραήλ; οὐκοῦν ἐνλυχία ἐκ ἔστι δέησις. Ἀλλὰ ταῦτα μὲν ὁ Χρυσόστομος. δεῖ δ' ἔν ἔτι λεπτομερέστερον τὰς διαφορὰς τῶν εἰρημένων ὀνομάτων ἐπισκέψασθαι, καὶ ἐπιθεωρῆσαι, αὐτὰ μὴ τῷ πλήθει μόνον ἱκανὰ εἶναι λεκτέον, ἀλλὰ καὶ τοῖς δεινότερον διακωδωνίζειν ταῦτα βουλομένοις ἀνάλωλα καὶ ἀνεπηρέαστα διαμένειν.

Ξ. (ρλδ'.)

Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον· δικαιοσύνη γὰρ Θεοῦ, καὶ ἐξῆς.

Ὅτι φησὶν ὁ Παῦλος, οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον· δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται. Πῶς ἓν δικαιοσύνη Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται; πῶς; ἐπειδὴ ὁ πρῶτος νόμος Ἰουδαίοις μόνοις ἐδέδοτο, καὶ οὐ τῶν ἄλλων ἀνθρώπων ἐστὶ, τῆς αὐτῆς ὑπαρχόντων δημιουργίας καὶ Φύσεως· τὸ δὲ εὐαγγέλιον πᾶσιν ὁμοτίμως τοῖς ὁμοφυέσιν εἰκότως· ἐν αὐτῷ δικαιοσύνη Θεοῦ ἀποκαλύπτεται, καὶ καλεῖται δικαιοσύνης εὐαγγέλιον. Ἐν τοίνυν τῇ παλαιᾷ διαθήκῃ ἐκ ἦν ἡ κλῆσις δικαία· οὐ γὰρ ὁμοίως πάντας ἐκάλει καὶ ἐφώτιζεν·

(*) ὁ Χρυσόστομος.

τὸς Ἰεδαίους δὲ μόνους. ἐκ ἦν ἓν δικαίᾳ, ἀλλ' οἰκονομικὴ, προπαρασκευάζουσα ὁδὸν τῇ δικαιοσύνῃ. ἃ λέγω ταύτην δικαίαν, κἀκείνην ἄδικον, ἀλλ' ἐκείνην ὁδὸν ταύτης καὶ προκατασκευήν. ὑπελάμβανον ἓν οἱ Ἰεδαῖοι, ὅτι καὶ τὸ εὐαγγέλιον αὐτοῖς δοθήσεται καὶ μόνοις, ὥσπερ καὶ ὁ νόμος· ἐξέβη δὲ παρ' ἐλπίδας ἡ προσδοκία· διὸ καὶ Δαβὶδ λέγει· ὑπελάβομεν, ὁ Θεὸς, τὸ ἔλεός σε ἐν μέσῳ τοῦ λαοῦ σε· εἶτα, κατὰ τὸ ὄνομά σε ὁ Θεὸς, οὕτω καὶ ἡ αἴνεσίς σε· οὐχὶ ἐν μέσῳ τοῦ λαοῦ σε μόνε, ἀλλ' ἐπὶ τὰ πέρατα τῆς γῆς· καὶ ἵνα δείξῃ, ὅτι τὸ ἐλεῆσαι τὰ πέρατα τῆς γῆς δικαιοσύνης ἐστὶν, ἐπάγει· δικαιοσύνης πλήρης ἡ δεξιά σε· ὁ Κύριος ἐβασίλευσεν. πῶς ὁ Κύριος ἐβασίλευσεν; ἆρ' ὡς πρόσφατον λαβὼν τὸ τῆς βασιλείας ἀξίωμα; εἰ μὲν γὰρ εἶπεν· ὁ Κύριος βασιλεύει, τὴν ἀΐδιον αὐτοῦ ἑρμήνευεν ἐξουσίαν. εἰπὼν δὲ, ἐβασίλευσεν, τὴν διὰ σαρκὸς αὐτοῦ οἰκονομίαν λέγει, δι' ἧς ἡ φύσις ἡμῶν τὴν ἐπικράτειαν τοῦ διαβόλου, τῆς ἁμαρτίας, τοῦ θανάτου ἀποσεσαμένη, ἐπέγνω πλάσην τὸν ὡς ἀληθῶς βασιλέα, τὸν χορηγὸν τῆς ἀφθαρσίας καὶ τῆς ἀναστάσεως. Εὐαγγελίζεται τοίνυν ὁ Δαβὶδ τοῖς ὑπὸ τῆς ἁμαρτίας, ὑπὸ τοῦ θανάτου, ὑπὸ τοῦ διαβόλου πάλαι βασιλευομένοις, ὅτι ὁ ζυγὸς ἐκεῖνος συντέτριπται, τὸ κράτος λέλυται· καὶ βασιλεύει πάντων ὁ Κύριος, ὡς καὶ αὐτὸς μετὰ τὴν ἀνάστασιν ἔφη· ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. πρὶν δὲ ἐβασίλευσεν ἡμῶν ὁ θάνατος καὶ ἡ ἁμαρτία. ἐβασίλευσε γὰρ ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως, καὶ ἐξῆς· καὶ ὁ Σωτὴρ περὶ τοῦ διαβόλου· καὶ εἰ ὁ Σατανᾶς τὸν Σατανᾶν ἐκβάλλει, ἐμερίσθη ἡ βασιλεία αὐτοῦ. ὥστε ἐβασίλευσεν πρὸ τῆς ἐπιδημίας τοῦ Χριστοῦ τοῦ γένους ἡμῶν ὁ Σατανᾶς, ἀλλὰ καὶ ἡ ἁμαρτία. λέγει γὰρ πάλιν ὁ Παῦλος· ὥσπερ γὰρ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θνητῷ ἡμῶν σώματι, οὕτω καὶ ἡ χάρις βασιλεύει διὰ Χριστοῦ. ὁ Κύριος ἐβασίλευσεν· πέπαυται τῆς ἁμαρτίας τὸ κράτος, τοῦ θανάτου, τοῦ διαβόλου· οὐκοῦν ἀγαλλιάσθω ἡ γῆ, ἡ φύσις ἡ γηγενὴς, ἡ ποτὲ πλανωμένη, νῦν δὲ δοξαζομένη, ἡ ποτὲ ἐν τάφοις, νῦν ἐν θρόνοις· ὅτι, φησὶν, οἰκονομίας ἦν τὰ πλεῖστα τῶν ἐν τῇ παλαιᾷ, ἀλλ' οὐκ αἱρεσικείας Θεοῦ καὶ προηγουμένης εὐδοκίας· καὶ τύποι τῶν μελλόντων καὶ σκιαὶ, ἀλλ' οὐκ αὐτὰ τὰ πράγματα. καὶ ἔστιν ἰδεῖν ἐπ' αὐτῶν ἄλλα μὲν τὰ σχήματα, ἄλλα δὲ τὰ νοήματα· οἷον πάντως Θεὸς οὐκ ἀναπαύεται ὑακίνθῳ καὶ πορφύρᾳ, καὶ κόκκῳ, καὶ βύσσῳ. Θεὸς γὰρ ψυχῶν ἀπαιτεῖ καθαρότητα, οὐ σωμάτων ἄνθη καὶ λαμπρότητα, ἀλλ' ἐν ταῖς σωματικαῖς φαιδρότησι τὴν εἰκόνα τῶν ἀρετῶν διαγράφει. Εἰ γὰρ ταῖς σκιαῖς ἐκείναις ὡς ἀληθῶς ἀνεπαύετο, πῶς τὸν Μωϋσῆν πρὸ τοῦ Ἀαρὼν οὐκ ἐνέδυσεν· ἀλλ' ἦν ἐκεῖνος ἐκ ἐνεδύσατο, ταύτην τὴν ἱερέως ἠμφίασεν; καὶ Μωσῆς μὲν οὐκ ἐλούσθη ὕδατι καὶ ἔλυσεν· διὰ τί; ἵνα μάθῃς, ὅτι ἐκ ἦν ταῦτα προηγούμενα τῷ Θεῷ, ὅτι τῷ τελείῳ πρὸς κόσμον ἀρκεῖ ἡ ἀρετὴ, καὶ ὅτι ταῦτα τύπος ἦν ἀρετῆς, ἀλλ' ἐκ ἀρετή. Ὅτι ἐπὶ τῆς κεφαλῆς, φησὶν, ἔφερεν ὁ ἀρχιερεὺς

ρεὺς τιάραν, διότι τὸν προχειριζόμενον ἁπάντων κεφαλὴν κατὰ κεφαλῆς ἔχειν τὴν ἐξουσίαν ἔδει, καὶ εἰδέναι, ὅτι κεφαλῇ τῶν ἄλλων προβαλλόμενος καὶ αὐτὸς ὑπὸ κεφαλήν ἐστι, τὸν κοινὸν ἁπάντων δεσπότην καὶ ἐξουσιαστήν· ἀπολελυμένη γὰρ αὐθεντεία καὶ αὐτόνομος ἀφόρητός ἐστιν καὶ χαλεπή· διὰ τοῦτο καὶ ἐν τῇ χάριτι οἱ ἀρχιερατεύειν τελέμενοι, τὸ εὐαγγέλιον ἐπὶ κεφαλῆς δέχονται, ἵνα μάθῃ ὁ χειροτονέμενος, ὅτι τὴν ἀληθινὴν τοῦ εὐαγγελίου τιάραν λαμβάνει, καὶ ὅτι, εἰ καὶ τῶν ἄλλων ἱερουργεῖται κεφαλή, ἀλλ' ἓν καὶ αὐτὸς ὑπὸ τούτους τελεῖται τοὺς νόμους, καὶ τῶν ἄλλων κρατῶν κρατεῖται τῷ νόμῳ. ἀλλ' ἡ μὲν τιάρα τὴν ἐξουσίαν ἐτύπου, ἣν τε αὐτὸς εἶχεν τοῦ λαοῦ, καὶ ὑφ' ἣν αὐτὸς ἀνεφέρετο τοῦ Θεοῦ· τὸ δὲ πέταλον τὸ χρυσοῦν, ἐν ᾧ τὸ ὄνομα ἐκεκόλαπτο τοῦ Θεοῦ, ἐπέκειτο μὲν τῷ σήθει, Φυλακῆς δ' ἐπεῖχε τύπον τῶν ἐν καρδίᾳ κινημάτων, καὶ ὡς δεῖ ταῦτα καταῤῥυθμῆσαι τῇ πρὸς τὸ θεῖον νεύσει καὶ ἀναφορᾷ. ἐπὶ δὲ τῶν ὤμων σμαράγδοι λίθοι δύο, ἔχουσες τὰς ἐξ Φυλὰς ἐντεῦθεν, καὶ τὰς ἐξ ἐντεῦθεν. οὗτοι δὲ σύμβολον ἦσαν τῆς ὄψεως τῆς ἀρχιερατικῆς· ἔχει γὰρ ἡ τοῦ σμαράγδου ψῆφος καὶ χλωρότητα εὐπρεπῆ, καὶ καθαρότητα διαυγῆ, κατόπτρου δύναμιν ὑποφαίνουσα· καὶ δεῖ τὸν ἱερέα καὶ ἀσκήσει νήφειν, καὶ τὸν βίον τοῖς ὑπ' αὐτὸν ὥσπερ κάτοπτρον παρέχειν. ἐπὶ τὸν ὦμον δὲ ἡ σμάραγδος, ἐπειδὴ πράξεώς ἐστι σημεῖον· ἡ γὰρ πρακτικὴ δύναμις τῶν ὤμων ἤρτηται· διὸ καὶ ὁ Θεὸς πρὸς τὴν Ἱερουσαλὴμ λέγει, θὲς τὴν καρδίαν σου ἐπὶ τῶν ὤμων σου, θύγατερ ἡ τιμωμένη, ὅτι Κύριος κτίζει σε εἰς σωτηρίαν· καὶ γὰρ τὰς χεῖρας καὶ τοὺς ὤμους εἰς πράξεις ἡ γραφὴ λαμβάνει, ὡς ὅταν λέγει περὶ τοῦ Δαβὶδ καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς. Ἐνῆσαν δὲ τῷ λογίῳ τῷ ἐπὶ τοῦ σήθους καὶ οἱ δώδεκα λίθοι ἐνηρμοσμένοι, τὰς δώδεκα Φυλὰς ὑποδηλοῦντες. καὶ ὅρα· ἄνω μὲν καὶ ἐπὶ τῶν ὤμων μία ἦν Φύσις τῶν λίθων ὁ σμάραγδος, κάτω δὲ καὶ ἐπὶ τοῦ σήθους οἱ δώδεκα· αἰνιττομένου τοῦ λόγου, ὅτι ἄνωθεν μὲν ἁπαντες ἐκ μιᾶς προήλθομεν Φύσεως, προϊόντος δὲ τοῦ χρόνου διαφόροις γνώμαις ἐμερίσθημεν· καὶ τὸ μὲν δίδωσι τῇ γνώμῃ, τὸ δὲ τῇ Φύσει. Ὑπὸ δὲ κράσπεδον τοῦ ἱερέως, τὸ λεγόμενον λῶμα, ἄνθη ῥόας καὶ ῥοΐσκοι, καὶ κώδωνες ἀπηώρηντο· καὶ πῶς ἂν εἴη Θεῷ ταῦτα κατὰ πρῶτον λόγον ἀρέσκοντα; ἀλλ' ἐν τῷ χήματι τοῦ ἱερέως ἐφῆκεν ἐξεικονίζεσθαι τὰς ἀρετάς· κάτω ἄνθη καὶ καρποὶ τὰ τῶν ἀρετῶν κατορθώματα, ἅτινά ἐστιν ἐλεημοσύνη καὶ δικαιοσύνη καὶ Φιλανθρωπία, καὶ τῶν ἄλλων ὁ σύστοιχος χορός.

*Ὅτι, Φησὶν, μὴ μεταβαλὼν ῥήματα Θεοῦ ζῶντος· εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ἐβαπτίσθης· τί ἀναιρεῖς τὰ ὀνόματα τὰ ζῶντα καὶ εἰσάγεις ὀνόματα λογισμῶν, γέννημα λέγων, καὶ ἀγένητον, καὶ γεννητὸν, οὐκ ὄν, καὶ μὴ ὂν ἀεί; Τίνων ἀνέχεται Θεὸς, τῶν ματαίων ῥημάτων; ἓν ῥῆμα, ἵνα μεταβάλῃ προφήτας, ποτὲ ἐκινδύνευσεν ἀπολέσθαι· καὶ βλέπε ῥήματος μικρᾶς ἀκριβολογίαν· τὰ ῥήματα τῶν προ-

Φητῶν τινες ἐκάλεν ὑπὸ ἀπειρίας λῆμμα Κυρίε. λέγει ὁ Θεὸς διὰ Ἱερεμίε· ἐὰν ἐρωτήσει σε ὁ λαὸς, ἢ ὁ ἱερεὺς, ἢ ὁ προφήτης, καὶ εἴποι σοι, τί τὸ λῆμμα; εἰπὲ αὐτοῖς, ὅτι τὸ λῆμμα Κυρίε ὑμεῖς ἐστε, λήψομαι γὰρ ὑμᾶς λῆμμα, καὶ ῥάξω ὑμᾶς, ἵνα μὴ λέγηται λῆμμα. ἓν ῥῆμα ἵνα μὴ μεταποιηθῇ, ἀπειλεῖ ὁ Θεός· καὶ σὺ ὁλόκληρον δογμάτων ἀκρίβειαν διαστρέφων νομίζεις διαφυγεῖν τὰς τοῦ Θεοῦ χεῖρας;

ΞΑ. (ρξ΄.)

Εἰς τὸ ῥητόν· εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθε, ἰδοὺ γέγονε καινὰ τὰ πάντα.

Ὅτι, φασὶν οἱ Ἕλληνισταὶ, καὶ τὸ Ἰουδαΐζον· τί κομπάζει Παῦλος λέγων· τὰ ἀρχαῖα παρῆλθε, ἰδοὺ, γέγονε τὰ πάντα καινά· εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις. ἐγὼ γάρ, φησι, καινὸν οὐδὲν βλέπω. ἃ γὰρ ἔχεις ὀφθαλμοὺς, ἵνα ἴδῃς ταῦτα· δεῦρο, καὶ ποιήσω σοι ὀφθαλμοὺς καὶ ὁράσεις. καὶ σὺ ποιεῖς ὀφθαλμούς; ναί. καὶ δημιουργὸς εἶ; καὶ πάνυ. σὺ ἀπονενόησαι; οὐχί. οὐκοῦν ποιεῖς ὀφθαλμοὺς τοῦ σώματος; ὅ· ἀλλὰ τὸ μεῖζον τῆς διανοίας. καὶ ποιεῖς μοι ὀφθαλμούς; μάλιστα. οὐ γὰρ ἔχω; οὐχί. σὺ δὲ ἔχεις; ναί. πῶς; εἰπέ μοι. ὅταν ἀπέλθῃς εἰς ναὸν, καὶ ἴδῃς ἐκεῖ ξόανον γυμνὸν, λίθον ἄφωνον, καὶ εἴπῃς· οὗτος ὁ Θεός ἐστιν· ἆρα ὀφθαλμοὺς ἔχεις; μὴ γὰρ ὄφελός τι τῶν ἔξωθεν ὀφθαλμῶν τῶν ἔνδον πεπηρωμένων· ὁρᾷς, ὅτι χρείαν ἔχεις, ἵνα ποιήσω σοι ὀφθαλμοὺς, ὥστε τὸν λίθον σε ἰδεῖν λίθον, καὶ τὸ ξύλον, ξύλον· ὀφθαλμοὺς ἔχεις, ὅταν ἴδῃς ξύλον, καὶ προσκυνήσῃς; καὶ λαβὼν ἐγὼ αὐτὸ καύσω· ἆρα ἔχεις ὀφθαλμοὺς τὸ καιόμενον Θεὸν ὀνομάζων; ὅταν τὰ πάθη θεοποιεῖς, ὀφθαλμοὺς ἔχεις; μεθύει ὁ ἄνθρωπος, καὶ περιφέρεται, καὶ καταγελᾶται, καὶ γίνεται αὐτὸ τοῦ ἀνθρώπου ἄλογος· σὺ δὲ λέγεις· ἡ μέθη Θεὸς, ὁ Διόνυσος· ἡ κλοπὴ Θεὸς, ὁ Ἑρμῆς· ὁρᾷς, ὅτι χρεία σοι ὀφθαλμῶν; ὁ νόμος τὰ πάθη κολάζει· καὶ σὺ ταῦτα ποιῶν οὐκ αἰσθάνῃ. Εἰ βέλει δὲ, πρόσχες, ὅπως γέγονε πάντα καινά· κτίσις ἐν τῇ γραφῇ λέγεται ἐ μόνον ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγὴ, ἀλλὰ καὶ ἡ ἐκ τοῦ ὄντος ἐπὶ τὸ βέλτιον μεταβολή. ἔκτισεν ὁ Θεὸς τὸν οὐρανόν· τοῦτό ἐστιν ἐκ τοῦ μὴ ὄντος ἐργάσασθαι. κτίζει, καὶ ὅταν τὸν πονηρὸν ἄνθρωπον καλὸν ἀπεργάσηται· ἐνταῦθα τὸ κτίζειν ἐστὶν ἐπὶ τὸ βέλτιον μεταβολή. Καὶ ἄκουσον τοῦ Δαβὶδ λέγοντος· ἐπειδὴ γὰρ ἦν αὐτὸς καὶ ἡ καρδία αὐτοῦ ἐκτισμένη, ἐρρυπώθη δὲ τῇ μοιχείᾳ καὶ τῷ φόνῳ, καὶ πρὸς Θεὸν κατεφέρετο, παρακαλεῖ τὸν Θεὸν, καὶ λέγει· καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός. οὐχ ὅτι πρότερον οὐκ εἶχε καρδίαν, οὐδὲ περὶ τῆς οὐσίας τῆς καρδίας λέγει· ἀλλὰ περὶ τῆς κοσμιότητος αὐτὴν ἀρίστης πολιτείας. Ἰδοὺ τοίνυν, κτίσις λέγεται ἐ μόνον ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγὴ, ἀλλὰ καὶ ἡ τῆς οὐσίας διαφθαρείσης εἰς τὸ βέλτιον μεταβολή· οὕτω κτίζεται σώφρων ἡ πόρνη, οὕτως ἐλεήμων ὁ ἅρπαξ· οὕτω μεταβάλλεται εἰς πρόβατον ὁ λύκος, καὶ ὁ ἱέραξ εἰς περι-

περιστεράν· δύο κτίσεις. Διὰ τοῦτο καὶ τὸ λουτρὸν κτίσμα λέγεται· τὸ λουτρὸν λέγω τῆς παλιγγενεσίας. Ἀποδυσάμενοι γάρ, φησι, τὸν παλαιὸν ἄνθρωπον, ἐνδυσάμενοι δὲ τὸν νέον, τὸν ἀναγεννώμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν. Ὁρᾷς ἓν, ὅτι ἐστὶ καινὴ κτίσις. τί γάρ μοι ὄφελος, ἐὰν γένηται ὁ οὐρανὸς καινὸς, καὶ γῆ καινὴ, ἐγὼ δὲ ταῖς ἁμαρτίαις πεπαλαίωμαι; ὁ οὐρανὸς οἶκός ἐστιν, ἐγὼ δὲ ὁ διαιτώμενος ἐν αὐτῷ, καὶ νοσῶν. Ἐὰν ἰατρὸς εἰς τὴν οἰκίαν τοῦ ἀῤῥωστοῦντος εἰσέλθοι, καὶ τοῦ μὲν ὀδεμίαν πρόνοιαν λάβοι, λευκαίνει δὲ τοὺς τοίχους, καὶ χρυσογραφεῖ τὸν ὄροφον, ἐκ ἂν εἴποις αὐτῷ, ἄνθρωπε, ἀνάστησον τὸν νοσοῦντα, τί τὴν οἰκίαν καλλωπίζεις; βοήθησον τῷ κειμένῳ· καὶ ὁ Χριστὸς εἰσῆλθεν εἰς τὸν κόσμον τοῦτον, ἐν ᾧ κατακειμένην εὗρεν τὴν Φύσιν μὲ νοσοῦσαν, καὶ πρὸς τὴν θεραπείαν αὐτῆς ἅπαντα δέχεται τὸν ἀγῶνα, καὶ ἀνακαινίζει καὶ ἀνορθοῖ τὴν Φύσιν. τί οὖν τὸν ἰατρὸν μέμφῃ, ὅτι μὴ ταῦτα ἐποίει· τὸν Χριστὸν δὲ πάλιν ὑπὸ μώμων ποιεῖς, ὅτι ταῦτα ποιεῖ; ἔτω παρῆλθεν τὰ ἀρχαῖα· ἔτω γέγονε τὰ πάντα καινά· ἔτω καινὴ κτίσις· καὶ μυρία ἄν τις τοιαῦτα ἐπισυνάπτῃ.

ΞΒ. (ρϟζ'.)

Διὰ τί ὁ ἀπόστολος, ὅταν περὶ Χριστοῦ διαλέγηται, θάνατον καλεῖ τὸν ἐκείνου θάναλον· ὅταν δὲ περὶ τοῦ ἡμῶν, κοίμησιν;

Τί δήποτε, ὅταν μὲν περὶ τοῦ Χριστοῦ διαλέγηται Παῦλος, θάνατον καλεῖ τὸν ἐκείνου θάνατον, ὅταν δὲ περὶ τῆς ἡμετέρας τελευτῆς, κοίμησιν αὐτὴν, καὶ οὐ θάνατον ὀνομάζει; Καὶ γὰρ ἐν τῷ αὐτῷ λόγῳ τρίτον μνηθεὶς τῆς τελευτῆς τῶν ἀνθρώπων, οὐδαμοῦ θάνατον λέγει, ἀλλὰ κοίμησιν τὴν ἀναχώρησιν λέγει. Οὐ γὰρ παρέργως ταύτῃ κέχρηται τῶν λέξεων τῇ παρατηρήσει, ἀλλὰ σοφόν τι καὶ μέγα καταστρεύάζει. Ἐπὶ μὲν οὖν τοῦ Χριστοῦ θάνατον καλεῖ, ἵνα τὸ πάθος πιστώσηται· ἐπὶ δὲ ἡμῶν, κοίμησιν, ἵνα τὴν ὀδύνην παραμυθήσηται· ἔνθα μὲν γὰρ παρεχώρησεν ἡ ἀνάστασις, θαῤῥῶν καλεῖ θάνατον· ἔνθα δὲ οὐ ἐλπίσιν ἔτι μένει, κοίμησιν καλεῖ, καὶ διὰ ταύτης παραμυθούμενος ἡμᾶς τῆς προσηγορίας, καὶ χρηστὰς ἐλπίδας ὑποτείνων ἡμῖν· ὁ γὰρ κοιμώμενος ἀναστήσεται πάντως· ἐπεὶ καὶ θάνατος οὐδὲν ἕτερόν ἐστιν, ἢ μακροχρόνιος ὕπνος.

ΞΓ. (ρϟδ'.)

Τίς ἡ παραβολὴ τοῦ τὴν πατρικὴν οὐσίαν λαβόντος, καὶ εἰς χώραν ἀποδημήσαντος μακράν;

Ὅτι τὸ τάγμα τῶν δικαίων οὐ βούλεται εἰς ἑαυτὸν ἁρπάσαι τὴν ἐξουσίαν τῶν κτισμάτων, ἀλλ' ὑπὸ τὴν τοῦ Σωτῆρος πρόνοιαν θέλει κεῖσθαι τὰ τῆς οἰκονομίας· διὸ καὶ ἡ παραβολὴ τὸν νεώτερον εἰσάγει, λαβόντα τὴν πατρικὴν οὐσίαν, εἰς χώραν ἀποδημῆσαι μακράν· τὸ δὲ μῆκος οὐ σχοίνοις διετείνετο, ἀλλὰ τρόποις ἐζητοπίζετο. Καὶ γὰρ ὁ ἁμαρτάνων μακρὰν γίνεται Θεοῦ, οὐ τόπῳ, ἀλλὰ τρόπῳ. Λαβὼν δὲ τὴν οὐσίαν τὴν πατρικὴν ἀπώλεσεν αὐτὴν, οὐσώτως

ζῶν. ἔλαβεν ἥλιον εἰς ἀπόλαυσιν, καὶ τὸ δῶρον ὡς Θεὸν προσεκύνησεν· ἔλαβεν πηγὰς εἰς τρυφὴν, καὶ τὸ δῶρον ἐθεοποίησεν· ἠγνόησε τὸν χαρισάμενον, καὶ τὸ χάρισμα ὑπερεδόξασεν ἡ αὐτὴ κτίσις. ἀλλ' ὁ πᾶσιν ὁμοίως ἐρωμένη πατρικὴ ἡ ὑσία· ἀλλ' ὁ μὲν καλῶς αὐτῇ, ὁ δὲ κακῶς ἀπεχρήσατο· τάγμα τῦτο καὶ κεῖνο, εἰ καὶ διάφορον. ὁ εὐσεβὴς τὸ κάλλος ὁρᾷ τῦ ὐρανῦ, καὶ ἀπὸ τῦ κάλλες τὸν δημιυργὸν ἀνυμνεῖ· Ὄψομαι γάρ, φησι, τὲς ὐρανὲς ἔργα τῶν δακτύλων σε. εἶδεν ὁ ἀσεβὴς, καὶ πρὸς μὲν τὸν κτισὴν τὴν διάνοιαν ὐ διεβίβασεν· ἐναπομείνας τῷ κάλλει τῦ ὐρανῦ, Θεὸν ἐφαντάσθη τὸ δημιύργημα. ὁ εὐσεβὴς οὐχ ὑβρίζει τὴν κτίσιν, ἀλλὰ τῷ Δεσπότῃ τὴν προσκύνησιν ταμιεύεται· τιμᾷ τὴν κτίσιν, ἀλλ' ὡς ὁμόδελον· ἐκ ἀφωρῶν δὲ τὸ σέβας τῦ κτίσαντος περιάπτει τῷ κτίσματι· ἐπαινεῖ τὸ φιλοτέχνημα, ἀλλ' οὐχὶ τὴν τῦ τεχνίτου δόξαν εἰς ἐκεῖνο περιίζησιν. ὁ δὲ δυσσεβὴς κακῶς μὲν εἶδεν, κακῶς δὲ προσεκύνησεν, καὶ πᾶσαν τὴν τάξιν ἀνέτρεψεν· ὅτι δράκοντα πολλάκις ἡ γραφὴ καλεῖ τὸν διάβολον, καὶ ὄφιν σκολιόν. Διὸ καὶ ὁ Σωτὴρ φησιν· ἰδὲ δέδωκα ὑμῖν ἐξυσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων. καὶ ἵνα μὴ τὰ ἕρπονλα ὑπολάβῃς, ἐπήγαγεν· καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τῦ ἐχθρῦ. δράκων καὶ ὄφις ὁ διάβολος· οὐχ ὡς ῥίζα κακίας, ὥς φασιν οἱ Μανιχαῖοι, ἀλλ' ὡς κατάρχων τῶν δαιμονίων, καὶ ἀρχηγὸς αὐτοῖς τῆς ἐκπτώσεως γεγονώς.

ΞΔ. (σ΄.)

Γρηγορίῳ σπαθαροκανδιδάτῳ, αἰτησαμένῳ λύσιν ἀπορίας.

Ὁ ἀσπασμὸς ἄνωθεν· ἡ σύλληψις ἄσπορος, κύησις ἄφραστος, ὠδῖνες ἀλόχευτοι· σφραγὶς τῆς παρθενίας, ἡ τῶν ὠδίνων διάλυσις, (ὁ γὰρ τόκος ἄφθορος, καὶ ἡ τεκῦσα παρθένος καὶ μετὰ γέννησιν)· Θεὸς ἐν σαρκὶ τὸ τικτόμενον· χορὸς ἀγγέλων ἆσμα τὸ θαῦμα ποιύμενοι· ἔνθα τοσύτων καὶ τηλικύτων συνδρομὴ, πῶς ἄν τις διαμφισβητήσειε, καὶ πάντα ἀσεβῶν ἔθετο μελέτην, ὅτι μὴ ἐχὶ παρθένος ἡ παρθένος καὶ μέχρι τέλες διέμεινεν; Εἰ δὲ τὸ, ἓκ ἐγίνωσκεν αὐτὴν ἕως ἓ ἔτεκεν τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, ὑπόθεσιν βλασφημίας ἑαυτοῖς τινὲς ἂν εὑρίσκωσιν, ἴσωσαν, ὡς ἡ τῶν ἀχράντων λογίων ἀλήθεια τὸ μὲν παράδοξον καὶ ὑπερφυὲς καὶ ὑπὲρ κατάληψιν ἠβουλήθη παραξῆσαι, ὅπερ ἐστὶ τόκος ἄνευ ἀνδρὸς ἐπιγνώσεως· τὸ δὲ μετὰ ταῦτα νοεῖν κατέλιπεν ὡς ἀκόλυθον. Τὸ γὰρ τὴν ἐν τόκῳ παρθενεύσαν καὶ τὸ λοιπὸν διὰ βίε παρθενεύειν, οὔτε καινὸν ὅλως ἢ παράδοξον, ἀλλὰ καὶ τοῖς προηγησαμένοις ἐξ ἀναγκαίε μᾶλλον ἑπόμενον. ἄλλως τε δὲ καὶ τῶν Ἰυδαίων τέως ἐπισομίζειν ἔγνω τὸ βλάσφημον, οἳ ἐκ πορνείας τὸν ἄσπορον τόκον διέσυρον· διὸ καὶ πρὸς τὴν ἐκείνων ἴσαται κακόνοιαν, δι' ὧν τρανοῖ καὶ ἀνακηρύτλει τῆς τεκύσης τὸ ἀνέπαφον. κἀκεῖνο δὲ συνιέτωσαν, ὅτι μηδ' αὐτὰς

τὰς

τὰς λέξεις, ἐξ ὧν οἱ θεῖοι χρησμοὶ, συνιέναι ἠδελήθησαν· ἢ γὰρ ἄν, τὸ Ἕως κατέμαθον ἐνίοτε μὲν πρὸς ἀντιδιαζολὴν τῆ ἐφεξῆς χρόνε παραλαμβανόμενον, ἐνίοτε δὲ ἐπὶ δηλώσει μεγάλων μὲν ἔργων καὶ θεοπρεπῶν· καθάπερ καὶ νῦν, ἃ μὴν πρὸς ἀντιδιαζολὴν ἑτέρε χρόνε τινὸς, ἀλλὰ καὶ τἐναντίον εἰς ὑποδήλωσιν ἀπεράντε διαρκείας· καὶ ἀνακεῖρα τὰ παραδείγματα. Ἀνατελεῖ γὰρ ἐν ταῖς ἡμέραις αὐτῆ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως ἂ ἀνταναιρεθῆ ἡ σελήνη· καὶ, Κάθε ἐκ δεξιῶν με (ἀνύγραπτός ἐστιν ὁ Πατὴρ λέγων τῶ Υἱῶ) ἕως ἂν θῶ τὲς ἐχθρές σε ὑποπόδιον τῶν ποδῶν σε· καὶ, Ἰδὲ, ἐγὼ μεθ' ὑμῶν εἰμι (πάλιν ὁ Σωτὴρ τοῖς μαθηταῖς φησιν) ἕως τῆς συντελείας τε αἰῶνος. Καὶ δῆλον, ὡς ἐνταῦθα τὸ Ἕως ἔ χρονικόν τι μεθόριον καὶ πέρας παρεισάγει, μέγεθος δὲ θείων πραγμάτων ἡ λέξις συμπαραδηλέσα εἰς ἀπεριόριστον παράτασιν τὸν νῶν τῶν ἐντυγχανόντων ἀναπέμπει. Οὐ μόνον δὲ, ἀλλα καὶ τρίτον ἐστὶν ἰδεῖν αὐτῆ σημαινόμενον, δι' ἔ μέγα μὲν καὶ ὑπέρογκον ἐδὲν ὑποδηλῶται, ἁπλῶς δὲ τὸ ἐναντίον τῆ προτέρᾳ Ἕως διασημαίνεται· ὡς τὸ, Οὐκ ἀνέστρεψε πρὸς τὸν Νωὲ ἡ περιστερὰ, ἕως τῆ καταξηρανθῆναι τὴν γῆν· καὶ, Ἕως ἂν καταγηράσητε, (ἀλλαχῆ φησιν,) ἐγώ εἰμι ὁ Θεός· καὶ ἄλλα μυρία, δι' ὧν εὔδηλον καὶ τοῖς λίαν ἐθελοκωφῆσι καθίστασθαι, ὡς ἀντὶ τῆ διηνεκῶς, καὶ εἰς τὸν αἰῶνα, ἡ λέξις παραλαμβάνεται. Ὅταν ἔν δείξωσιν οἱ πάντα θρασεῖς, μετὰ τὴν τῆς σελήνης ἀνταναίρεσιν, τὴν τῆ Χριστῆ καὶ Θεῆ ἡμῶν δικαιοσύνην εἰς τὸ μὴ ὂν καταδύσαν, καὶ τὸ πλῆθος αὐτῆ τῆς εἰρήνης μεῖζόμενον, καὶ εἰς ἔχθραν διαχεόμενον· καὶ μετά γε τὸ ὑποληθεικέναι τὲς ἐχθρὲς αὐτῆ ὑπὸ τὰς πόδας αὐτῆ, τῆς ἐκ δεξιῶν καθέδρας τῆ Πατρὸς παρακινέμενον· (τὸ δὲ τὸ βλάσφημον εἰς τὰς τῶν ἀναιχυντέντων κεφαλάς·) εἶτα δὲ καὶ μετα τὴν συντέλειαν τῆ αἰῶνος, ὅτε μᾶλλον τοῖς μαθηταῖς ἡ οἰκείωσις, αὐτῶν ἀφιζάμενον· καὶ ἐπειδὰν καταγηράτωσιν οἱ τότε ἄνθρωποι, μηκέτι ὄντα τὸν Θεόν· εἰ βέλει δὲ, καὶ τὴν περιστερὰν μετὰ τὸ ξηρανθῆναι τὴν γῆν πρὸς τὸν Νωὲ ἀναστρέψασαν· τότε διαπορέτωσαν, καὶ εἰ μετὰ τὸν ἄῤῥητον καὶ παρθένιον τόκον, ἀνδρὸς ὁμιλίαν ἡ παρθένος ἐμελέτησεν. Εἰ δὲ μὴ κατ' ἐπιζολὴν ἔγραφον, πλείες ἄν, Θεῆ διδόντος, τὰς ἀποδείξεις σοι παρεθέμεθα· ἀλλ' ἱκανὰ καὶ ταῦτα οἷς μὴ μετὰ τῆς ἀγνοίας καὶ ἡ διάνοια προσαπώλετο. τὰ δ' ἄλλα, ψυχῆ καὶ σώματι ἔῤῥωσο.

ΞΕ. (σά.)

Ταρασίῳ πατρικίῳ, ἀδελφῷ ἠγαπημένῳ.

Εἰ μηδεὶς τῶν ἀδικέντων, καὶ ὅλως ἁμαρταιόντων, κατὰ χεῖρας εἶχε φθάνασαν τὴν δίκην, ἀλλὰ καὶ πάντες οἱ τῆς ἀρετῆς ἐργάται τὸν βίον ἔτριβον ἐν ταλαιπωρίᾳ, οὐκ ἄν σοι λίαν ἀτόπως ὁ περὶ προνοίας λόγος ἐχώλευεν. Ἐπεὶ δὲ πολλοὶ καὶ τῶν τὴν κακίαν μετιόντων, παρ' αὐτὰς τὰς πρά-

ξεις

ξεις ὤφθησαν τὰς δίκας δεδωκότες, καὶ τῶν ἀρετῇ ῥυθμιζομένων εὐπαθῆντες εἰσὶν ἐγνωσμένοι, πῶς ἐκ ἀνόητος ἡ κατὰ τῆς Προνοίας ἐπίνοια; Εἰ δ' ὅτι μὴ πάνλες ἐνταῦθα κομίζονται τὰ ἐπίχειρα, τοῦτό σε κατ' αὐτῆς ἀνερεθίζει, ἴσθι ὡς δι' ὧν ἔγνως αὐτῇ μάχεσθαι, μᾶλλον αὐτῆς ἀνακηρύτλεις, μετὰ τῆς σοφίας, τὸ ἄμαχον. Εἰ γὰρ πάντες ἐν τῷ νῦν αἰῶνι, οἱ μὲν τὰς εὐθύνας εἰσπράτλοντο τῶν ἡμαρτημένων, οἱ δὲ, ἐφ' οἷς ἔλοντο τὰ ἀμείνω, δόξης καὶ τιμῆς ἀπήλαυον καὶ εὐδαιμονίας, μάτην τε ἂν τὸ ἐκεῖθεν κριτήριον συνεσήκει, ὁπέρ ἐσι τῆς ἀνωτάτω Θεοῦ σοφίας καὶ κηδεμονίας, καὶ βίαιον ἄλλως καὶ ἀκέσιον ἡ τοῦ κακοῦ Φυγὴ ἐπεδείκνυτο, δεδοικότων, ὡς εἰκὸς, τῶν πλημμελεῖν ἐγνωκότων, τὴν παραυτίκα τιμωρίαν, καὶ ἐχὶ γνώμης ἀγαθῆς αἱρέσει, δειλίᾳ δὲ μᾶλλον ἀπὸ τῆς κακίας διασπωμένων. ἀλλά γε δὴ καὶ μισθαρνίᾳ, καὶ ἐκ ἀρετῇ, τῆς ἀρετῆς ἐτύγχανεν ἂν ἡ ἐργασία· καὶ οὐκέτι διάκρισις τῶν σπουδαίων καὶ τῶν Φαύλων ἐγεγόνει· οὐδέ τισι μὲν, ἵνα τῆς ἐκεῖθεν τύχωσι βασιλείας, καὶ ἵνα δεσποτικὰς συντηρήσωσιν ἐντολὰς, ἡ ἀρετῆς πρᾶξις, καὶ ἡ ταύτης χρῆσις ἐξ ἔρωτος θείᾳ, τισὶ δὲ ἵνα τὸν παρόντα βίον ἐν ἀπολαύσει διανύσωσι καὶ εὐδαιμονίᾳ. ἄλλως τε καὶ τὸ πάντων κάλλιστον, τὰς ἀγῶνας λέγω, ἐφ' οἷς οἱ δίκαιοι μάλιστα σεφανοῦνται, ἀναιρεῖντός ἐσι τὸ μηδένα τούτων βάλεσθαι τοῖς παροῦσι πόνοις ἐνταλαιπωρεῖσθαι. οὐ μόνον δὲ, ἀλλὰ καὶ, ὁ τῶν εἰρημένων ἀδενὸς εἰς ἀπόδειξιν ἀσθενέσερον, αὔξοντός ἐσι τὴν τιμωρίαν καὶ ὑπεροργιζομένε κατὰ τῶν ἁμαρτανόντων· ὧν ἑκάτερον ἀλλότριον τῆς τοῦ Θεοῦ Φιλανθρωπίας. τό τε γὰρ σεφάνες ἀφαιρεῖν, καὶ τὸ πικροτάτην καὶ ἄκρατον μηχανᾶσθαι τιμωρίαν, πόῤῥω καθέστηκε τῆς ἀγαθοειδοῦς ἐπισασίας. πῶς δ' ἐκ ἂν εἴη τοῖς ἁμαρτάνεσιν σφοδρὰ καὶ ἀπαραίτητος ἡ τιμωρία τρόπον τινὰ παρεσκευασμένη, καὶ ὅλος τρυγίας ἄκρατος, ὅταν ἐπὶ τοσοῦτον μὲν ὑπερβλυσις ᾖ τῆς εὐεργεσίας, ὥσε ἐξὸν ἄμεινον βιῶντας, καὶ τῆς ἐντεῦθεν εὐπαθείας, καὶ τῶν ἐκεῖθεν ἀγαθῶν ἀπολαύειν; τοῖς δὲ ἐδ' οὕτως, ἀντὶ τῶν χειρόνων, ἀφαίρεσις ἔπεσι τῶν κρειτλόνων. ὥσε τὸ, μὴ πάνλας τὰς σπουδαίας ἐνταῦθα τὸν βίον ἔχειν ἐν εὐροίᾳ, μηδὲ τὰς Φαύλας ἅπαντας ἐν ταλαιπωρίᾳ, τῆς ἄκρας ἔσι περὶ τὸ ἀνθρώπινον Φιλανθρωπίας τε καὶ κηδεμονίας. Κολάζονται τοίνυν ἐνταῦθά τινες τῶν μὲν σπουδαίων, ἐπὶ τῇ τῶν σεφάνων ἀπολήψει, καὶ ἵνα μᾶλλον αὐτοῖς ὁ θεῖος ἔρως θαυμασὸς εἴη, ἡλίκος καὶν ταῖς θλίψεσιν ἀνακμάζων ἐπιδεικνύοιλο. εἰ βάλει δὲ, καὶ ἵνα μὴ, ὡς ὁ θεῖος Παῦλός Φησιν, ὑπεραίρωνται, μηδὲ γε μείζες, ὑπὲρ ὃ ὁρῶνται, παρ' ἐνίοις νομίζωνται. Σὺ δέ μοι σύγες, εἰ βάλει, καὶ διότι μεγάλαις καὶ καθαραῖς ἡδοναῖς ταῖς κατ' ἀρετὴν ἐντρυφῶσι καὶ διαχέωνται, δίκαιοι ἂν εἶεν, ὥσπερ σύφοντί τινι καὶ συνάγοντι Φαρμάκῳ προσομιλεῖν καὶ ταῖς θλίψεσι· καὶ ὅτι ἡ τοῦ Θεοῦ χάρις διὰ τῆς ἀσθενείας αὐτῶν πλέον ἐκλάμπει καὶ θαυμάζεται. ἀλλὰ καὶ εἰς τελείαν αἰσχύνην τοῦ πονηροῦ καὶ κατάπλωσιν, ὅτι

καὶ

καὶ τοῖς τῶν πειρασμῶν ἰδρῶσι περιπαζόμενοι, οὔτε τὸν τῆς ἀρετῆς τόνον ἔλυσαν, εἰδ' εἰς τὴν κατ' αὐτὸ πάλην κατεμαλακίθησαν. οὐ πάντες δὲ τοῖς πειρασμοῖς παραδίδονται, ἵνα μὴ τοῖς ἀδενεξέροις κατὰ τῆς προνοίας οἱ λογισμοὶ συνταράσσωνται. Κολάζονται δὲ καὶ τῶν φαύλων οἱ μὲν ἐπὶ καθάρσει μολυσμάτων, ὅσοις μετριώτερόν τι διημάρτηται· οἱ δὲ, εἰς παράτασιν τοῦ πικροτέραν αὐτοῖς πάντως ἀποκεῖσθαι τῶν βεβιωμένων ἐκεῖθεν τὴν εἴσπραξιν, καὶ ἵνα καὶ τοῖς ἀνοήτοις τῆς τὸ Θεοῦ μισοπονηρίας συναίσθησις γένηται. Οὐ πάντες δὲ, ἵνα μὴ μάτην τὸ αὐτεξούσιον ἀπελεγχθῇ τὸ φιλότιμον· καὶ ἵνα καθαρὸν ἐξουσίας καὶ ἀμίαντον συναποδεχθῇ τῆς τῶν ἐντολῶν νομοθεσίας τὸ ὠφέλιμον· καὶ διότι μένει τὸ κοινὸν ἐκεῖθεν καὶ πάντων κριτήριον. Πολλοὶ δὲ πάλιν ἐν εὐπαθείᾳ διάγουσι τῶν μὲν δικαίων, παράκλησις καὶ παραψυχὴ καὶ κοινὸν ἀγαθὸν τοῖς πλησίον προκείμενοι, καὶ εἰς ἀρραβῶνα τῆς μελλούσης ἀπολαύσεως, καὶ ἵνα τὸν ἀλάθητον πιστεύσωσιν ὀφθαλμὸν καὶ τὰ ἐνταῦθα ἐποπτεύειν. Οὐ πάντες δὲ, ἵνα μὴ προσκαίρῳ μισθῷ τῆς ἀρετῆς ἡ χάρις δόξῃ διαλύεσθαι· καὶ ἵνα μὴ βαρύλυπτη καὶ ἄκρατος τοῖς παρολισθοῦσι τρόπον τινὰ παρεσκευασμένη εἴη ἡ τιμωρία, ἅτε δὴ παντελῶς εἰς ἀναπολόγητον αὐτοῖς περιστάσεως τῆς ἁμαρτίας. τί γὰρ; ἔξον κἀνταῦθα κἀκεῖθεν, ἐν εὐπαθείᾳ διάγειν· σὺ δὲ, μετὰ τῆς ἑκατέρωθεν ποινῆς, τῶν κρειττόνων ἡλάζω τὰ χείρονα· μηδὲν ὑπερβολὴ χρηστότητος ἡ τῶν εἰσπράξεων ὑπερβολὴ μεμηχανημένη νομίζοιτο; Ὡσαύτως δὲ καὶ τῶν ἀδίκων πολλοῖς τὰ παρόντα κατὰ ῥᾳθυμίαν φέρεται, ἵνα εἴ τι καλοκἀγαθίας ἴχνος αὐτοῖς διεπράχθη, ἐντεῦθεν ὥσι τὴν ἀντιμισθίαν ἀπειληφότες, ἐξασθενέσης τῆς πράξεως παρατείνεσθαι πρὸς τὴν ἐκεῖθεν μισθαποδοσίαν· εἰ βέλει δὲ, καὶ ἵνα μὴ πρόφασιν τῆς κακοεργίας τὴν ταλαιπωρίαν προβάλωνται. ἐκ εἰς πάντας δὲ αὐτῶν τὰ τῆς εὐπαθείας διαβιβάζεται, ἵνα μὴ ἡ τῆς κακίας τρίβος, ἐπὶ πλέον ἀνευρυνομένη, πολλὰς ἑλκύσῃ πρὸς βάραθρον· καὶ ἵνα μὴ πρὸς ἀναλγησίαν ἔτι μᾶλλον οἱ φιλαμαρτήμονες ἀποκλίνωσι καὶ ἡ θεία ψῆφος τοῖς πολλοῖς εἰς χλεύην νομίζοιτο· καὶ μυρία ἄλλα, δι' ὧν τῆς προνοίας τὸ ἀγαθοεργόν τε καὶ σοφὸν καὶ ὑπὲρ ἀνθρωπίνην κρίσιν τε καὶ μεθοδίαν καὶ ἔρευναν ἐστὶ θεάσασθαι. Τέτοις καὶ τοῖς τοιούτοις ἐμμελετῶν, καὶ τὰς λογισμὰς ἐγγυμναζόμενος, τῆς δοκούσης ἐν τοῖς παροῦσιν ἀνωμαλίας καὶ συγχύσεως σαυτὸν ἀναλάμβανε, καὶ τὰ περὶ ἡμᾶς πάθη, καὶ τῶν πειρασμῶν ἡ συνέχεια, μηδέν σε κατὰ τῆς προνοίας ὀπλίζετω. Εἴτε γὰρ, ὡς ἡμεῖς εὐχόμεθα, δι' αὐτῶν τὰ πλείστα ῥύπτα καθαιρόμεθα, ἐντεῦθεν μᾶλλον τὸ ὑπέρσοφον καὶ φιλάνθρωπον τῆς προνοίας λαμπρῶς διαφαίνεται. Εἴτε, καθάπερ αὐτὸς νομίζεις, ἄθλοις καὶ ἀγῶσιν ὑπερχόμεθα, μήτε τῶν ἐκεῖθεν ἡμᾶς σεφάνων φθονήσῃς, καὶ τῆς προνοίας τὸ διὰ πάντων ἀγαθουργὸν καὶ μεγαλεῖον

ἐνθειάζων μᾶλλον ἐπιγίνωσκε. Εἴη δὲ τὰ ἡμέτερα πάθη, Χριστῷ τῷ Θεῷ ἡμῶν περὶ ἡμᾶς σπλαγχνιζομένῳ, τῶν προειρημένων τὸ ἕτερον· ἀλλὰ μὴ βαρυτέρας τιμωρίας καὶ ἀπαραιτήτου προοίμιον.

Ξε'. (σβ'.)

Ἰωάννῃ σπαθαρίῳ τῷ Χρυσοχέρῃ.

Ἡ τῆς Τριάδος σύγχυσις, ἀναίρεσιν τῶν προσώπων ποιεῖ· ἡ δὲ τῆς οὐσίας διαίρεσις, ἀλλοτρίωσιν καὶ κατατομὴν ἐπινοεῖ τῆς θεότητος· φεῦγε τὸν παρ' ἑκάτερα τῆς βασιλικῆς ὁδὸν κρημνόν, καὶ κατὰ τὰς ἐκκλησιαστικὰς ὅρους τε καὶ θεσμὰς, μίαν οὐσίαν καὶ θεότητα ἐν ὑποστάσεσι καὶ προσώποις τρισὶ λατρεύων καὶ προσκυνῶν, τὴν τῶν Χριστιανῶν θεολογίαν τούτοις συγκεφαλαιούμενος ἀνακήρυττε.

ΞΖ. (σκγ'.)

Τῷ αὐτῷ.

Ὥσπερ Νεστόριος τῶν θολερῶν ναμάτων σπάσας τὸ Σαμωσατέως Παύλου, εἰς μέθην ἀσεβείας ἐξέπεσεν· ὅτως Εὐτυχὴς τῆς οἰκείας θρησκείας τὰ σπέρματα ἐκ τῆς Μανῆ πικρᾶς παραφυάδος δρεψάμενος, ὀδύνης ἄρτον καὶ ἀπωλείας ἑαυτῷ καὶ τοῖς πειθομένοις κατειργάσατο· ὁ δὲ τῶν ὀρθοδόξων χορὸς, τὸν κορυφαῖον Πέτρον, μᾶλλον δὲ τὸν αὐτοῦ καὶ ἡμῶν κοινὸν δεσπότην καὶ ποιμένα, διδάσκαλον προσησάμενοι, (ὑμεῖς γάρ, φησι, μὴ καλέσητε ἐπὶ τῆς γῆς Ῥαββί, εἷς γάρ ἐστιν ὁ διδάσκαλος ὑμῶν ὁ Χριστὸς,) τῶν δύο Φύσεων ἐν τῇ μιᾷ ὑποστάσει τοῦ Λόγου, τῆς τε θεότητος καὶ τῆς ἀνθρωπότητος, λαμπρῶς ὁμολογοῦσι τὸ ἀσύγχυτον. τοῦτο γὰρ αὐτὸς ἐδίδαξεν ἡ ἀλήθεια· υἱὸν γὰρ ἀνθρώπου ἑαυτὸν ἀνεῖπων, καὶ παρὰ τοῦ κορυφαίου Πέτρου υἱὸς τοῦ ζῶντος Θεοῦ ἀναρρηθεὶς, τὸ μὲν, οἷς αὐτὸς εἶπε, τὸ δὲ, οἷς ἀπεδέξατο, ἐβεβαίωσε· διὸ, καὶ μισθὸν τῷ Πέτρῳ τῆς ὀρθῆς ὁμολογίας, τάς τε κλεῖς τῆς βασιλείας ἐνεχείρισε, καὶ ἐπὶ τῇ αὐτοῦ ὁμολογίᾳ ἐσηρίχθαι τὴν ἐκκλησίαν, καὶ κατὰ πυλῶν ᾅδου καὶ πάσης αἱρετικῆς ἀθυροστομίας λαμπρὰ φέρειν τὰ νικητήρια ἐκραταίωσεν.

ΞΗ. (σκδ'.)

Τῷ αὐτῷ.

Εἰ μία Φύσις ἐπὶ Χριστοῦ ἐγνωρίζετο, ἓν ἂν καὶ τὸ ἐξ αὐτῆς ἐπήγαζε θέλημα· ἐπεὶ δὲ δύο αἱ Φύσεις, καὶ δύο ἄρα συναναβλύζουσι τὰ θελήματα. Εἰ δὲ ἐκ ἔστι Φύσις ἀνενέργητος, καὶ ἑκατέρᾳ πάντως ἡ οἰκεία συνανακύψει ἐνέργεια. ὥσπερ δὲ ἡ ἀνθρωπίνη Φύσις τῇ θείᾳ τοῦ Λόγου Φύσει συνείπετο καὶ ὑπέκειτο, ἤτοι δηλονότι καὶ τὸ ἀνθρώπινον θέλημα τῷ θείῳ, καὶ τῇ ἐνεργείᾳ ἡ ἐνεργεία.

ΞΘ. (σκε.)

Τῷ αὐτῷ.

Ἕλληνες τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν εἰκονίζειν, ὅτι μηδὲ θειάζουσιν, ἐκ ἀνέ-

ἀνέχονται. Ἰουδαῖοι, πλέον ἐκείνων τὴν κατ' αὐτῶ μανίαν νοσήσαιλες, ἐδὲ μέχρι ψιλῆς ἀκοῆς τὴν πρᾶξιν ὑφίσαιλαι. ἕτεροι δὲ, μοῖρα πονηρὰ καὶ ἐξάγιστος, οἱ μὲν αὐτῶ τὸ σῶμα ἐναποτεθεῖθαι τῷ ἡλίῳ τερατεύονλαι, οἱ δὲ εἰς τὰ, ἐξ ὧν αὐτὸ συνιστῶσι, διαλύσσιν. οἱ δ' ἀπὸ Μανῆ, ἀδ' ἀναλαβεῖν αὐτὸν ὅλως σῶμα τὸ ἡμέτερον, διαλείπονλαι· οἷς ἐξ ἀναγκαίε ἀκόλεθον μηδὲ Χριτὸν εἰκονίζεθαι. Σκοπείτωταν τοίνυν οἱ τῆς πολυπλανῆς καὶ μοιχιδίε σπορᾶς ἀπόγονοι· τὰ νέα τῶν Εἰκονομάχων λέγω γεννήματα· τίνας ἑαυτῶν πατέρας ἐπιγράφεσι, καὶ τίνος μερίδος αἱρῆνται παρὰ τοῖς Χριτιανοῖς θιασῶται καὶ μαθηταὶ ὀνομάζεθαι.

Ο. (σκε΄.)

Τῷ αὐτῷ.

Σίμων ὁ μάγος καὶ Καρποκρᾶς ἐβαπτίσαιλο· διὰ τῦτο καὶ Χριτῦ εἰκόνα περιέφερον. ἀλλὰ τῆς μαγικῆς τερθρείας καὶ τῶν παθῶν ἐκ ἀφίσαντο· διὰ τῦτο καὶ ἑτέρων τινῶν εἰκόνας συμπεριέφερον. αἰσχυνέθωταν τοιγαρῦν τῶν εἰκονομάχων οἱ πρόμαχοι, ὅτι καὶ τῶν δεισιδαιμονεςάτων ἐκείνων καὶ δόξῃ καὶ βίῳ πεπλανημένων ἀγνωμονέτεροι ἀπελέγχονται.

ΟΑ. (σκζ΄.)

Λέοντι γεγονότι λογοθέτῃ τῷ Μαδιάμ.

Πώλησόν σε τὰ ὑπάρχονται καὶ δὸς πτωχοῖς, βαρὺ νομίζεις καὶ δυσβάτακτον τὸ ἐπίταγμα. Ἐγὼ δέ σε διὰ τῦτο μᾶλλον ὁρᾶν ἀξιῶ τὸν ζυγὸν Κυρίε ὡς ἀληθῶς χρηςὸν, καὶ τὸ φορτίον ἐλαφρόν. Φορτὸν γὰρ ἀποθέθαι, καὶ τῶν φροντίδων καὶ πειρασμῶν ὕλην ἀποτινάξαθαι, ἀλλ' ἐκ ἀναλαβεῖν, ἐγκελεύεται· κἀκεῖνα τοῖς χρήζεσι νέμειν, καὶ ἀντὶ τῦτων θησαυρὸν πλετεῖν τὸν ἐράνιον ἐχαρίσατο· ἃ καὶ μὴ διανεμόντων ἀργὰ καὶ ἄχρηςα τῷ παρόντι βίῳ ἐναπόκειται, κἀκεῖσε μεθισαμένων ἐνταῦθα καταλιμπάνεται. δι' ὅ μοι σκόπει μᾶλλον τὴν δεσποτικὴν Φιλανθρωπίαν, καὶ τῆς ἀφάτε προνοίας τὸ ποικίλον καὶ πολύτροπον, ὅτι, ἅπερ ἐξ ἀνάγκης καὶ ἡμῶν ἀκόντων ἐπακολεθεῖν εἴωθε, ταῦτα, γνώμης προτεθείσης μόνης, ὡς οἰκείες πόνες καὶ καρπὲς ἀποδέχεται, καὶ ὡς τὸ πᾶν κατωρθωκότας, τὲς μόνην συνεισενεγκόντας προαίρεσιν εἰς κλῆρον τῆς αὐτῦ Βασιλείας ὑποδέχεται. δεῦτε γάρ, φησιν, οἱ εὐλογημένοι τῦ Πατρός με, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν Βασιλείαν.

ΟΒ. (σκή.)

Σεργίῳ ἀδελφῷ.

Οὐκ ἔτιν ἐναντίον ἀτράσιν ἥλιος, οὐδὲ τῇ νυκτὶ ἡμέρα, ἐδὲ πυρὸς ἄγλη αἱ ἡλιακαὶ ἀκτῖνες· ἃ μὲν ἐδὲ νεαζέτῃ Φύσει ἡ κατ' ἄνδρα τελειότης· εἰ βάλει δὲ, ἐδὲ ἡ ςύφετα ποιότης, πρὸς ἀλεργὸν βαφὴν εὐτρεπίζετα τὴν ὕλην, τῷ τῆς πορφύρας ἄνθει· ἀδ' ἡ τῶν χρωμάτων κρᾶσις καὶ μόρφωσις τῶν εἰκονισμάτων, ταῖς προτυπωθείσαις

πωθείσαις γραμμαῖς καὶ χαράγμασι τῶν σκιασμάτων. Τί δὲ βέλεται ἡ τῶν δοκούντων ἀντικεῖσθαι παράθεσις, τὴν δόκησιν τῆς ἐναντιώσεως ἐξ αὐτῆς ἀνατρέπουσα παραθέσεως; εὖ ὅπερ αὐτὸς ἀποφαίνεις, εὖ ἡ χάρις τῷ νόμῳ ἀντίκειται· χειραγωγία δὲ καὶ προάγγελος, συμφωνία τε καὶ προκαλασκευὴ, καὶ ὁδὸς ὑπάρχει, καὶ παρασκευὴ, καὶ τὰ ἄλλα πάντα, ὁ νόμος τῆς χάριτος. τελείωσις μὲν γάρ ἐστιν ἡ χάρις· πάντα δὲ, ὅσα τῆς τελειώσεως, προϋφέσηκεν· ὑπηρετούμενος ὁ νόμος ἐδείχθη τῇ χάριτι· ἐχειραγώγησε, προεκήρυξε, προητοίμασεν· ὁδὸς καὶ τύπος ἐγένετο, ἐν ἑαυτῷ σχηματίζων καὶ ὑποδεικνὺς τὴν ἀλήθειαν· ἐδὲν τῶν προπαρασκευαζόντων ὑστέρησεν. ἀλλ' ἦλθεν ἡ χάρις· ἐχώλασεν εἰκότως ὁ νόμος· Φύσις γὰρ τοῦτο προτελείων, ὑπεξίστασθαι καὶ παραχωρεῖν τῇ τελειότητι. καὶ ἵνα ὁ τῷ νόμῳ προσανέχων λαὸς, τὸν ἐν τῇ χάριτι Θεὸν ἐπιγνῷ καὶ τῆς νομοθεσίας ὄντα Κύριον, (χολάσατε γάρ, φησι, καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς, καὶ ὑψωθήσομαι ἐν τοῖς ἔθνεσι, ὑψωθήσομαι ἐν τῇ γῇ,) ἦλθεν ἡ χάρις, ὑπεχώρησεν ὁ νόμος· ὡς ἀστὴρ, ἡλίᾳ Φαίνοντος· ὡς νὺξ, τῆς ἡμέρας διαυγάσης· ὡς αἱ τοῦ πυρὸς Φλόγες, ἐξ αἰθρίας καὶ ἐν σαθρᾷ μεσημβρίᾳ τῷ ἡλιακῷ Φωτὶ ἀμαυρούμεναι· ὡς καλαργεῖται τὸ νήπιον, εἰς ἄνδρα τῆς ἡλικίας ἀναδραμούσης· ὡς ἡ ποιότης τοῦ σύφονος, τῆς πορφυρίδος βαφῆς ἐπικρατησάσης· ὡς αἱ γραμμαὶ καὶ τὰ προχαράγματα, εἰς διαμόρφωσιν τῆς εἰκόνος συναπαρτισθείσης. ἕκαστον γὰρ τῶν ἐν ἑκατέρᾳ συστοιχείᾳ εἰρημένων, τὸ μὲν ὡς ἀτελὲς προηγήσατο, τὸ δὲ ὡς τέλειον ἐπεγένετο· καὶ ὅτε τῷ προϋπάρξαντι τὸ ἐπιγεγονὸς ὑπάρχει πολέμιον· μᾶλλον μὲν ἐν πολλῇ πρὸς ἄλληλα τούτων συμφωνίᾳ καὶ συγγενείᾳ· ὅτε μένει τὰ πρότερα, τῶν τελείων ἐπιγινομένων. Τοιαύτης ἔστιν ὁ νόμος τῆς Φύσεως, τῆς τελειότητος ἐνεργουμένης ἀργεῖν ὅσα εἰς τὴν αὐτῆς κατασκευὴν καὶ συντέλειαν παρελαμβάνετο. ὥστε καὶ κατήργηται ὁ νόμος, τῆς χάριτος ἐπισάσης, καὶ ἐκαλαλέλυται· καὶ πέπαυται, καὶ οὐ διαβέβληται· καὶ πεπλήρωκεν αὐτὸν ὁ Χριστὸς, μηδεμίαν κεραίαν λύσας ἐξ αὐτοῦ· καὶ ὅλον ἠΦάνισε, τελειώσας αὐτόν· ἐκέτι γὰρ τοῦ παιδαγωγοῦντος χρεία, αὐτοῦ παρόντος τῷ διδασκάλῳ. καταλῦσαι μὲν γάρ ἐστι καὶ διαβολῆς ἔνοχον ἐλέγξαι, τὸ ἐκ βάθρων αὐτὸν ἀνατρέψαι, μηδενὶ τῶν αὐτοῦ δικαιωμάτων προσχρησάμενον· παῦσαι δὲ καὶ ἀργῆσαι μόνον, μετὰ τῆς πρεπούσης εὐΦημίας, τὸ διακωλῦσαι μὲν, οἷς ἐκεῖνος ἐνομοθέτει, ἐπαγαγεῖν δὲ τὴν χάριν, καὶ διὰ τοῦ τελείου τὸ ἀτελὲς ἀποκρύψασθαι. καὶ καταλύει δὲ, οὐχ ὁ μὴ παραβαίνων τοὺς τοῦ νόμου νόμους, ἀλλ' ὁ παραβαίνων· παραβαίνει δὲ, οὐχ ὁ κολάζειν αὐτοὺς καὶ ἀργεῖν ὀφείλοντας εἰδὼς, ἀλλ' ὁ μηδὲ τοῦτο εἰδὼς, (καίτοι πολλαχοῦ τὴν οἰκείαν ἀργίαν αὐτῶν ἐκείνων διακεκραγότων,) καὶ οὐχ ὁ μετὰ τὴν κολὴν καὶ τὴν χάριν ἀχρήστως εἰδὼς, ἀλλ' ὁ πρὸ τῆς χάριτος καὶ ἐν αὐτῷ

αὐτῷ τῆς ἐνεργείας τῷ καιρῷ ὡς βελήλυς ἀποστρεφόμενος. Ἅγιος ἦν ὁ νόμος, καὶ δίκαιος, καὶ ἀγαθός· ἀγαθῇ γὰρ, ὡς ἀληθῶς, καὶ ὑπεραγίου, καὶ πᾶσαν δικαιοσύνην ὑπερφυῶς τελεσαμένη ὑπῆχε προάγγελος. ἄχρηστος δὲ καὶ χολάζει καὶ πέπαυται· ἐφεστῶτος γὰρ τῇ κυρίᾳ, ἡσυχάζειν δεῖ τὰ τῇ ἐπιτρόπῃ· καὶ ἀδεὴς μετὰ τὴν καθαρὰν ὑγίειαν ἐπὶ τὰ φάρμακα τρέχει· ἀδὲ στρεᾶς τροφῆς ἀπολαύων, τὴν θηλάζουσαν περιεργάζεται· οὐδὲ ῥητορεύων, τὸς τῶν συλλαβῶν γραμματισὰς ζητῶν περιέρχεται· ὁ μὲν ἀδ' εἰς στρατηγὸς ἀναχθεὶς, τὴν τῶν στρατιωτῶν λῆξιν ἐπιποθήσειεν· ἀδὲ τὸς ἐρανὸς λαβὼν, τὰ ἀγαθὰ τῆς γῆς προτιμήσειεν· ὥσπερ ἀδ' ὁ Βασιλείαν ἐνδὺς, τὸν ἰδιώτην χιτῶνα καὶ τὴν ὑπήκοον τάξιν ἀντὶ τῆς ἐπισατέσης καὶ κυρίας ἀλλάξαιτο. Ἔχεις ἱκανῶς, οἶμαι, καὶ μάλιστα ὡς ἐν ἐπιστολῆς τύπῳ, ἀπορήματος ἄνω καὶ κάτω φερομένου, καὶ πολλὴν πολλάκις ἀμηχανίαν παρεχομένου, τὰς λύσεις ἀφθόνως· δι' ὧν καὶ Ἰουδαῖοι καὶ Ἕλληνες καὶ οἱ Μαρκίωνος λόγοι συγχυθήσονται· αὐτοὶ δόξαντες πολλάκις, διὰ τῆς τοιαύτης παρατάξεως, τῆς ἐκκλησίας κατεξανίστασθαι. ἐτελείωσε γὰρ τὸν νόμον ὁ Χριστὸς, ἀλλ' οὐ κατέλυσε· καὶ ἔπαυσεν, ἀλλ' οὐκ ἀνέτρεψε· καὶ τέλος ἐστὶν αὐτῷ, ἀλλ' οὐκ ἀναίρεσις· καὶ ἤργησεν, ἀλλ' οὐ διέβαλε· καὶ συμφωνοῦσιν ἡ χάρις καὶ ὁ νόμος, ἀλλ' οὐ μάχονται. Εἰ δέ τις καὶ τοῦτο λέγοι, τὸν μὲν ἐν τῷ γράμματι νόμον λελυκέναι τὸν Κύριον, πεπληρωκέναι δὲ τὸν ἐν πνεύματι, ἐδὲν τῶν ἀπεικότων ἐρεῖ. τὸ δὲ λέγειν, ὅτι τὸν μὲν τῆς δευτερώσεως νόμον ἔλυσε, τὸν δὲ τῆς πρώτης νομοθεσίας ἐπλήρωσε, ληρούντων ἐστίν.

ΟΓ. (σκθ'.)

Τῷ αὐτῷ.

Ἅγια καὶ μαργαρίται, ὅ, τε τοῦ θείου κηρύγματος λόγος, καὶ τὸ δεσποτικὸν καὶ ἄχραντον χρηματίζει σῶμα. μαργαρίται μὲν, ὅτι τίμια, καὶ ὅτι λαμπρὰν τῆς σωτηρίας τὴν αὐγὴν τοῖς εἰλικρινῶς προσιοῦσιν ἐκπέμπουσιν· ἅγια δὲ, ὅτι τε σεπτὰ, καὶ ὅτι τῆς πλάνης ἀφορίζοντες τῇ ἀληθείᾳ ἀναλιθάσαι. κύνες δὲ, καὶ τῶν αἱρετικῶν, καὶ τῶν ἀπίστων, ὅσοι πολλάκις τὸν τῆς εὐσεβείας κατηχηθέντες λόγον, ὁ μόνον οὐδὲν ἄμεινον διετέθησαν, ἀλλὰ καὶ τὴν λύσσαν αὐτῶν καλὰ τῆς ἱερᾶς ἡμῶν θρησκείας, ἐμμανέστερον κυνῶν ὑλακτέντων, ἐπεδείξαντο. χοῖροι δὲ, ὅσοι τῷ βορβόρῳ τῶν παθῶν ἐγκαλινδέμενοι, πρὸς τὰς παραινέσεις ἀναισθήτως τε καὶ ἀνεπιστρόφως ἔχουσιν. εἰς ἅπασιν ὁ θεῖος ἀποθεσπίζει χρησμὸς, μὴ προτιθέναι τὰ θεῖα μυστήρια, ἀναξίοις ἑαυτοὺς, δι' ὧν ἔπραξαν, παρεσκευακόσι τῆς ὑπερφυοῦς σωτηρίας καὶ χάριτος. ἀλλ' εἰ μηδετέροις τούτων δοτέον, ἴσως ἄν τις διαπορήσειε, τίσιν ὅλως δοτέον; Φημὶ τοιγαροῦν, τοῖς τε πιστοῖς καὶ ὀρθοδόξοις, καὶ οἷς ὁ βίος τῇ πίστει συμφθέγγεται. Ἀλλὰ καὶ τῶν ἀπίστων, καὶ δὴ καὶ τῶν αἱρετικῶν, καὶ μὴν καὶ τῶν

πρὸς καθαρότητα πολιτείας διαβεβλημένων καὶ ταύτης ὀλιγωρούντων, ἐκείνοις τῷ λόγῳ κατηχητέον, καὶ χειραγωγεῖν προθυμητέον, οἵτινές εἰσιν ὥσπερ πρόβατα μὴ ἔχοντα ποιμένα, καὶ σφόδρα δέονται τῆς ποιμαντικῆς ἐπισασίας καὶ κατηχήσεως· ἐπὶ τούτοις γὰρ καὶ ὁ Κύριος σπλαγχνίζεται, καὶ τρέφει τροφὴν τό τε σῶμα συνέχουσαν, καὶ τὴν ψυχὴν βελτίουσάν τε καὶ ἐρίζουσαν. Ἀλλὰ πῶς ῥίπτουσιν ἐπισραφέντες οἱ χοῖροι καὶ οἱ κύνες τοὺς, εἴ τις αὐτοῖς προθείη ἃ μὴ θέμις; ἢ δῆλον, ὡς οἱ μὲν κωμῳδοῦντες καὶ ἐπιγελῶντες καὶ χλευάζοντες τὰ πάσης εὐφημίας ὑπέρτερα, οἱ δὲ τὸ καθαρὸν αὐτῶν καὶ ὑπέρλαμπρον διὰ τῆς οἰκείας ἀκαθαρσίας καὶ ἀνεπισρόφου φαυλότητος βεβηλοῦντές τε καὶ καταῤῥυπαίνοντες. ὧν ἑκάτερον, ἀναίρεχον εἰς τοὺς ἀπερισκέπτως καὶ χωρὶς προνοίας οἰκονομήσαντας τὸ μυσήριον, πτῶσιν αὐτῶν χαλεπὴν καὶ μέγα ὄνειδος ἀπεργάζεται. Εἶησαν δ' ἂν μαργαρίται καὶ ἅγια ἃ τὰ εἰρημένα μόνον, ἀλλά γε καὶ τῶν θαυμάτων τὰ χαρίσματα· καὶ πρὸς τούτοις, αὐτὰ τὰ θαύματα· καὶ τρίτον, εἰ βέλει, τὸ ἀποστολικὸν καὶ θεῖον ἀξίωμα, ὃ κατὰ διαδοχὴν τὸ ἀρχιερέων γένος ὁρᾶται κληρούμενον. ἐδὲν γὰρ τούτων, ἃ μὲν ἔν ἔτε κυσὶ προτιθέναι, ἐδὲ τοῖς χοίροις θεμιτόν· καὶ κοινὸς μὲν περὶ πάντων νόμος ἡ προειρημένη τοῦ Δεσπότου ψῆφος καὶ ἀπόφασις. εὕροι δ' ἄν τις καὶ περὶ ἑνὸς ἑκάστου αὐτῶν τὰς μαρτυρίας ἐδὲν ἐργωδέστερον. αὐτίκα γοῦν τοῖς κυνῶν δίκην τὴν ἀναίδειαν προβεβλημένοις, καὶ σημεῖον αὐτοῦσιν, ὅπως ἐδὲν τῆς ὄψεως αὐτῶν τῶν προδεδειγμένων ἀπαλλαγείσης, ἃ μόνον ἐδὲν ὁ τοῦ γένους Σωτὴρ ἐδαμῶς ἐπεδείξατο, ἀλλὰ καὶ ἀπεῖπε μὴ δοθήσεσθαι, καὶ τὴν αἰτίαν τοῦ μὴ παραχεῖν ἀποκαλύπλων, γενεὰν αὐτὸς πονηρὰν καὶ μοιχαλίδα ὠνόμασε· δι' ἑκατέρα πάθος παρασήσας, ὅτι κυνῶν καὶ χοίρων ἐδὲν ἀμείνους ἐτύγχανον. καὶ πάλιν ἐν τῇ πατρίδι αὐτοῦ ἐκ ἐποίησε δυνάμεις πολλὰς, διὰ τὴν ἀπιστίαν αὐτῶν· καὶ πολλαχοῦ φαίνεται πίστιν προσαπαιτῶν, εἶθ' ὕτως ἰάσεις ἐπιτελῶν. ὥστε ὁ κυνογνώμων καὶ χοιρώδης ἄνθρωπος ἀνάξιός ἐστι τῆς ἀπὸ τῶν σημείων εὐεργεσίας· εἰ δὲ τοῦτο, πολλῷ μᾶλλον καὶ αὐτοῦ τοῦ ἐν τοῖς σημείοις χαρίσματος. ἀλλὰ τοῦτο μὲν καὶ αὐτόθεν δῆλον· ἐδὲν δὲ ἧττον ὅμως καὶ Πέτρος, ὁ τῶν μαθητῶν κορυφαῖος, δι' ὧν ἐπιτιμήσας ἀπεσείσατο τὸν δεισιδαίμονα καὶ πονηρὸν καὶ Φιλόχρυσον Σίμωνα, ἀκριβεστάτην παρέχετο τὴν ἀπόδειξιν. ὅτι δὲ ἐδ' ἀποστολικῆς ἀξίας ἢ ἀρχιερατικῆς τιμῆς ἐδεὶς ἐστι τῶν τοιούτων μετέχειν δίκαιος, αὐτὸς πάλιν ὁ Δεσπότης ἔργῳ καὶ λόγῳ παρίστησιν, οἷς τὸν ἀκολουθεῖν αὐτῷ αἰτησάμενον, καὶ τῶν ἀποστόλων ὑπελθεῖν τὸν κλῆρον καὶ τὸ προνόμιον διαμηχανώμενον, ἃ μόνον ἃ προσεδέξατο, ἀλλὰ δι' ὧν ἐθριάμβευσεν αὐτοῦ τὰ τῆς καρδίας ἀπόῤῥητα, τῆς μαθητείας ἀπώσατο. πλὴν γὰρ αὐτὸν καὶ ἀλωπέκων, ὁ πάντα καὶ πρὸ γενέσεως εἰδὼς, οἰκητήριον ἑώρα

καὶ

καὶ κατασκήνωσιν· καὶ τοῦτο αὐτὸ αἰτησάμενον, ὅτι δόλε γέμων καὶ κακοήθους καὶ ἀναιδείας, καὶ πάθει προσανέχων φιλοχρηματίας, πρὶν ἢ ταῦτα τὰ θηρία ἀπελάσῃ τῆς ψυχῆς, ἐτόλμησεν ἑαυτὸν εἰς τὴν τῶν μαθητῶν κλῆσιν εἰσωθεῖν, καὶ τῶν ὑπερφυῶν ἐκείνων καὶ δεσποτικῶν χαρισμάτων δοχεῖον φαντάζεσθαι, ὡς πορρωτάτω τῆς ἐλπίδος, ὁ πάντας ἕλκων πρὸς ἑαυτὸν, καὶ πάντας σωθῆναι θέλων, ἀπεπέμψατο. Καὶ τὸ σκεῦος δὲ τῆς ἐκλογῆς, ὁ τὸν ἠρέμιον πόλον ὡς ἐπίγειον σάδιον διατρέχων, καὶ τὴν οἰκουμένην σαδιεύων τῷ τε κηρύγματος δρόμῳ, καὶ τοῖς ὑπὲρ εὐσεβείας παθήμασι τὰ αὐτὰ τῷ διδασκάλῳ καὶ Δεσπότῃ, δι' ὧν Τιμοθέῳ γράφει συμφθέγγεται· χεῖρας γὰρ ταχέως, φησὶ, μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις· καὶ μυρία ἄλλα. Ἀλλ' ἐπὶ τοσοῦτον μὲν περὶ τούτων.

Ἐγὼ δέ σε καὶ πρὸς ἑτέραν θεωρίαν, ἐκ γειτόνων τοῖς εἰρημένοις ὄσαν, (ἐπεί σοι τὰ τοιαῦτα ἔρως ἐστὶ καὶ τρυφὴ καὶ θεάματα,) ἐκ οἰκήσαιμι καθηγήσασθαι· εἰ καὶ τῆς ἐπιστολῆς ἠρέμα πως τὸν νόμον ὁρῶ διευλαβεμένος μοι ἔπεσθαι. ἀλλὰ γὰρ μαργαρίτας μὲν καὶ τὰς περὶ ἀρετῆς καθαρὰς λογισμὰς, ἅγια δὲ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων λογισμῶν τὸ τίμιον καὶ σεπτὸν, ἐκ ἄν τις ἀποσφαλείη τῆς ἀληθείας καὶ εἰδὼς καὶ καλῶν· ὥσπερ κύνας τὰς δυσσεβεῖς καὶ αἱρετίζοντας λογισμὰς, καὶ χοίρους πάλιν τὰς φιληδόνους καὶ δυσώδεις καὶ ἐμπαθεῖς. Οὐ δεῖ τοιγαροῦν τοῦτοις τοῖς χοίροις ἐδὲ τοῖς κυσὶ τὰς μαργαρίτας καὶ τὰ ἅγια εἰς ἔριν καὶ ζυγομαχίαν ῥίπτειν καὶ προβάλλεσθαι. Πολλοὶ γὰρ ἐκείνοις ταῦτα προθέντες, καὶ τὴν τούτων ἐν τῷ λογιστικῷ τῆς ψυχῆς ἄμιλλαν ὡς σκηνικὴν θέαν ποιούμενοι, καὶ δὴ καὶ ὑπὸ τῆς περὶ τὰ πάθη προσπαθείας τὴν κρίσιν ἀδέκαστον ἐκ ἔχοντες, ἔλαθον ἑαυτοὺς ἀνατρέψαντες καὶ πεσόντες πῶμα ἐξαίσιον, ἐκνικηθέντων αὐτοῖς τῶν κρειττόνων τοῖς χείροσι, καὶ θέαν μᾶλλον τραγικὴν ἑαυτοὺς ἢ θεατὰς ἐπιδείξαντες. Εἰ δὲ καὶ ἀπὸ τῶν μαχομένων ἐννοιῶν καὶ ἐνθυμήσεων ἐπ' αὐτὰς προσέλθοις τὰς ἀϊλικειμένας πράξεις, καὶ τοὺς κατὰ τὰς πράξεις αὐτὰς διακειμένους, ἤδεν ἧττον εὑρήσεις τὴν θεωρίαν προβαίνουσαν. Ὁ γὰρ σπουδαῖος βίος καὶ ὀρθόδοξος, μαργαριτῶν καὶ ἁγίων δίκην ἀποζίλων, ἐκ ὀφείλει ταῖς αἱρετικαῖς καὶ δυσώδεσι καὶ ὑπώσαις πολιτείαις συνδιαιτᾶσθαι καὶ συναναφύρεσθαι. Ἐξέλθετε γάρ, φησιν, ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε, λέγει Κύριος, κἀγὼ εἰσδέξομαι ὑμᾶς. καὶ, Τίς κοινωνία φωτὶ πρὸς σκότος; καὶ, Ἐξάρατε τὸν πονηρὸν ἐκ μέσου ὑμῶν· καὶ, Τῷ τοιούτῳ μηδὲ συνεσθίειν· καὶ ἄλλο πλῆθος ἄπειρον. Ἀλλὰ ταῦτα μὲν σὴν περιφιλοτιμείσθω χάριν· οἶδε δὲ καὶ τὸ τῆς ἀναγωγικῆς θεωρίας χωρίον, τῷ πλάτει καὶ τῇ εὑρέσει τῶν θεωρημάτων ἐγκαλλωπίζεσθαι.

ΟΔ.

ΟΔ. (σλ΄.)

Λέοντι λογοθέτῃ τῷ Μαδιάμ.

Ὑπέχεσί τινες τῶν ἀδικημάτων δίκας ἐν τῷ νῦν βίῳ· ἔχεις ἐναργεστάτην ἀπόδειξιν, ὅτι ἐσὶ πρόνοια ἐφεξῶσα καὶ λογοθετοῦσα καὶ περιέπουσα τὰ ἐνταῦθα. ἐκ ἔδωκαν πολλοὶ δίκας τῶν ἀδικώτερον πολιτευσαμένων· τοῦτο μεῖζον ἀπόδειξις, ὅτι πρὸς ἑτέραν τινὰ πικροτέραν καὶ χαλεπωτέραν συνετηρήθησαν κρίσιν. εὐδαιμόνως ἔβιωσαν πολλοὶ τῶν δικαίων· δέχε πάλιν προοίμια καὶ σύμβολα τῆς ἐκεῖσε μισθαποδοσίας. ἀλλὰ καὶ πολλοὶ πολλαῖς ἐνήθλησαν ταλαιπωρίαις· τοῦτο καὶ τὲς λίαν ἐπισομίζει Φιλονείκης, ὅτι πάντως ἄλλος ἡμᾶς ἀναμένει βίος καὶ κριτήριον ἄλλο, ἐν ᾧ τῶν κατ' ἀξίαν ἕκαστος βεβιωμένων ἀπολήψεται τὴν ἀντιμισθίαν.

ΟΕ. (σλά.)

Γεωργίῳ διακόνῳ καὶ ξενοδόχῳ.

Εἰ νοῦς μὲν γραμμάτων, νοῦ δὲ ἡ θεία χάρις ἀσυγκρίτῳ μέτρῳ πλεονεκτεῖ, μηδὲν θαυμάζῃς, εἰ οἱ ἀπόσολοι, τὸ πλέον καὶ μέγιστον λαβόντες, τῶν ἐπὶ τῷ ἐλαχίστῳ μέγα φρονησάντων, ῥητόρων λέγω καὶ φιλοσόφων, κατὰ κράτος περιεγένοντο.

Οϛ΄. (σλβ΄.)

Ἰωάννῃ φιλοσοφοῦντι.

Τὲς μὲν ἄλλες εἰκός ἐσιν ἀπορεῖν, τί δήποτε ὁ θεσπέσιος Παῦλος, ὁ πνευματικοῖς πνευματικὰ συγκρίνειν διδάσκων, ὁ καὶ αὐτὴν τὴν Μωσαϊκὴν φιλοσοφίαν πρὸς τὴν ὑπερέχουσαν τοῦ Χριστοῦ σοφίαν σκύβαλα ἡγούμενος, τί δήποτ' ἓν ὁ τοιαῦτα καὶ λέγων καὶ διδάσκων, ἀπὸ τῶν ἐπιγραμμάτων τοῖς Ἀθηναίοις, ἃ τῷ παρ' αὐτοῖς ἐπεγέγραπτο βωμῷ, διελέγετο· ἀνάξιον γὰρ τῆς ἐν Παύλῳ θείας ἐπιπνοίας ἐκ μύθων συγκροτεῖν τὴν ἀλήθειαν. ἀλλὰ τὲς μὲν ἄλλες τοῦτο διαπορῶντας οὐ λίαν ἴσως ἂν μεμφοίμην, σὲ δὲ ἐκ μυρίων γραφῶν τε καὶ λογισμῶν ἔχων εὐθύνειν, τὸν διάπυρον τῆς διαλεκτικῆς ἔρωτα, μάλιστα ἂν ἐξ ἑνὸς τῶν σῶν δικαιότατα ἂν μεμψοίμην, ὡς κἀκεῖνο ἐπιλελησμένον δήπουθεν τὸ σοφώτατον αὐτῆς καὶ χρησιμώτατον νομοθέτημα· τὸ ποῖον; ἐφ' ὧν ἡ τῶν ἀκροατῶν αἴσθησις ἐξ οἰκείων καὶ ἀληθῶν ἐπιδεικνυμένην ἃ προσδέχεται τὴν ἀλήθειαν, ἀλλ' ἀποτυφλώττει πρὸς τὴν αἴγλην αὐτῆς, καὶ τὸ καθαρὸν τοῦ νοήματος, ἐπὶ τούτων ἐξ ὧν πεφύκασιν ἐκ ἀδύνατοι· ἐκ τούτων ὅσα ἐνδέχεται, πρεσῆκε χειραγωγεῖν καὶ κατασκευάζειν αὐτοῖς τὴν ἀλήθειαν, καὶ ταῖς αὐτῶν διανοίαις ὑπαυγάζειν αὐτῆς τὴν λαμπρότητα.

ΟΖ. (σλγ΄.)
Τῷ αὐτῷ.

Πυθομένῳ σοι, τί δήποτε ἡ προφητεία τοῖς τῆς ἀσαφείας τρόποις συνεσκίασαι, διὰ βραχέων ἀμείβομαι· διότι ἐκ ἔστιν ἰσορία ἡ προφητεία. Ἱσορίας μὲν γὰρ, εἴπερ τι ἄλλο, ἀρετὴ, σαφῶς τε εἰπεῖν, καὶ μηδὲν περιγενομένον ἐξεργάσασθαι. τὰ γὰρ ἐν τῷ μέσῳ γεγενημένα διδάσκει, καὶ ἃ πάντες ὁμοίως καὶ σπουδαῖοι καὶ φαῦλοι κατ' ἐκεῖνο τὸ καιρὸ ἐπίστανto, καὶ νῦν εἰδέναι ἐκ ἀπείργουσι. Προφητείᾳ δὲ, ἧς ἔργον τοῖς ἀξίοις ἀποκαλύπτειν τὰ ἄδηλα, τοῖς δὲ βεβήλοις ἄβατα ποιεῖν, τὸ συνεσκιασμένον καὶ αἰνιγματῶδες, καὶ τὸ διὰ παραπετασμάτων, πρεπωδέστατον. ἐξ ὧν οἶμαι λελῦσθαί σε καὶ τὸ ἄπορον, ὡς, εἰ μὴ ἔδει μαθεῖν, οὐδ' ὅλως ἐχρῆν εἰπεῖν· εἰ δ' ἐκρίθη μαθεῖν, ἐκ ἀσαφῶς ἔχειν τὴν προφητείαν, καὶ ἐν ἴσῳ κεδὸν τὸ μηδὲ εἰρῆσθαι, ἐχρῆν. διητήθη γὰρ ἐκ τῶν εἰρημένων, ὅτι καὶ μαθεῖν προσῆκον ἦν, καὶ ἀναγκαῖον μὴ βεβήλως καὶ κοινῶς εἰπεῖν· ἀλλὰ τοῖς μὲν μύσταις εἰρῆσθαι σαφῆ, ἄδυτα δὲ τοῖς ἀμυήτοις διατηρηθῆναι, καὶ ἐκ ἐφικτά.

ΟΗ. (σλδ΄.)
Θεοδώρῳ ἡγεμόνῳ.

Προτείνεσιν, ἔφης, τῶν εἰκονομάχων ὅσοι θρασύτεροι καὶ κακόχολοι, καὶ σοφὸν ἡγεῖνται τὸ περίεργον, ποία τῶν εἰκόνων Χριστὸ ἀληθὴς, πότερον ἡ παρὰ Ῥωμαίοις, ἢ ἥνπερ Ἰνδοὶ γράφουσιν, ἢ ἡ παρ' Ἕλλησιν, ἢ ἡ παρ' Αἰγυπτίοις· ἐχ ὁμοίαι ἀλλήλαις αὐταί, καὶ ὁποίαν ἄν τις αὐτῶν ἀληθῆ φήσειε, δηλονότι παραγράφεται τὰς λοιπάς. Ἀλλὰ ταύτην αὐτῶν τὴν ἀπορίαν, μᾶλλον δὲ τὴν κακομηχανίαν, (ὦ καλὸν ὀρθοδοξίας ἄγαλμα σὺ) πολλαχῶς ἐστιν ἐπιῤῥαπίσαι, καὶ πολλῆς γέμουσαν παρανοίας καὶ δυσσεβείας ἀπελέγξαι. Καὶ πρῶτόν ἐστιν εἰπεῖν πρὸς αὐτὲς, ὅτι τέως, ἐξ ὧν ἔγνωτε τῇ εἰκονουργίᾳ μάχεσθαι, καὶ ἄκοντες αὐτοὶ πανταχῆ τῆς εἰκεμένης, ἔνθα τὸ Χριστιανῶν γένος, τὴν ὕπαρξιν καὶ προσκύνησιν ἐμαρτυρήσατε· ὥστε ὃ καθαιρεῖν ἐπιχειρεῖσι, μᾶλλον συνιστῶσι, καὶ τοῖς οἰκείοις λόγοις ἁλίσκονται. Δεύτερον ὅτι λελήθασιν ἑαυτὲς, δι' ὧν ταῦτα λέγουσιν, εἰς τὴν τῶν Ἑλλήνων τάξιν ἑαυτὲς ἐντάττοντες· ἐπ' ἴσης γάρ ἐσι τὰ εἰρημένα περὶ τῶν σεπτῶν εἰκόνων εἰπεῖν καὶ περὶ τῶν ἄλλων μυστηρίων ἡμῶν. ποίας γὰρ λόγος εὐαγγελίου θεοπνεύστου ἔποιεν ἄν, ἢ ὅλως εὐαγγέλιον ποῖον ὀνομάζετε; ἄλλοις γὰρ χήμασι καὶ τύποις γραμμάτων τὸ Ῥωμαϊκὸν, ἄλλοις δὲ τὸ Ἰνδῶν, καὶ ἑτέροις τὸ Ἑβραϊκὸν, καὶ ἄλλοις τὸ Αἰθιόπων ἀπαρτίζονται· καὶ ὐ μόνον τύποις γραμμάτων καὶ χήμασιν ἀνομοίοις γράφονται, ἀλλὰ καὶ ἀπηχήσει καὶ σημασίᾳ φωνῆς ἑτεροειδεῖ τε καὶ ἀλλοτριωτάτῃ προφέρονται· ἐκ ἔν φαίην ἄν, μᾶλλον δὲ διὰ τί μὴ λέγοιτε, ὡς ὐδενὶ προσήκει πείθεσθαι ἢ προσέρχεσθαι εὐαγγελίῳ, ὅτι ἀνομοίοις καὶ χημάτων

τύποις, καὶ φωνῶν ἀπηχήσεσί τε καὶ σημασίαις ἀπαγγέλλονται; τῶν ὑμετέρων γὰρ ἐνθυμημάτων καὶ τοῦτο τὸ τόλμημα· ἐδὲ γὰρ οὐδ' Ἕλλην τις ἡμῖν ῥᾴον τὰ τοιαῦτα προτείνειεν. πολλὰ γὰρ καὶ παρ' αὐτοῖς τῶν σεβασμίων παραπλήσια· καὶ ὥσπερ ἐστὶν αὐτοῖς φύσις κοινὴ πρὸς ἡμᾶς, καὶ νοῦς, καὶ λόγος, καὶ ψυχῆς πρὸς σῶμα σύγκρασις ὁμοιότροπος, καὶ μυρία ἄλλα· ἔτω καὶ περὶ τὴν τοῦ θείου ὑπόνοιαν, κἂν τοῖς πλείοσι καὶ κυριωτάτοις διίστανται, ἀλλ' ἔν ἐστιν ὅμως οἷς διὰ τὴν ἐνάργειαν τῶν κοινῶν ἐννοιῶν οὐδ' αὐτοὶ τολμῶσι διαμάχεσθαι. οὐκ οὖν οὐδ' Ἕλλην ἀμφισβητήσειεν ἡμῖν περὶ τούτου, ἀλλά τις ἄλλος ὅλως ἄθεος καὶ ἀθρήσκευτος, μήτε θείου ἔννοιαν, μήτε λατρείαν ὅλως παραδεξάμενος. Τρίτον δὲ, καὶ τοῦ δευτέρου σύστοιχον, ποῖον σαυρὸν προσερήσεσθε πάντως τοῦ πρωτοτύπου νομιοῦμεν ὅμοιον; ὃς μετὰ τοῦ τίτλου σχηματίζεται, ἢ ὃς ἄνευ ἐκείνου διατυποῦται καὶ διαγράφεται; ὧν γὰρ ἂν ἡ ὁμοιότης ὑμῖν ὁμολογηθείη, ἐκ τούτου κατὰ τὸν ὑμέτερον σοφὸν συλλογισμὸν ἡ τῶν λοιπῶν ποίησις καὶ προσκύνησις (ἀλλ' ὑμῖν γε τοῖς τοιαῦτα περὶ τηλικούτων τολμῶσιν) ἀπαρνηθήσεται, ἢ καὶ ἤδη ἐξήρνηται. Τέταρτον, τὴν διαφορὰν ἡμῖν καὶ ἀνομοιότητα τὴν ἐν ταῖς μυσικαῖς θυσίαις καὶ ταῖς ἄλλαις ἱερουργίαις, εἰς διαβολὴν ἁπάσης, καὶ ἀνατροπὴν τῆς ἡμῶν ἀχράντου τελετῆς καὶ λατρείας προκομιεῖσθε· ἐξ ὧν γὰρ κατὰ τῆς Χριστοῦ εἰκόνος πονηρὰν μελέτην ταῖς ὑμῶν διανοίαις ἐμελετήσατε, πᾶσαν τὴν τῶν Χριστιανῶν ἱερὰν τελετὴν καὶ τὰ θεῖα μυστήρια ἐκ βάθρων αὐτῶν ἠλέγχθητε κατασείοντες. Πέμπλον ῥηθέν, ὃ καὶ λίαν αὐτῶν σηλιτεύει τὸ δυσσεβὲς καὶ μισόχριστον. τί γὰρ ἐπὶ τῆς εἰκόνος ἴσασθε, καὶ τὰς τοιούτους φληναφίας ἀνελίσσετε; δέον πρὸς αὐτὸν τὸν εἰκονιζόμενον, ὃ κρύπτεσι τέως, ἀποδύσασθαι· ἵνατί γὰρ ὃ ταῖς διανοίαις ὑμῶν ὠδίνετε, τὸν ἄσπονδον κατὰ Χριστοῦ πόλεμον, τοῦτον μὴ καὶ τοῖς χείλεσι καὶ γυμνῷ τῷ προσώπῳ, ἀλλ' ὑπὸ προσωπείῳ τῇ εἰκόνι, ἐπιδείκνυσθε; λεγέτωσαν γὰρ, ὡς ἐπειδὴ Ἕλληνες μὲν αὐτοῖς ὅμοιον ἐπὶ γῆς φαίνηται τὸν Χριστὸν νομίζουσι, Ῥωμαῖοι δὲ μᾶλλον ἑαυτοῖς ἐοικότα, Ἰνδοὶ δὲ πάλιν μορφῇ τῇ αὐτῶν, καὶ Αἰθίοπες δῆλον ὡς ἑαυτοῖς· ἐπεὶ ταῦτα, τίς ἐστὶν ὁ ἀληθὴς Χριστὸς ἢ παρὰ τίσι νομιζόμενος; οὐκ ἄρα δεῖ ὁμολογεῖν οὐδὲ πιστεύειν σαρκὶ ἐπιδημῆσαι τὸν Χριστόν; ὄντως γὰρ αὐτοῖς τοῖς ἀθλίοις ἐδ' ἐπεδήμησεν. ὃ γὰρ κατὰ τῆς εἰκόνος ἐπονηρεύσαντο, τοῦτο πολὺ πρότερον κατὰ τοῦ εἰκονιζομένου πεφώραται φρυαξάμενοι, ἀπὸ τῆς τῶν νομισάντων διαφορᾶς ἀναίρεσιν παντελῆ τοῦ νομισθέντος ψηφισάμενοι. Ὁρᾶς οἷος αὐτῶν ὁ σκοπὸς, καὶ εἰς οἷον αὐτοῖς τὸ κατὰ τῆς εἰκόνος ἀπέβλεπε τέχνασμα. Ἀλλ' ἐπὶ τοῖς εἰρημένοις ἐκεῖνο ῥητέον, οὐκ ἐκείνοις, (ἀνάξιοι γὰρ,) ἀλλά γε τοῖς πιστοῖς καὶ φιλοχρίστοις, ὅτιπερ ἐ πάντως λυμαίνεται τῶν εἰκονισμάτων τὸ ἀνόμοιον τὴν τῆς εἰκόνος φύσιν καὶ

τὴν

τὴν ἀλήθειαν. οὐ γὰρ μόνῳ σχήματι σώματος καὶ μορφῆς εἰκονίζεται χρώμασι τὸ εἰκονιζόμενον, ἀλλὰ καὶ ποιᾷ διαθέσει, καὶ παρεπομένῃ πράξει, καὶ παθῶν ἐμφάσει, καὶ τόπων ἱερῶν ἀναθέσει, καὶ ἐπιγραμμάτων ἑρμηνείᾳ, καὶ συμβόλοις ἐξαιρέτοις ἄλλοις, ὧν μηδὲν παρεῖναι ἢ μὴ τὰ πλείονα ταῖς παρὰ τῶν πιστῶν εἰκόσιν παντελῶς ἀδύναλον. δι' ὧν, ἐδὲν ἔλατλον, εἰ καὶ πάντα προσῆν, εἰς ἔννοιαν καὶ τιμὴν τῇ εἰκονιθέντος, ὅπερ ἐστὶ τῆς εἰκονεργίας σκοπὸς, ἀναγόμεθα. Ἀλλὰ ταῦτα μὲν κατ' ἐπιδρομὴν, καὶ ὡς ἐν ἐπιστολῆς τύπῳ· ἡ δὲ τῆς ἐργασίας ἀκρίβεια, Θεῷ διδόντος, εἰς τὴν οἰκείαν ὑπόθεσιν ἀναχθήσεται.

ΟΘ. (σλέ.)

Σεργίῳ ἀδελφῷ.

Οὐ καλαρητορεύσασα τῆς ἡμετέρας εὐτελείας ἡ θεία γραφὴ, σκιὰν καὶ ὄναρ καὶ καπνὸν καὶ ματαιότηλα, καὶ τοιαῦτα ἄλλα τὸν ἀνθρώπινον βίον ὠνόμασε. Τί γὰρ ἂν καὶ εἴποις τὴν ἐν παισὶν ἡλικίαν; καὶ τί τέτε ματαιότερον ἢ ἀναισθητότερον; Ἀλλὰ τὴν νεότητα; ὃ καὶ ἄνθος δόξειεν ἂν εἶναι τῆς Φύσεως, ἀλλὰ γέμει ζάλης, ἀλλὰ πολὺ τὸ κῦΦον ἐν αὐτῇ καὶ ὑπόκειον καὶ εὐρίπιτον, ἀλλὰ παντὸς ὀνείρε θᾶτλον παρέρχεται, ἐδὲν ἄλλο χαρισαμένη καὶ προζενήσασα, πλὴν ὅτι πολὺν σάλον καὶ κλύδονα παθῶν τῇ ψυχῇ ἐπικυμήνασα, αὐτὴν τὴν πρώτην ὁρμὴν τῆς ἐπ' ἀρετὴν κινήσεως ἐξὶν οἷς ἐποίησεν ὑποβρύχιον. Τί δὲ τὸ τῆς ἡλικίας μεθόριον; ἀλλὰ καὶ τᾶτο καπνῷ Φερᾶς ἐδὲν διενήνοχεν, ὧδε κἀκεῖσε διάτλον, καὶ καθαρῶς ἐδαμῶ καθισάμενον· τῆς τε γὰρ κατὰ τὴν νεότητα κούΦης καὶ ἀτάκλε μετέχει πως ἔτι κινήσεως, ἔπω τελείως τῆς ἐκεῖθεν ἀχλύος καὶ ταραχῆς ἀπαλλάξαν τὸν ἄνθρωπον· καὶ τῷ πρὸς τὸ γῆρας γειτονήμαλι, τῆς ἐξ αὐτᾶ αἰθάλης ἠρέμα πως καὶ ἀνεπαισθήτως ὑποπιμπλάμενον, καταβρῆξαι ἀρχὴν παρέχει καὶ ὑπομαραίνεθαι· καὶ δοκεῖ μὲν τῆς ἀΦ' ἑκαλέρε τῶν ἄκρων βλάβης τε καὶ κακίας ἀΦεξάναι, ἐδὲν δὲ ἧτλον τῆς ἐν ἀμΦοῖν θεωρεμένης μοχθηρίας μετέχον, εἰς καπνὸν, ὡς ἀληθῶς τὸ γῆρας, καὶ εἰς ὄναρ διαλύεται. Αὐτὸ δὲ τὸ γῆρας τί; κἂν ἐδὲν ἡμεῖς ἐρῶμεν, αὐτὸ πᾶσιν αὐτᾷ τὰ πάθη καὶ τὸ βάρος καὶ τὴν χαλεπότητα διακέκραγε· καὶ ὅτι καὶ κονιορτᾷ καὶ καπνῷ καὶ σκιᾷς καὶ ὀνείρε καὶ πάντων ἐξὶν εὐτελέτερόν τε καὶ ἀμυδρότερον. Πῶς ἔν ἐστι Φυγεῖν τὰ κακά; κατὰ παῖδα μὲν, ἀγωγῆς τυχόντα χρηστῆς καὶ σωΦρόνων παιδαγωγῶν· ὅπερ οὐδ' ἐν ἡμῖν ἔστιν, ἀλλ' ἐν ταῖς τῶν τεκόντων ἢ τῶν ἐπιτρόπων Φροντίσιν. ἐν νεότητι δὲ, καθ' ἣν ἄρχεται καὶ τὸ ἡμέτερον, διὰ σΦοδροτάτε χαλινῷ καὶ ἀκριβεστάτης παιδεύσεώς τε καὶ γυμνασίας καὶ συνασκήσεως. κατὰ δὲ τὴν μέσην ἡλικίαν, διά τε τῷ προκαταρτισθέντος καὶ προεντυπωθέντος τῇ ψυχῇ ἔθες, ὃ καὶ μεγίστην ἔχει πρὸς τὰ ἑξῆς κατορθώματα τὴν ἰσχύν· καὶ διὰ τῆς ὁμοίας

σπουδῆς καὶ ἐπιμελείας τῆς κατ' ἀρετὴν τελειώσεως. τῷ δ' ὕτω λοιπὸν οἰκονομήσαντι καὶ διακυβερνήσαντι τὸν βίον, λιμὴν ἀπαντήσει τὸ γῆρας, καὶ πόνων ἀνάπαυσις, τῆς κατὰ ψυχὴν ἡδονῆς καὶ θείας εὐφροσύνης τὰς ἀπὸ τῦ σώματος λύπας παρωθεμένης τε καὶ ἀποκρυπτέσης, καὶ μακάριον ὡς ἀληθῶς ἀποφαινέσης τὸν ἄνθρωπον. Σὺ δέ μοι, τέκνον, μὴ μόνον ἃ γράφω προθύμως ἀναγίνωσκε, ἀλλὰ καὶ διὰ τῶν ἔργων προθυμώτερον ἐπιγίνωσκε.

ΚΕΦΑΛΑΙΑ

ΚΕΦΑΛΑΙΑ ΤΩΝ ΑΜΦΙΛΟΧΙΩΝ.

Ex Montfauconio.

Τὰ Ἀμφιλόχια, ἢ λόγων ἱερῶν καὶ ζητημάτων ἱερολογίαι πρὸς Ἀμφιλοχίον τὸν ὁσιώτατον μητροπολίτην Κυζίκε ἐν τῷ καιρῷ τῶν πειρασμῶν, ζητημάτων διαφόρων εἰς ἀριθμὸν τριακοσίων συντεινόντων ἐπίλυσιν αἰτησάμενον.

ά. Προδιακρινεῖται τὸ δεσποτικὸν ἐκεῖνο παράγγελμα τὸ λέγον· μὴ ἔχετε ζώνην, μήτε ὑποδήματα, μήτε πήραν, ἀλλὰ νῦν ὁ ἔχων βαλλάντιον ἀράτω ὁμοίως καὶ πήραν, καὶ ἐξῆς.

β'. Εἰ τῇ ἑβδόμῃ ἡμέρᾳ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτε, πῶς ὁ σωτήριος τε Πατρὸς Λόγος φησίν· ὁ Πατήρ με ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι;

γ'. Διατί πηλῷ χρησάμενος ὁ Δεσπότης, ἀλλὰ μὴ ἄλλῳ τρόπῳ τὲς ὀφθαλμὲς ἐξιάσατο τε τυφλε;

δ'. Τί ἔστιν, μισέντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα;

έ. Εἰ πᾶν τὸ ὑποκείμενον ἀνάγκη καὶ μὴ βελόμενον πληροῖ τὰ τῆς βίας, ἀνάγκη δὲ ἐλθεῖν τὰ σκάνδαλα ἐν τῷ κόσμῳ· ε δίκαιον ἀρᾶς ὑπερβάλλειν τὸν βιαθέντα, εδὲ μὲν δίκας ἀπαιτεῖσθαι τε ἁμαρτήματος.

ς'. Τί δήποτε Μωσῆς τῶν ἐρανῶν ε μέμνηται βασιλείας, καίτοι τε Σωτῆρος ἐν τοῖς εὐαγγελίοις λαμπρῶς ἐπόντος ἀπὸ καταβολῆς κόσμε τοῖς δικαίοις ταύτην ἑτοιμασθῆναι;

ζ'. Εἰ τὰ τέλη τῶν αἰώνων εἰς ἡμᾶς κατήντησεν, ἐν ποίοις αἰῶσιν ὁ τε Χριτε πλῆτος εἰς ἡμᾶς ἐπιδειχθήσεται;

ή. Πῶς τὰ τέκνα τε Θεε λέγεται ἁμαρτίαν μὴ ποιεῖν· εἶναι δὲ ταῦτα ἡ αὐτὴ λέγει γραφὴ τὰ δι' ὕδατος καὶ πνεύματος γεννηθέντα· καὶ πάλιν πολλὲς ὁρῶμεν διὰ τε βαπτίσματος υἱοποιηθέντας τὰς ἁμαρτίας διαπραττομένες;

θ'. Πῶς τε θεοπάτορος Δαυὶδ εἰπόντος· ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτε, καὶ τὰ ἑξῆς, ὁ τότε παῖς Σολομὼν ἀποφαίνεται· μέγα ἄνθρωπος, καὶ τίμιον ἀνήρ;

ι. Τί δήποτε τὲς δαιμονίᾳ νόσῳ κακεμένες, σεληνιαζομένες ὁ εὐαγγελιτὴς ὀνομάζει;

ια. Διατί τε Ἀδὰμ ἡμαρτηκότος καὶ τὸ τε θανάτε δεξαμένε ἐπιτίμιον, ὁ τότε παῖς μηδὲν ἡμαρτηκὼς προτελευτᾷ; (*)

ιβ'. Περὶ τε, ὅτι ε μάχεται, κἂν δοκῇ τισι, τό· εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον ἐλήλυθα· καὶ τὸ, ἐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω.

ιγ'. Εἰ τὸ ἐν κολάσει διηνεκεῖ εἶναι τε μηδ' ὅλως εἶναι πολλῷ χαλεπώτερον· τε γὰρ ἀλγηδόσι καὶ ὀδύναις καταλείνεσθαι τὸ μηδὲν τοιῶτον πάσχειν πολλῷ ἄμεινον· πῶς ὁ Θεὸς τὲς ἐν ἁμαρτίαις φασὶ μέλλοντας τὸν βίον κατατρίβειν παρήγαγεν, τὸ χεῖρον ἢ τὸ ἄμεινον προελόμενος;

ιδ'. Τί

(*) Vid. Epist. Photii p. 300. ep. 203.

ιδ'. Τί ἔστιν τό· διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί· καὶ πῶς ἡ παράβασις ἰσχὺν ἔσχεν διανοίγειν ὀφθαλμούς;

ιέ. Διατί ἀόρατον τὴν γῆν ὁ Μωσῆς ὠνόμασεν;

ις'. Διατί θηριάλωλα πρέα τὲς ἀνθρώπες ἐδίεν ἀποκωλύει;

ιζ'. Πῶς νοητέον τό· ἐκ ὀφθήσῃ κενὸς ἐναντίον μϵ;

ιή. Πῶς ἐκ ἔστιν ἐναντίον τὸ λέγειν, ἰδὲ πάντα καλὰ λίαν, καὶ τὸ μετὰ ταῦτα ἐπιδιελεῖν, καὶ τὰ μὲν τῶν ζώων καθαρὰ λέγειν, τὰ δὲ ἀκάθαρτα;

ιθ'. Διατί τῆς αἱρέσεως ἀφιξάμενος ὁ ἄνθρωπος, τὸν βίον ἐκ ἔχων ἐπίμωμον πρὸς ἱερωσύνην ἀνέρχεται· ὁ δὲ κηλίδων σωματικῶν γεγονὼς ὑπεύθυνος, κἂν τῶν ἀθεμίτων ἀποσῇ πράξεων, πρὸς τὸ τῆς ἱερωσύνης τέλος ἐκ ἀνάγεται;

κ'. Ἐπὶ τίνος παραλαμβάνεται παρὰ τοῖς ἱεροῖς ἡμῶν λογίοις ἡ τῦ ἀπεκρίθη φωνή· αὐτή τε καὶ τὰ παρὰ ταύτην ἐκ τῆς αὐτῆς χηματιζόμενα λέξεως;

κά. Τί δήποτε πρὶν ἢ διανοηθῆναι τὸν Ἰωσὴφ ἀπόλυσαι τὴν Μαριάμ, μὴ ἐπέσῃ ὁ ἄγγελος αὐτὴν προαναστέλλων τὴν μελέτην, ἀλλ' ὅτε πρὸς τὴν πρᾶξιν ἀπὸ τῆς μελέτης καλέϵθη, τότε κωλύσων ἐφίσαται· καὶ διατί τὴν παρθένον γυναῖκα λέγει τῦ Ἰωσήφ; (*)

κβ'. Τί σημαίνει τὸ, ἰδὲ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, τῦ γινώσκειν καλὸν καὶ πονηρόν;

κγ'. Πῶς θελητόν τε καὶ ἀθέλητον τῷ Πατρὶ ὁ θάνατος λέγοιτ' ἂν εἶναι τῦ Χριστῦ; καὶ πῶς πάλιν ὁ αὐτὸς συνέλθοι τῷ πονηρῷ θελητός τε ἅμα εἶναι καὶ ἀθέλητος;

κδ'. Τίνος ἐστὶν ἡ λέγουσα φωνὴ, τῦτο δὲ ὅλον γέγονεν; πότερον τῦ συγγραφέως, ἢ τῦ ἀρχαγγέλε;

κέ. Τίνος ἕνεκεν γεννηθεὶς ὁ Χριστὸς συνεχώρησεν, δι' αὐτὸν τὴν ἀναίρεσιν προελθεῖν τῶν νηπίων;

κς'. Πῶς λέγοντες Θεὸν μὲν ἕνα, τρεῖς δὲ ὑποστάσεις, καὶ τὸν Πατέρα λέγομεν Θεὸν καὶ τὸν Υἱὸν καθ' ἑαυτὸν Θεὸν καὶ τὸ Πνεῦμα ὡσαύτως· Θεότητα δὲ λέγοντες μίαν καὶ τρεῖς ὑποστάσεις, ἐκέτι δυνάμεθα λέγειν ἔτε τὸν Πατέρα θεότητα, ἔτε τὸν Υἱὸν, ἔτε τὸ Πνεῦμα, ἀλλ' ἐφ' ἅμα τὰ τρία;

κζ'. Εἰ τῦ αὐτῦ αἰτίᾳ πρόεισιν ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, πῶς ἐχὶ τὴν τῶν ἀδελφῶν ἀναδέξονται κλῆσιν, καὶ τὴν τῦ Υἱῦ προσηγορίαν ἐχ ὑπέλθοι τὸ Πνεῦμα;

κή. Εἰ τὸ βάπτισμα Ἰωάννε ἄφεσιν ἁμαρτιῶν, ὡς ὁ ἱερὸς Λεκᾶς ἀναγράφει, παρεῖχεν, τίς ἡ πρὸς αὐτὸ τῦ δεσποτικῦ διαφορά;

κθ'. Πῶς τῦ Σωτῆρος ἡμῶν λέγοντος· ἐχὶ δύο στρουθία ἀσσαρίᾳ πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν ἐ πεσεῖται ἄνευ τῦ Πατρός μϵ τῦ ἐν οὐρανοῖς· Παῦλος, ὁ τὸν Χριστὸν ἔχων λαλοῦντα ἐν ἑαυτῷ, φησὶν, μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; ἀντιφθέγγεσθαι γὰρ ἡ τῦ μαθητῦ πρὸς τὸν διδάσκαλον φαντασίαν παρέχεται φωνή.

λ'. Πῶς

(*) Conf. epist. 182.

λ'. Πῶς νοητέον τὸ, δύναλαι ὁ Θεὸς καὶ ἐκ τῶν λίθων τέτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ; (*)

λά. Τί δηλοῖ· οὐ τὸ πλύον ἐν τῇ χειρὶ αὐτῦ, κ. ἑ.

λβ'. Πῶς τῆς Θεομηνίας τῆς περὶ τὸν Κορὲ καὶ Δαθὰν καὶ Ἀβειρὼμ γεγενημένης, δέον τὸ ἄλλο πλῆθος κατεπληχότας καὶ τὴν περὶ ψυχὴν κίνδυνον δεδιότας τότε τῦ Φρονήματος γαῦρον καὶ ἀπονενοημένον συξέλειν, καὶ ἐπιγνώμονας γίνεθαι τῶν ἡμαρτημένων, οἱ δὲ μηδὲν τοιῦτον ἐπιδεικνύμενοι καὶ καλὰ Μωϋσέως γογγύζεσι;

λγ'. Ἐν τῷ εὐαγγελικῷ ῥητῷ τίνα δεῖ νοεῖν παιδία, ἃ τοῖς Ἰεδαίοις ἠύλησαν, καὶ ἐκ ὠρχήσαν̃το, ἐθρήνησαν καὶ ἐκ ἐκόψαντο; τὸν γὰρ πρόδρομον καὶ τὸν κοινὸν Δεσπότην παιδία νοεῖν, μὴ τῷ ἀτόπῳ συνδιαλύεται καὶ τῶν Ἰεδαίων τὸ ἔγκλημα; παιδίοις γὰρ μὴ πειθαρχεῖν, ἐχ ὑπεύθυνον.

λδ'. Πῶς ἐ μάχεται ἡ τῦ κορυφαίυ τῶν μαθητῶν παραίνεσις ἡ λέγυσα· ἕτοιμοι γίνεθε αἰεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος· καὶ τὸ δεσποτικὸν πρόσταγμα, παρακελευόμενον μὴ προμελετᾶν ἀπολογεῖθαι ἐπὶ βήμαλος βασιλέων καὶ ἡγεμόνων ἀγομένυς, ἐφ' ᾧ λόγον ὑποχεῖν τῆς πίςεως;

λε. Καλὰ τί εἴρηλαι· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν; καὶ τίς ἐνταῦθα ἡ εἰκών, ποῖον δὲ τὸ ἀρχέτυπον; ἀπάσης γαρ εἰκόνος ἀνάγκη συνθεωρεῖθαι καὶ τὸ πρωτότυπον.

λς'. Πῶς δύναται μὴ εἶναι ἀντικείμενον· ὀφθαλμὸν ἀντὶ ὀφθαλμῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος, πρὸς τὸ, ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀνθιςῆναι τῷ πονηρῷ· τετέςιν, μὴ ἐπεξελθεῖν τοῖς ὁμοίοις, μηδ' ἀμύνεθαι τὸν ἐχθρόν; (**)

λζ'. Τινὲς διαπορῦσιν, ὡς ἐ ἀπερίγραπλος ἡ ἐν τῷ Υἱῷ θεότης, ἡ σὰρξ, ἣν ἀνέλαβεν, ἢ πανταχῦ, (ἔνθα γὰρ ἡ θεότης, κἀκείνην παρεῖναι δεῖ,) ἢ περιγραφομένη τόπῳ τῦ προσειληφότος διέσηκεν. Supra, num. A. pag. 39. impressum ex additamento operum Amphilochii.

λή. Πῶς τῦ Ἰακὼβ δύο παῖδας ἐκ τῆς Ῥαχὴλ ἐχηκότος, τὸν Ἰωσὴφ καὶ τὸν Βενιαμὶν, εἶτα γενεαλογῶν τὲς ἀπὸ τῦ Ἰακὼβ ὁ Μωσῆς, ἐγένοντο δέ, φησιν, υἱοὶ Βάλλα· Γηρὰ, καὶ Νοεμὰν, καὶ Ἀγχεὶς, καὶ Ῥὼς, καὶ ἡ Ἀμφὶν καὶ Ὀμφιμὶν· Γηρὰ δὲ ἐγέννησεν τὸν Ἀράδ· εἶτα ἐπάγει· ἕτοι υἱοὶ Ῥαχὴλ, ἓς ἔτεκεν τῷ Ἰακώβ. τῆς ἓν Ῥαχὴλ τὸν Ἰωσὴφ καὶ τὸν Βενιαμὶν μόνυς τεκέσης, πῶς τέτυς ἡ Γένεσις λέγει τῆς Ῥαχὴλ τεχθῆναι τῷ Ἰακώβ;

λθ'. Τῦ δεσποτικῦ προστάγματος ἐν τῇ Ἐξόδῳ τὸν Μωσέα παρακελευομένυ· ἔκτεινον τὴν χεῖρά σε ἐπὶ τὰ ὕδαλα Αἰγύπλυ, καὶ ἐπὶ τὲς πλαμὲς αὐτῶν, καὶ ἐπὶ τὰς διώρυχας αὐτῶν, καὶ ἐπὶ τὰ ἕλη αὐτῶν, καὶ ἐπὶ πᾶν συνεχηκὸς ὕδωρ, καὶ ἔσαι αἷμα· καὶ τῦ θαύματος δηλονότι τὸ πέρας εἰληφότος, πόθεν ἕτερον ὕδωρ εὑρέθη ὅπερ ταῖς τῶν ἐπαοιδῶν μαγγανείαις ὕλη πρὸς τὴν τῦ λήματος φαντασίαν ὑπεβλήθη.

μ. Πῶς

(*) Conf. epist. 77. (**) Conf. epist. 196. et infrà μί.

μ΄. Πῶς νοητέον τὸ, ἐγὼ σκληρύνω τὴν καρδίαν Φαραώ;

μά. Πῶς νοητέον τὸ, σὺ ὠργίσθης, εἰρημένον τῷ Θεολήπτῳ Ἡσαΐᾳ, καὶ ἡμεῖς ἡμάρτομεν.

μβ΄. Τί δήποτε τῷ Κυρίῳ καὶ Σωτῆρος ἡμῶν Ἰησῷ Χριστῷ εἰς ὄνομα Πατρὸς καὶ Υἱῷ βαπτίζειν μυσταγωγήσαντος, οἱ ἀπόστολοι καὶ μαθηταὶ αὐτῷ οὐχ ἕτως, ἀλλ᾽ εἰς τὸ ὄνομα τῷ Κυρίῳ Ἰησῷ Χριστῷ ἐβάπτιζον;

μγ΄. Τὶ δηλοῖ τὸ εἰρημένον· ἐν παντὶ καιρῷ ἔστωσαν τὰ ἱμάτιά σε λευκὰ, καὶ ἔλαιον ἐπὶ τῆς κεφαλῆς σε μὴ ὑστερησάτω· καὶ, τῷ σοφῷ οἱ ὀφθαλμοὶ ἐν τῇ κεφαλῇ αὐτοῦ.

μδ΄. Τὸ, τίς ἔστιν ἡ μήτηρ μου, καὶ τίνες οἱ ἀδελφοί μου; πῶς νοητέον; πολλοὶ γὰρ αὐτὸ προσκόμματος ἔθεντο πρόφασιν. (*)

με΄. Πῶς ὁ μάχελλα τὸ, ἐρρέθη τοῖς ἀρχαίοις· ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος· τῷ, ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ; ἀλλ᾽ ὅστις σε ῥαπίσῃ ἐπὶ τὴν δεξιάν, στρέψον αὐτῷ καὶ τὴν ἄλλην.

μς΄. Τῷ Κυρίῳ λέγοντος, ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ, ζητοῦμεν, τίνα λέγει διάβολον καὶ τίνα τὸν πατέρα αὐτοῦ. (**)

μζ΄. Πόσαι εἰσὶν αἱ τὸν Κύριον ἀλείψασαι μύρον;

μή. Πῶς νοητέον τὸ, πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, τῷ δὲ βλασφημήσαντι εἰς τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἀφεθήσεται, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.

μθ΄. Τῶν μακαρίων Μάρκου καὶ εὐαγγελιστοῦ γεγραφότος· ἐξῆλθον οἱ παρ᾽ αὐτοῦ κρατήσαι αὐτόν· ἔλεγον γὰρ ὅτι ἐξέστη· ποίᾳ διανοίᾳ τὴν τῶν ῥημάτων συνθήκην ἁρμόζοντες οὐκ ἂν εἴημεν πόῤῥω τοῦ εὐαγγελικοῦ διηγήματος παρενηνεγμένοι;

ν΄. Διὰ τί τὸν παράδεισον ἐφύτευσεν ὁ Θεὸς μέλλων εὐθὺς ἐκβάλλειν τὸν Ἀδὰμ ἐξ αὐτοῦ;

να΄. Τῷ θεσπεσίῳ Παύλου παραινοῦντος· ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτὸν· ἐὰν διψᾷ, πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ· πῶς νοήσομεν τὸ, ἄνθρακας πυρὸς κ. τ. λ.

νβ΄. Πῶς νοητέον τὸ εἰρημένον παρὰ τοῦ Θεοῦ τῷ Μωσεῖ, ἰδοὺ δέδωκά σε θεὸν Φαραώ. (***)

νγ΄. Πῶς νοητέον τὸ ἀποστολικὸν ῥητόν· εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε· καὶ τὰ τούτων συνημμένα.

νδ΄. Πῶς ὁ ἱερὸς χρησμὸς, ὥσπερ ἐστὶν κρείττων αἰτίας ἁπάσης, οὕτω καὶ ἐπιδεχθείη ταύτης ἀπροσπέλαστος, ὡς· ἀμὴν ἀμὴν λέγω ὑμῖν, φησὶν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς. εἰ μὲν γάρ τις εὐαγγέλιον αὐτὴν τὴν πρᾶξιν θείη τῆς γυναικὸς, ἀδολεχίας δ᾽ δοκεῖ φεύγειν αἰτίαν· ἂν δὲ τὴν ὅλην συγγραφὴν τῶν συνταξαμένων μαθητῶν τὰ τοῦ διδασκάλου καὶ κοινοῦ σωτῆρος ὑπερφυῆ ἔργα καὶ πολιτεύματα, οὐδὲ τοῦτο νομίζεται σώζειν τὸ

(*) Conf. epist. 133. (**) Conf. πζ΄. (***) Conf. epist. 162. (infra σό.)

τὸ ἀκόλουθον. ἔπω γὰρ ταῦτα τοῖς γράμμασι παρετέθετο.

νέ. Τίνα νῦν ἐστιν ἀκόλουθον καὶ ἀδυσφήμητον ἀνιχνεῦσαι καὶ κατανοῆσαι διὰ τῶν Δαυϊτικῶν ῥημάτων, τῶν λεγόντων· σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σε ἐποίησα, ὅπως ἂν δικαιωθείης ἐν τοῖς λόγοις σε καὶ νικήσῃς ἐν τῷ κρίνεσθαι. (*)

νς'. Διὰ τί τῶν τοῦ Σωτῆρος βαπτιζόντων μαθητῶν ἔτι ἐβάπτιζεν ὁ Ἰωάννης;

νζ'. Τίνος ἕνεκα ὁ Μωσῆς κατὰ τὴν Γένεσιν γενεαλογῶν τὰς ἡγεμονίας, εἰς αὐτῶν μὲν ἄλλων ἁπλῶς ψιλὰ διέρχεται τὰ ὀνόματα, ἐπὶ δὲ τὸν Λιμὰν ἐλθών φησιν· οὗτός ἐστιν ὃς εὗρεν τὸν Λιμὶν ἐν τῇ ἐρήμῳ, ὅτε ἔνεμεν τὰ ὑποζύγια Σεβεγὼν τοῦ πατρὸς αὐτοῦ. τί οὖν ἐστιν ὃ εὗρεν, καὶ τίνος ἕνεκα μνήμης ἀξιοῦται;

νή. Τί δηλοῖ τὸ ἐν τῷ Δευτερονομίῳ γεγραμμένον· ἐὰν δὲ οἰκοδομήσῃς οἰκίαν καινὴν καὶ ποιήσῃς στεφάνην ἐν τῷ δωματίῳ σου, καὶ οὐ ποιήσεις φόνον ἐν τῇ οἰκίᾳ σου.

νθ'. Τί δήποτε τοῦ νόμου κωλύοντος ἅπτεσθαι λεπροῦ· εἰ δὲ μή, ἀκάθαρτον εἶναι ἕως ἑσπέρας· ἐν τῷ θεραπεύειν τὸν λεπρὸν ὁ Σωτὴρ ἅπτεται αὐτοῦ, καίτοι λόγῳ θεραπεύειν δυνατὸς ὤν;

ξ'. Τί δηλοῖ τὸ, ἔστιν ἐλπὶς ὅτι ὁ κύων ὁ ζῶν αὐτὸς ἀγαθός ἐστιν ὑπὲρ τὸν λέοντα τὸν τεθνηκότα;

ξά. Τί βούλεται δηλοῦν τὸ παρὰ τῷ Ἐκκλησιαστῇ ῥηθέν· ἀπόστειλον τὸν ἄρτον σου ἐπὶ πρόσωπον τοῦ ὕδατος, ὅτι ἐν πλήθει τῶν ἡμερῶν εὑρήσεις αὐτόν;

ξβ'. Τί δηλοῖ, ὁ ὀρύσσων βόθρον, ἐν αὐτῷ ἐμπεσεῖται;

ξγ'. Πῶς νοητέον ὃ γέγραπται τῷ Ἐκκλησιαστῇ· σχίζων ξύλα κινδυνεύσει ἐν αὐτοῖς, ἐὰν ἐκπέσοιτο σιδήριον· καὶ αὐτὸς πρόσωπον ἐτάραξεν, καὶ δυνάμεις δυναμώσει, καὶ περισσεία τοῦ ἀνδρείου σοφία.

ξδ'. Πρὸς τίνα σκοπὸν ἀποβλέπει τὸ, γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται, ἡ δὲ γῆ εἰς τὸν αἰῶνα ἕστηκεν;

ξέ. Τίνα νῦν ἀναπλύσει τό· ἔστιν δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ, καὶ ἔστιν ἀσεβὴς μένων ἐν κακίᾳ αὐτοῦ;

ξς'. Πῶς νοητέον τὸ, εἰ δὲ ἡ ἀδικία ἡμῶν Θεοῦ δικαιοσύνην συνίστησιν;

ξζ'. Τὰ, ἐὰν γεννήσῃ ἀνὴρ ἑκατόν, καὶ ἔτη πολλὰ ζήσεται, καὶ πλῆθος ὅτι ἔσονται ἡμέραι ἐτῶν αὐτοῦ, ἐκ ἐμπλησθήσεται ἀπὸ τῆς ἀγαθωσύνης· καί γε ταφὴ οὐκ ἐγένετο αὐτῷ. εἶπα ἀγαθὸν ὑπὲρ αὐτὸν τὸ ἔκτρωμα, ὅτι ἐν ματαιότητι ἦλθε, καὶ ἐν σκότει τὸ ὄνομα αὐτοῦ καλυφθήσεται, καί γε ἥλιον οὐκ εἶδεν καὶ οὐκ ἔγνω· ἀνάπαυσις τούτῳ ὑπὲρ τοῦτον. τοῦτο δὴ τὸ ζητὸν τίνα διάκρισιν καὶ σαφήνειαν ἐπιδείξασθαι δύναται;

ξή. Τί δηλοῖ τὸ, ζῆθι ἐν ἀγαθῷ, καὶ ἴδε ἐν ἡμέρᾳ κακίας, ἴδε· καί γε τοῦτο σύμφωνον τούτῳ ἐποίησεν ὁ Θεὸς περὶ λαλιᾶς, ἵνα μὴ εὕρῃ ἄνθρωπος ὀπίσω αὐτοῦ μηδέν.

(*) Conf. infrà ϟ'.

ξθ'. Τίνας δεῖ νοεῖν δερματίνας χιτῶνας, ὃς ὁ Ἀδὰμ καὶ ἡ Εὔα μετὰ τὴν παράβασιν ἐνεδύσαντο;

ο'. Πρὸς τίνα διάνοιαν ἡμᾶς παραπέμπει τὸ, οὐκ ἂν ὀρθῶς προσενέγκης, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον, καὶ τὰ ἑξῆς. (*)

οά. Τῶ θεσπεσίῳ Παύλῳ λέγοντος· Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονεν, σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, καὶ ἑξῆς· πῶς δεῖ νοεῖν τὸ μὴ τὸν Ἀδὰμ ἀπατηθῆναι, καὶ δὴ καὶ τὸ σωθήσεσθαι διὰ τῆς τεκνογονίας τὴν γυναῖκα;

οβ'. Πῶς νοητέον τὸ, ὃς ἂν ἐσθίει τὸν ἄρτον τοῦτον, ἢ πίνει τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου, καὶ ἑξῆς.

ογ'. Τοῦ Κυρίου πρὸς τὴν Σαμαρεῖτιν κ. τ. λ. Impressum ex Wolfio (vbi οδ'.) supra, num. B. pag. 40.

οδ'. Πῶς λέγεται τὸ θεῖον εἶναι ἐν τῷ παντὶ, καὶ πῶς ἔνεστι διαλύειν ἃ πρὸς τὴν ὑπόθεσιν ταύτην παρ' ἐνίων προκομίζεται διαπορούμενα; (**)

οε. Τί δηλοῖ — — ὑμῖν δέδοται γνῶναι κ. τ. λ. Supra, num. Γ. (ος'.) pag. 43. (ex Wolfio, vti tantum non omnia.)

ος'. Περὶ Φύσεως καὶ ὑποστάσεως. Τὸ φαινόμενον τοῦ Χριστοῦ, τί; ἡ φύσις, ἢ ὑπόστασις;

οζ'. Περὶ ὑποστάσεως. Πότερον ἡ τοῦ Λόγου σύνθετος ὑπόστασις ὁμοφυής ἐστιν.

οή. Περὶ Θεότητος. Πότερον ἡ Θεότης καὶ τὸ Θεὸς ταυτόν ἐστιν.

οθ'. Πότερον ὁ Χριστὸς τὸν καθόλου ἄνθρωπον ἀνελάβετο, ἢ τὸν ἐπὶ μέρους;

π'. Τί ἐστιν, ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὥσπερ τοῦ Θεοῦ παρακαλοῦντος κ. τ. λ. Supra, num. Δ. (πά.) pag. 48.

πά. Τί ἐστιν, ἢ τό γε ἀκριβέστερον εἰπεῖν, ἃ ἡ Θεότης.

πβ'. Τίνος ἕνεκα ὁ μὲν ὁλόλεπρος παρὰ τῷ παλαιᾷ καθαρὸς ἐλογίζετο· ὁ δὲ ἐκ μέρους, ἀκάθαρτος;

πγ'. Τίνος ἕνεκα λέγεται τὸ Πνεῦμα εἰκὼν τοῦ Υἱοῦ, καὶ τίς ἡ τῶν Πυθαγορείων τέτρακτυς, καὶ τί περὶ τῆς ζ'. ὁ θεολόγος φησί;

πδ'. Διὰ τί ἀλείφει τὸν λίθον ὁ Ἰακώβ;

πε. Διὰ τί προσκυνεῖ τὸ ἄκρον τῆς ῥάβδου; Supra E. (πς'.) pag. 48.

πς'. Τί ἐστιν, οἶδα ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ — — τὸ ἀγαθόν; Supra ς'. (πζ'.) pag. 48.

πζ'. Τί ἐστι τὸ, ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ κ. τ. λ. Supra Z. (πή.) p. 49.

πή. Τί ἐστιν νεμηνία, καὶ τί καλάνδαι, καὶ τί εἴδοι, καὶ τί νῶναι;

πθ'. Ἐξαπέστειλεν κ. τ. λ. Supra H. (ν'.) p. 50.

ν'. Πόθεν παραγέγονας. (†)

νά. Τίνα νοῦν — — ἐκάθισεν ἡμᾶς κ. τ. λ.
Supra Θ. (νβ'.) pag. 50. (vbi in initio legatur γεγενῆθαι.)

νβ'. Διὰ τί διδασκόμεθα ἀποτάσσεσθαι τῷ σατανᾷ, καὶ ἐχὶ τῆς πονηρᾶς ἀνθρώποις;

νγ'. Διὰ

(*) Conf. infrà ρλά. (**) Latine exstat apud Basnagium in thesaur. Canis.
(†) Vid. infrà ρξθ'. vbi idem titulus, idemque initium, Οὐχ ἁπλῶς etc.

ρλγ'. Διὰ τί ἐπετίμησεν ὁ Ἰησοῦς τῷ Πέτρῳ πρὸς τὸν θάνατον δυσαναχετοῦντι; Supra I. pag. 52.

ρλδ'. Τί σημαίνει ἡ τοῦ Ἀβεσαλὼμ τῷ πατρὶ ἐπανάστασις;

ρλε. Πῶς ἐντελλόμενος κ. τ. λ. Supra IA. p. 52.

ρλς'. Τί ἐστι· σοὶ μόνῳ ἥμαρτον, καὶ πονηρὸν ἐνώπιόν σε ἐποίησα.(*)

ρλζ'. Τί ἐστι τὸ, φοιβήσασθαι καὶ φαλάκρωμα περιθεῖναι μωρίαν τῇ κεφαλῇ;

ρλή. Διὰ τί σαυρεῖται ὁ Χριστός;

ρλθ'. Πῶς συμβιβασθήσεται κ. τ. λ. Supra IB. p. 52.

ρ'. Ἔκδοσις περὶ γενῶν τε καὶ εἰδῶν.

ρά. Ἐκ τῶν [περὶ] τοῦ β'. λόγου τοῦ θεολόγου Γρηγορίου ἀντιρρητικῶν τε καὶ δογματικῶν ἱερῶν ζητημάτων.

ρβ'. Διὰ τί ἀγγέλων μνήμην κ. τ. λ. Supra IΓ. p. 53.

ργ'. Περὶ ὅρου ζωῆς. (**)

ρδ'. Τί ἐστι τὸ, εὐλόγησεν Μελχὸλ τὸν Δαυίδ.

ρε. Διὰ τί ὁ Δαυὶδ τὸ Ἐφὸδ περιεβάλετο;

ρς'. Τί ἔπραττεν Ἀδὰμ ἐν παραδείσῳ;

ρζ'. Διὰ τί πρὸς ἑσπέραν ἐθύετο ὁ ἀμνός;

ρή. Διὰ τί ὁ κόραξ, ἀκάθαρτος ὢν, ὑπηρέτει τῷ προφήτῃ;

ρθ'. Τί ἐστι, θήσω τὸ τόξον μου ἐν τῇ νεφέλῃ;

ρί. Δίκαιος ὁ Νῶε τυγχάνων διὰ τί ἀλίσκεται μέθῃ καὶ οὐ δίδωσι δίκην;

ριά. Πόθεν ἐστὶ τῆς γραφῆς λαβεῖν ὑπὸ τοῦ διαβόλου τὸν Ἀδὰμ ἀπατηθῆναι; Supra IΔ. pag. 55.

ριβ'. Τί ἐστι· Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου;

ριγ'. Διὰ τί ἐν τῇ βάτῳ καὶ οὐκ ἐν ἑτέρῳ φυτῷ τῷ Μωσεῖ ὀπτάνεται ὁ Θεός;

ριδ'. Τί δήποτε τοῦ Θεοῦ διαῤῥήξαντος καὶ διαμερίσαντος τῶν Ἑβραίων λαὸν, καὶ τὸν μὲν εἰς Σαμάρειαν ἐξ Ἰσσαχὰρ κηκότος, τὸν δὲ εἰς τὴν Ἰουδαίαν ἐγκαλαλελοιπότος· γέγραπται γὰρ ὡς εἶπεν ὁ Κύριος τῷ Σολομῶντι, διαῤῥήσσων διαῤῥήξω τὴν βασιλείαν σου· ἐκείνου τοίνυν διαῤῥηγνύντος, τί δήποτε τοὺς τὴν ἐκ Θεοῦ διαίρεσιν ὑποσάντας μέμψεσι καθυποβάλλομεν καὶ αἰτίαις; Θεοῦ γὰρ διαῤῥήσσοντος, τίς ἂν συναφθείη; καὶ μερισμῷ καταδικάζοντος, τίς ἐξελεῖται;

ριέ. Διὰ τί ὁ θεσπέσιος Δαυὶδ παραχωρεῖται πεσεῖν εἰς ἁμαρτίαν καὶ τό τε τηλικαύτην;

ριϛ'. Διὰ τί πρωτότοκον ὁ Θεὸς τὸν Ἰσραὴλ καλεῖ;

ριζ'. Πῶς οἱ ἐρανοὶ διηγοῦνται τὴν δόξαν τοῦ Θεοῦ;

ριή. Τί ἔστιν, ἐπετίμησας ἔθνεσι καὶ ἀπώλετο ὁ ἀσεβής;

ριθ'. Διὰ τί μάγοι κ. τ. λ. Supra IE. pag. 56.

ρκ'. Διά τί ἐπικελεύεται ὁ Ἡρώδης κ.τ.λ. Supra Iϛ'. pag. 57.

ρκά. Διὰ τί ὁ Πρόδρομος κ. τ. λ. Supra IZ. p. 58.

ρκβ'. Πῶς νοητέον τὸ, ἐν γεννητοῖς γυναικῶν κ. τ. λ. Supra IH. p. 58.

ρκγ'. Διὰ τί — — Χριστὸς τὴν πλευρὰν λόγχῃ νύττεται; Supra IΘ. p. 60.

(*) Conf. supra νί. (**) Conf. infra τή. vbi idem titulus, sed diuersum initium.

ρκδ'. Τί ἐστι· Κύριε μὴ σήσῃς κ. τ. λ. Supra K. pag. 60.

ρκέ. Πόσοι Ἀσερίοι κ.τ.λ. Supra ΚΑ. (ex Montfauconio) pag. 61.

ρκς'. Περὶ τῦ Ἰακὼβ καὶ τῆς Λείας.

ρκζ'. Ἡ περιτομὴ τῦ Χριςῦ. Est epist. 205. Θεοδώρῳ ἡγεμόνῳ. (*)

ρκή. Τί σημαίνει ἡ τῦ εἰμὶ παρολκή; καὶ διὰ τί παραλαμβάνεται καὶ τὸ, σφᾶς αὐτὲς καὶ ἕτερα; Supra ΚΒ. pag. 63. Λέοντι Φιλοσόφῳ. (ex epistolis, vti reliqua aliis inscripta.)

ρκθ'. Διὰ τί τῷ τλημαθεῖ Ἡρακλεῖ τὸ τῆς Ἀμαλθείας κέρας οἱ ποιηταὶ ἐγχειρίζεσιν; Supra ΚΓ. p. 63. Λέοντι ἀσπαθαρίῳ.

ρλ'. Τί δηλοῖ τὸ ἐξεσίαν ἔχειν τὴν γυναῖκα ἐπὶ τὴν κεφαλήν; Supra ΚΔ. p. 64. Εὐλαμπίῳ ἀρχιεπισκόπῳ καὶ σκευοφύλακι.

ρλά. Τί δηλοῖ τὸ, οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον. Supra ΚΕ. p. 66. Κωνσταντίνῳ σπαταρίῳ καὶ ἀσηκρῆτις. (**)

ρλβ'. Διὰ τί πρὸ τῆς Γαλιλαίας ὁ Σωτὴρ τοῖς μαθηταῖς ἐν Ἱεροσολύμοις ἐμφανίζεται; Supra Κς'. p. 68 Εὐχήμονι ἀρχιεπισκόπῳ Καισαρείας.

ρλγ'. Τὰ εἴδωλα κ. τ. λ. Supra ΚΖ. p. 69. Στεφάνῳ ὀρθοδοξήσαντι.

ρλδ'. Τί ἐστι τὸ, ηὐχόμην αὐτὸς ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μȣ τῶν συγγενῶν μȣ τῶν κατὰ σάρκα. Supra ΚΗ. p. 71. Γεωργίῳ μητροπολίτῃ Νικομηδείας.

ρλέ. Διὰ τί τὴν τῦ μαρτυρίȣ σκηνὴν, ἐν ᾗ ὁ Θεὸς ὠπλάνετο, διαφόροις χρώμασι καὶ κιβδήλοις ὁ νομοθέτης παλύπτεσθαι προσέταξεν;

ρλς'. Εἰ ὁ Πατὴρ ἐν τῷ Υἱῷ καὶ ὁ Υἱὸς ἐν τῷ Πατρὶ, πῶς λέγει πρὸς τὲς ἀποστόλȣς, περὶ δὲ τῆς ἡμέρας καὶ ὥρας ἐκείνης κ.ἑ. Est epist. 228. Ἀρσακίῳ ἀσπαθαρίῳ. Epp. p. 335-344.

ρλζ'. Πῶς ἐσοφίσαλο Σολομὼν ὑπὲρ πάντας ἀνθρώπȣς, καὶ ὑπὲρ Γαιθὰν τὸν Ἰσραηλίτην;

ρλή. Ποία παλρὶς ἦν τῷ θεσπεσίῳ Παύλῳ. Supra ΚΘ. pag. 75. Εὐχήμονι ἀρχιεπισκόπῳ Καισαρείας. (†)

ρλθ'. Ἡ αὐτὴ ἀπορία καὶ λύσις τῆς προγεγραφείσης ἐπιζηλȣσα καὶ ἕτερα. Supra Λ. pag. 75. τῷ αὐτῷ.

ρμ'. Διὰ τί περιετμήθη ὁ Χριςός; Supra ΛΑ. pag. 77. Γεωργίῳ μητροπολίτῃ Νικομηδείας. (††)

ρμά. Τῷ αὐτῷ Ἀμφιλοχίῳ. Θεὸν ἐδεὶς ἑώρακε πώποτε. Supra ΛΒ. pag. 78.

ρμβ'. Τί δηλοῖ — — πάντοτε καὶ νῦν δοξασθήσεται Χριςὸς ἐν τῷ σώματί μȣ. Supra ΛΓ. pag. 81.

ρμγ'. Τίνα ἦν τὰ ὑςερήματα τῦ Χριςῦ κ. τ. λ. Supra ΛΔ. pag. 83.

ρμδ'. Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς — — — κοσμοκράτορας τῦ σκότȣς τῦ αἰῶνος τύτȣ κ. τ. λ. Supra ΛΕ. pag. 85.

ρμέ. Διὰ τί πράξεις τῶν ἀποστόλων — — καίτοι γε — ὀλίγων τῶν ἀποστόλων κ. τ. λ. Supra Λς'. p. 86.

ρμς'. Ποσάκις ὁ Χριςὸς — — ὤφθη κ. τ. λ. Supra ΛΖ. pag. 87.

ρμζ'. Διατί παρήγγειλεν κ. τ. λ. Supra ΛΗ. pag. 88.

ρμή. Πό-

(*) Conf. etiam epist. 248. (infrà ρμ'.) (**) Conf. ὁ. (†) Conf. σμ'. (††) Conf. ρκζ'.

ρμή. Πότε ἐβαπτίσθησαν κ. τ. λ. Supra ΛΘ. pag. 88.

ρμθ'. Πῶς οἱ εἰς Χριστὸν κ. τ. λ. Supra M. pag. 89.

ρν'. Διατί εἶπε, πορευομένε αὐτῦ κ. τ. λ. Supra MA. pag 89.

ρνά. Τίνος ἐστὶν ἡ φωνὴ ἡ λέγουσα, τίς ἔστιν ἔτος ὁ βασιλεὺς τῆς δόξης;

ρνβ'. Διατί ὁ τῆς νηστείας χρόνος ἐν τεσσαράκοντα ἡμέραις ἀριθμεῖται;

ρνγ'. Τί λέγεται μαγνῆτις;

ρνδ'. Τίνα δεῖ καλεῖν τέκνα κ. τ. λ. Supra MB. pag. 90.

ρνέ. Τί — περίψημα. Supra MΓ. pag. 91.

ρνς'. Πόσας ἀρχὰς δεῖ νοεῖν ἡμᾶς τοῦ ἐνιαυτοῦ, καὶ ποίας;

ρνζ'. Πῶς — — ἐάν τίς σε ῥαπίσῃ κ. τ. λ. Supra MΔ. pag. 93.

ρνή. Διατί — — Παῦλος — προτάττει τὸ ἴδιον ὄνομα; Supra ME. pag. 97. (Adde: Τί δηλοῖ ὁριθέντος Υἱῦ ἐν δυνάμει. pag. 99. Καὶ, καυχάσθω ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτῦ, ὁ δὲ πλέσιος ἐν τῇ ταπεινώσει αὐτῦ. pag. 100.)

ρνθ'. Διατί ὁμολογηταὶ καλῶνται οἱ περὶ Σαμωνᾶν;

ρξ'. Πόσαι Σίβυλλαι γεγόνασι; Supra Mς'. pag. 102. (ex Montfauconio.)

ρξά. Τί ἔστιν ἡ ἀσάφεια τῆς γραφῆς;

ρξβ'. Τὸ αὐτὸ ἐκφαντικώτερον.

ρξγ'. Διὰ τί ὁ Χριστὸς τῇ Μαγδαληνῇ προσιέσῃ μετὰ τὴν ἀνάστασιν ἀπεκρίθη, μή με ἅπτε. Supra MZ. pag 102. (ex epistolis.) Ἀμφιλοχίῳ μητροπολίτῃ Κυζίκε.

ρξδ'. Τί ἔστι τὸ, ἐγένετο δὲ ὁ ἱδρὼς αὐτῦ ὡσεὶ θρόμβοι αἵματος; Supra MH. pag. 105. Θεοδώρῳ ἀδελφῷ.

ρξέ. Ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτῦ; Supra MΘ. pag. 105. Θεοδώρῳ μητροπολίτῃ Λαοδικείας.

ρξς'. Ποίας αἱρέσεως ἦν Εὐσέβιος ὁ Παμφίλε; Supra N. pag. 108. Κωνσταντίνῳ πατρικίῳ.

ρξζ'. Τί ἔστιν, ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστι; Est epist. 135. Κωνσταντίνῳ ἀδελφῷ. Epp. p. 180—189. (*)

ρξή. Εἰ πανταχῦ τὸ θεῖον, πῶς διαβολὴ τῦ μυστηρίε, καὶ γυναικὸς μήτρᾳ παρεῖναι; ναί φησιν παρεῖναι μὲν γαστρὶ γυναικὸς ὡς καὶ πανταχῦ, ἐδεμία διαβολή· σαρκωθῆναι δὲ Θεὸν ἐξ αὐτῆς, πῶς οἷόν τέ ἐστιν;

ρξθ'. Πόθεν παραγέγονας (†); ἐν τῷ ἸάϚ.

ρό. Πῶς εὐλογῆσαι τὰς παῖδας ὁ ἸακὼϚ λέγεται, ἐνίοις ἐπαρασάμενος;

ροά. Τὴν σκηνὴν τί δήποτε γενέσθαι προσέταξεν;

ροβ'. Πῶς νοητέον τὸ, εὐφράνθητε ἔθνη μετὰ τῦ λαῦ αὐτῦ, καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεῦ;

ρογ'. Τῷ αὐτῷ Ἀμφιλοχίῳ ζητήσαντι σύνοψιν σαφῆ τῶν δέκα καθηγοριῶν.

ροδ'. Περὶ ἐσίας.

ροέ. Περὶ ποσῦ.

ροϛ'. Περὶ ποιότητος.

ροζ'. Περὶ τῶν πρός τι.

ροή. Περὶ τῦ ποιεῖν.

ροθ'. Περὶ τῦ πάσχειν.

(*) Conf. ρκβ'. (†) Conf. ל'.

ρπ'. Περὶ τῦ πῦ.
ρπά. Περὶ τῦ κεῖθαι.
ρπβ'. Περὶ τῦ πότε.
ρπγ'. Περὶ χρήσεων τῶν ἔξω ἐν τῇ ἡμετέρᾳ γραφῇ εὑρισκομένων.
ρπδ'. Πόσαι ἐκδόσεις γεγόνασι τῆς γραφῆς;
ρπέ. Τί ἰδόντες οἱ ποιμένες κ. τ. λ. Supra NA. pag. 108.
ρπς'. Ἆρα ἱερεὺς ἦν ὁ Συμεὼν κ. τ. λ. Supra NB. pag. 109.
ρπζ'. Τί ἔστιν, ἔτος κεῖται κ. τ. λ. Supra NΓ. pag. 111.
ρπή. Διατί τὴν Μαρίαν τὴν Μαγδαληνὴν κ. τ. λ. Supra NΔ. pag. 114.
ρπθ'. Τί ἐστι τό· ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ. Supra NE. pag. 115.
ρϑ'. Πῶς βραχίονα Κυρίου κ. τ. λ. Supra Nς'. pag. 116.
ρϑά. Τί δηλοῖ, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται κ. τ. λ. Supra NZ. pag. 116.
ρϑβ'. Τί ἐστι πρωτότοκος πάσης κτίσεως; Supra NH. pag. 120.
ρϑγ'. Τί ἐστι δέησις, καὶ τί προσευχή; Supra NΘ. pag. 121.
ρϑδ'. Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον· δικαιοσύνη γὰρ Θεῦ, κ. ἑ. Supra Ξ. pag. 121.
ρϑέ. Πῶς πρεσβευτὴς ἦλθεν ὁ Χριστὸς παρὰ τῦ Πατρός;
ρϑς'. Εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις, τὰ ἀρχαῖα παρῆλθεν, ἰδὲ γέγονε καινὰ τὰ πάντα. Supra ΞA. pag. 124.
ρϑζ'. Διατί ὁ ἀπόστολος, ὅταν περὶ Χριστῦ διαλέγηται, θάνατον καλεῖ τὸν ἐκείνυ θάνατον· ὅταν δὲ περὶ ἡμῶν, κοίμησιν; Supra ΞB. pag. 125.

(*) Conf. supra ρπζ'.

ρϑή. Διατί ἀφεὶς τὴν ὅρασιν Ἡσαΐας περὶ ἀρανῦ καὶ γῆς διαλαμβάνει;
ρϑθ'. Τί; ἡ παραβολὴ τῦ τὴν πατρικὴν ἀσίαν λαβόντος καὶ εἰς χώραν ἀποδημήσαντος μακράν; Supra ΞΓ. pag. 125.
σ'. Τί δηλοῖ τό· καὶ οὐκ ἐγίνωσκεν αὐτὴν, ἕως οὗ ἔτεκεν τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον. Supra ΞΔ. pag. 126. Γρηγορίῳ σπαθαρίῳ.
σά. Περὶ προνοίας. Supra ΞΕ. pag. 127. Ταρασίῳ πατρικίῳ.
σβ'. Περὶ Τριάδος. Supra Ξς'. pag. 130. Ἰωάννῃ σπαθαρίῳ τῷ Χρυσοχέρῃ.
σγ'. Πῶς δεῖ νοεῖν τὸ παρὰ τῦ Ἰωβ, καταραθείη ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην.
σδ'. Τί ἐστι τὸ, κατ' ἐμαυτῦ ὤμοσα, λέγει Κύριος.
σέ. Τί ἐστι, καί σε δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία. (*)
σς'. Τί ἐστι, μὴ ξενάζετε κατ' ἀλλήλων, ἵνα μὴ κριθῆτε.
σζ'. Τί ἐστι, μοιχοὶ καὶ μοιχαλίδες.
σή. Τί δηλοῖ τὸ τῦ ἀποστόλυ, ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον ὡς ἐλεύθεροι.
σϑ'. Περὶ Θεολογίας ζητήματα. *Separatim impressum ex Basnagio* supra pag. 3. A.
σι'. Διατί μέχρι Τριάδος τὸ θεῖον προάγεται, καὶ ὅτε ἐντὸς περιγράφεται, ὅτε πορρωτέρω παρατείνεται. *Ibid.* B. pag. 5.
σιά. Πῶς λέγομεν ἓν καὶ τρία τὸ θεῖον. *Ibid.* Γ. pag. 8.
σιβ'. Περὶ τῶν αὐτῶν. *Ibid.* pag. 10. Τὸ ἓν καὶ τὰ τρία κ. τ. λ.

σιγ'.

σιγ'. Περὶ τῶν αὐτῶν. *Ibid.* Εἰ ὁ Θεὸς καὶ ἡ θεότης κ. τ. λ.

σιδ'. Πῶς ἔστι δυνατὸν ὅλως ἐννοεῖν τὸ θεῖον σαρκωθῆναι; *Ibid.* Δ. pag. 10.

σιε'. Διατί Θεὸς ἐσαρκώθη; *Ibid.* E. pag. 11.

σιϛ'. Διατί ὁ Υἱὸς ἐσαρκώθη, καὶ οὐχ ἑτέρα τῆς Τριάδος ὑπόστασις;

σιζ'. Διατί ὁμοφυῆς καὶ ἰσοτίμως τῆς Τριάδος κηρυττομένης, ὁ μὲν Πατὴρ λέγεται διὰ τοῦ Υἱοῦ καὶ διὰ τοῦ Πνεύματος δημιουργεῖν· ἐκ ἔμπαλιν δέ.

σιή. Διατί τὸ πνεῦμα μὲν Πατρὸς καὶ πνεῦμα Υἱοῦ ἱερολογοῦμεν, οὐκέτι δὲ πατέρα Πνεύματος ἐδὲ υἱὸν ἀποδίδοσθαι συνομολογούμεθα.

σιθ'. Τί δήποτε Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος ὁμοουσίων τε καὶ ὁμοταγῶν κατά γε δύναμιν καὶ βουλὴν καὶ κυριότητα πεφυκότων, ἐν τῇ συναριθμήσει τὴν πρώτην τάξιν ὁ Πατὴρ ἐπέχει.

σκ'. Διατί τοῦ γένους ἡ ἀνόρθωσις οὐχὶ διά τινος τῶν ἀσωμάτων δυνάμεων, ἢ διὰ ἀνθρώπου ψιλοῦ, ἀλλὰ διὰ τῆς τοῦ Λόγου κενώσεως γέγονεν.

σκα'. Τί δήποτε κατὰ τὸν μέλλοντα αἰῶνα κριτὴς μόνος καθέζεται ὁ Υἱός.

σκβ'. Τῷ αὐτῷ. [Ὥσπερ ἐπὶ τῆς θεοτ.] Est epist. 34. Ἰωάννῃ σπαθαρίῳ τῷ Χρυσοχέρῃ.

σκγ'. Τῷ αὐτῷ. [Ὥσπερ Νεστόριος.] Supra ΞΖ. pag. 130.

σκδ'. Τῷ αὐτῷ. [Εἰ μία Φύσις.] Supra ΞΗ. pag. 130.

σκε'. Τῷ αὐτῷ περὶ εἰκόνων. [Ἕλληνες τὸν Χριστόν.] Supra ΞΘ. pag. 130.

σκϛ'. Τῷ αὐτῷ περὶ εἰκόνων. [Σίμων ὁ μάγος.] Supra Ο. pag. 131. (*)

σκζ'. Τῷ αὐτῷ περὶ μαχομένων ἡητῶν. [Πώλησόν σε.] Supra ΟΑ. pag. 131. Λέοντι λογοθέτῃ τῷ Μαδιάμ.

σκή. Οὐκ ἦλθον καταλύειν τὸν νόμον, ἀλλὰ πληρῶσαι, καὶ διατί ἐλθόντος τῆς χάριτος ὁ νόμος ὑπεχώρησεν. Supra ΟΒ. pag. 131. Σεργίῳ ἀδελφῷ.

σκθ'. Τὸ Κυρίε λέγουσιν· μὴ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, καὶ ἕξῆς, πῶς δεῖ διδάσκειν τοὺς ἀπίστους. Supra ΟΓ. pag. 133. τῷ αὐτῷ.

σλ'. Πῶς δεῖ κρίνειν τὰ κατὰ τὸν βίον συμβαίνοντα. Supra ΟΔ. pag. 136. Λέοντι λογοθέτῃ τῷ Μαδιάμ.

σλα'. Πῶς οἱ ἀπόστολοι, ἰδιῶται ὄντες, ἑητόρων πάντων κατεκράτησαν. Supra ΟΕ. pag. 136. Γεωργίῳ διακόνῳ καὶ ξενοδόχῳ.

σλβ'. Διατί Παῦλος Ἀθηναίοις διαλεγόμενος ἀπὸ τῶν ἰδίων ἐπιγραμμάτων αὐτοῖς διαλέγεται. Supra Ος'. pag. 136. Ἰωάννῃ Φιλοσοφοῦντι.

σλγ'. Διατί ἡ προφητεία τοῖς τῆς ἀσαφείας τρόποις συνεσκίασται. Supra ΟΖ. pag. 137. τῷ αὐτῷ.

σλδ'. Περὶ διαμορφώσεως καὶ χαρακτῆρος τῶν ἁγίων εἰκόνων. Supra ΟΗ. pag. 137. Θεοδώρῳ ἡγουμένῳ.

σλε'. Διατί σκιὰ καὶ ὄναρ καὶ καπνὸς ὁ ἀνθρώπινος βίος ὀνομάζεται. Supra ΟΘ. pag. 139. Σεργίῳ ἀδελφῷ.

σλϛ'. Τί σημαίνει τὸ· θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου. Est Epist. 74. Εὐλαμπίῳ.

σλζ'.

(*) Adde aliam epistolam huic adiectam in Epp. p. 97. ad num. 38.

σλζ'. Τί ἐστι τὸ παρὰ τῷ Μάρκῳ εἰρημένον, ὁρᾶτε, βλέπετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, καὶ τὸ, ὅπως νοεῖτε, ἐδὲ συνίετε, καὶ ἔξης· καὶ, ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε. Epist. 75. Εὐχήμονι.

σλή. Τῷ αὐτῷ ἀπορηθέντι· καὶ αὐτοὶ δὲ συνίεσαν, καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν. Epist. 76. Εὐχήμονι.

σλθ'. Τί ἐστι τό· δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. Epist. 77. Ἰγνατίῳ.

σμ. Πῶς δυνατὸν μὴ ἀλῶναι ψεύδει τὸν θεῖον ἀπόστολον, Ἰούδαιον αὐτὸν καὶ Ῥωμαῖον ἀποφηνάμενον· καὶ ποτὲ μὲν Τάρσεα ἔχειν πατρίδα, πολὲ δὲ ἐν τῇ Ῥώμῃ γεννηθῆναι. Epist. 102. (*)

σμά. Διατί τὸ καταπέτασμα τοῦ ναοῦ ἐχίσθη. Epist. 125. Ἰγνατίῳ.

σμβ'. Τὸ πᾶσα ἐπὶ τὸ καθόλου λαμβανομένου, διατί διέσειλεν· ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται, καὶ ἔξης. Epist. 127. Εὐλαμπίῳ.

σμγ'. Διατί τὴν κεφαλὴν ἀλείφεσθαι καὶ τὸ πρόσωπον νίπτεσθαι ὁ Χριστὸς ἐπέτρεψεν. Epist. 129. Χριστοφόρῳ.

σμδ'. Τί ἐστι τὸ παρὰ τοῦ Κυρίου εἰρημένον· τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες οἱ ἀδελφοί μου; Epist. 133. Ταρασίῳ.

σμέ. Τί δηλοῖ τό· οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ.

σμς'. Περὶ διαφορᾶς εἰκόνων. (**)

σμζ'. Ποῖα δεῖ λέγειν ἐπὶ Χριστοῦ γνωμικὰ θελήματα, καὶ ποῖόν ἐστι λέγειν ἐπ' αὐτοῦ τοῦ Χριστοῦ ἀνθρώπινον θέλημα ὑποστατικόν· καὶ ἕτερα. *Separatim impressum ex Basnagio* supra pag. 13—25.

σμή. Πῶς (†) ἐκ ἔστιν ἐναυλίον τὸ λαβεῖν τὸ ὄνομα τοῦ Κυρίου καὶ Θεοῦ ἐπὶ μαλαίῳ, τῷ· ὁ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ἐπὶ ματαίῳ. Epist. 147. Θεοδότῳ.

σμθ'. Τί ἐστι πνεῦμα πύθωνος, ὃ οἱ πολλοὶ ἐγγαστρίμυθον ὀνομάζουσι. Epist. 151. Θεοδότῳ.

σν'. Τί δηλοῖ τὸ τοῦ ἀποστόλου ῥητόν· ἐφ' ᾧ πάντες ἥμαρτον. Epist. 152. Ταρασίῳ.

σνά. Τί σημαίνει τό· μὴ ἑτεροζυγεῖτε ἀπίστοις· καὶ τίς ἡ γραφὴ αὐτοῦ. Epist. 155. Ἰωάννῃ.

σνβ'. Τί σημαίνει τὸ ἐγκομβώσασθαι, παρὰ τῷ ἀποστόλῳ Πέτρῳ ἐν ταῖς καθολικαῖς ἐπιστολαῖς εἰρημένον. Epist. 156. Γεωργίῳ.

σνγ'. Διατί βοῶν καὶ λεόντων καὶ ἀετῶν καὶ ἀνθρώπων μορφαῖς αἱ τῶν Χερουβὶμ ὄψεις τοῖς προφήταις ἐδείκνυντο. Epist. 157. Εὐχήμονι.

σνδ'. Πῶς ἔστι λέγειν Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱὸν, Θεὸν τὸ Πνεῦμα· καὶ μὴ εἰς ἀνάγκην περίστασθαι τρεῖς ἀνθ' ἑνὸς Θεοὺς ὁμολογεῖν. Epist. 161. Σεργίῳ.

σνε. Εἰ μὲν ἦν ἄῤῥητον τὸ θεῖον ὄνομα, πῶς ἐπέκειτο θάνατος τῷ φθεγξαμένῳ ἡ ζημία. Epist. 163. (vti num. σοά.) Ἀμφιλοχίῳ.

σνς'. Τί ἐστιν· ὃ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι πολλάκις . . . . καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο. Epist. 164. Γεωργίῳ.

σνζ'.

(*) Conf. supra ρλή. (**) Conf. σλδ'. (†) Legamus: κωτέον τὸ λ. ... ἐν τῷ· ὃ λ.

σνζ'. Τί δηλοῖ, ἔτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ἑξῆς. Epist. 167. Παύλῳ.

σνή. Πρὸς τίνα λύσιν ἀναφέρεται ἡ τῦ Υἱῦ φωνὴ ἡ λέγουσα, ὁ Πατήρ μου μείζων μού ἐστι. Epist. 176. Σάββᾳ.

σνθ'. Πῶς ἐ μάχεται τὸ τῦ εὐαγγελίου ῥητὸν, τό· ἐν τῇ οἰκίᾳ τῦ Πατρός μου μοναὶ πολλαί εἰσιν, τῷ· ἐὰν πορευθῶ, ἑτοιμάσω ὑμῖν τόπον. Epist. 177. τῷ αὐτῷ.

σξ'. Διατί ὁ Πέτρος ἐν τῷ καιρῷ τοῦ πάθους τῦ δεσποτικῦ περιπίπτει ἀρνήσει. Epist. 178. Ἀμφιλοχίῳ.

σξά. Πῶς ἐκ ἔστιν ἐναντίον λέγειν, ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἐκ ἔστιν ἀληθής· τῦ, κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστιν. Epist. 180. Κωνσταντίνῳ.

σξβ'. Πῶς ἐκ ἔστιν ἐναντίον τῆς δεσποτικῆς φωνῆς τῆς λεγούσης, ὅπου ἐγὼ ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε· ἡ τῦ μαθητῦ· Κύριε, ἐκ οἴδαμεν πῦ ὑπάγεις, καὶ πῶς δυνάμεθα τὴν ὁδὸν γνῶναι; Epist. 181. Εὐλαμπίῳ.

σξγ'. Διατί μὴ πρὸ τῦ πεσεῖν τὸν Ἰωσὴφ εἰς ἀπορίας περὶ τῆς παρθένου ὁ ἄγγελος ἦλθε πρὸς αὐτόν. Epist. 182. τῷ αὐτῷ. (*)

σξδ'. Τί ἐστι, πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε πτωχοῖς, καὶ ποιήσατε ἑαυτοῖς βαλλάντια μὴ παλαιούμενα. Epist. 187. Χρυσοφόρῳ. (**)

σξέ. Τί δηλοῖ τὸ Ἐφφαθά, καὶ πόσα τέτε τὰ σημαινόμενα. Epist. 192. Γαλάτωνι. (***)

σξς'. Πῶς ἐκ ἔστιν ἐναντίον, ὀφθαλμὸν ἀντὶ ὀφθαλμῦ, καὶ ἔξῆς, τῷ, ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. Epist. 196. Κωνσταντίνῳ.

σξζ'. Διατί τὸν Ἄβελ δίκαιον ὄντα πρὸ τῦ ἐξημαρτηκότος Ἀδὰμ συνεχώρησεν ὁ Θεὸς εἰς θάνατον ἐλθεῖν. Epist. 203. Θεοδώρῳ. (†)

σξή. Εἰ ὁ Πατὴρ ἐν τῷ Υἱῷ καὶ ὁ Υἱὸς ἐν τῷ Πατρὶ, πῶς τῦ Υἱῦ ἐνανθρωπήσαντος ὁ συνανθρωπήσει καὶ ὁ Πατήρ· καὶ εἰ ἐν τῷ Υἱῷ ἡ θεότης ὅλη, πῶς τῦ Υἱῦ σαρκωθέντος ἄσαρκος ὁ Πατὴρ μένει.

σξθ'. Τί ἔστι τὸ παρὰ τῷ Λουκᾷ εἰρημένον ἐν ταῖς πράξεσι τῶν ἀποστόλων· γενομένης δὲ τῆς φωνῆς ταύτης συνῆλθε τὸ πλῆθος.

σό. Πόσα σημαινόμενά ἐστιν εὑρεῖν ἐν τῇ γραφῇ ἐπὶ τῆς Θεοῦ φωνῆς. Epist. 162. Ἀμφιλοχίῳ.

σοά. Εἰ μὲν ἦν ἄῤῥητον τὸ θεῖον ὄνομα, πῶς ἐπέκειτο θάνατος τῷ φθεγξαμένῳ ἡ ζημία. Epist. 163. Ἀμφιλοχίῳ. (††)

σοβ'. Πῶς ῥητόρων ἰδέαις αἱ τῦ ἀποστόλου ἐπιστολαὶ χηματίζονται, καὶ πῶς ἐκεῖνος ἰδιώτην αὐτὸν ἐκάλει. Epist. 165. Γεωργίῳ.

σογ'. Ζητήματα διάφορα τῦ ἀποστόλου διὰ κ'. καὶ ζ'. κεφαλαίων ἐπιλυόμενα.

σοδ'. Εἰ ἦν ἡ γῆ, πῶς ἐγένετο; λέγει γὰρ, ἡ δὲ γῆ ἦν.

σοέ. Εἰ τὸ φῶς ὁ Θεὸς ἐδημιούργησεν, ἐκ αὐτὸς τὸ σκότος ἐποίησεν· ἐναντία γὰρ ταῦτα ἀλλήλοις.

(*) Conf. supra κά. (**) Conf. σκζ'. (***) Conf. ρέ. (†) Vid. supra σνέ. (††) Conf. σκ,

ϙοϛ'. Διατί τὰ θηρία καὶ ἑρπετὰ πεποίηκεν ὁ Θεός.

ϙοζ'. Τῶ νόμῳ μήποτε θέντος, ὃς διαγορεύει τιμᾶν τὸν πατέρα καὶ τὴν μητέρα, πῶς ὁ Χὰμ ὡς πατραλοίας κρίνεται.

ϙοή. Τί δήποτε τῶ Χὰμ ἐπλανήτος ὁ ἐκείνε παῖς ἠράθη.

ϙοθ'. Πῶς Ἀβραὰμ πιστὸς ὀνομάζεται εἰρηκὼς τῷ Θεῷ· κατὰ τί γνώσομαι τοῦτο ὅτι κληρονομήσω αὐτήν;

ϙπ'. Τίνος ἕνεκεν παλαίει τῷ Ἰακὼβ ὁ ἄγγελος.

ϙπά. Τί δηλοῖ τὸ τὴν βάτον καίεσθαι καὶ μὴ κατακαίεσθαι.

ϙπβ'. Ἡ λέπρωσις τῆς χειρὸς τί δηλοῖ.

ϙπγ'. Διατί ἠβουλήθη ὁ ἄγγελος ἀνελεῖν τὸν Μωσῆν.

ϙπδ'. Πῶς νοητέον τὸ ὑπὸ τῆ ἀποσόλε εἰρημένον· πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσθησαν, καὶ ἑξῆς· ἡ δὲ πέτρα ἦν ὁ Χριστός.

ϙπέ. Πῶς τὸ δίκαιον σώζεται τῶν παίδων ὑπὲρ τῶν πατέρων κολαζομένων.

ϙπϛ'. Τί ἔστιν ἐξεικονισμένον βρέφος.

ϙπζ'. Διατί τὰς πλάκας συνέτριψεν.

ϙπή. Πῶς ἐν τοῖς ἱματίοις λέπρα ἐγένετο.

ϙπθ'. Τί σημαίνει τὰ δύο ὀρνίθια τὰ ὑπὲρ τῆ καθαριζομένε λεπρᾶ προσφερόμενα.

ϙϙ'. Διατί ἀπαγορεύει μὴ πόρρω τῆς σκηνῆς θύεσθαι τὰ ἐσθιόμενα θρέμματα.

ϙϙά. Διατί προσέταξεν ἀριθμηθῆναι τὸν λαὸν ὁ Θεός.

ϙϙβ'. Διατί προσέταξεν ὁ Θεὸς τὰ τῶν σασσαίων πυρεῖα τῷ θυσιαστηρίῳ γενέσθαι περίθεμα.

ϙϙγ'. Τί δήποτε ὠργίσθη τῷ Μωσεῖ καὶ τῷ Ἀαρὼν ὁ Θεὸς, ἡνίκα τὸ ὕδωρ ἐκ τῆς πέτρας ἐξήγαγεν.

ϙϙδ'. Διατί τὸν οὐρανὸν καὶ τὴν γῆν διαμαρτύρεσθαι προσετάχθη.

ϙϙε. Τί δήποτε διὰ σμικραν πλημμέλειαν πόρρωθεν ἰδεῖν προσετάχθη τὴν γῆν, εἰσαγαγεῖν δὲ τὸν λαὸν ἐκωλύθη.

ϙϙϛ'. Τί ἔστιν, ἓν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι.

ϙϙζ'. Τῶ ὁρισθέντος υἱῶ Θεῶ κ. ἑ. (*)

ϙϙή. Τί ἔστιν τὸ, καὶ ἐκωλύθην ἄχρι τῶ δεῦρο, ἵνα καρπὸν σχῶ. (**)

ϙϙθ'. Τί ἔστιν, δικαιοσύνη γὰρ Θεῶ ἐν αὐτῷ ἀποκαλύπτεται.

τ'. Παράδοτε αὐτὸν τῷ σατανᾷ, κ. ἑ.

τά. Κύριε, μὴ τῷ θυμῷ σε ἐλέγξης με.

τβ'. Ὅτι ἐταράχθη τὰ ὀστᾶ με.

τγ'. Κύριε ἐκέκραξα πρός σε, εἰσάκεσόν με.

τδ'. Φωνῇ με πρὸς Κύριον ἐκέκραξα, Φωνῇ με πρὸς τὸν Θεὸν ἐδεήθην.

τε'. Τίνας υἱὸς κέκληκεν Μωϋσῆς.

τϛ'. Διατί ἄλευρον κρίθινον ὑπὲρ τῆς ὑποπλευομένης μοιχευθῆναι προσεκαμίζετο.

τζ'. Διατί Φύγεσιν ἐπιτελέσαι προσέταξεν τὴν τῶ πάσχα ἑορτήν.

τή. Περὶ ὅρε ζωῆς. (***)

(*) Conf. ſuprà ρνή. (**) Conf. ονϛ'. (***) Conf. ργ'.

ΕΠΙΣΤΟ-

ΕΠΙΣΤΟΛΗ ΦΩΤΙΟΥ
ΠΡΟΣ
ΜΙΧΑΗΛ ΤΟΝ ΑΡΧΟΝΤΑ ΒΟΥΛΓΑΡΙΑΣ. (*)

Αἱ μὲν ἄλλαι χάριτες, περιφανέσατε καὶ ἠγαπημένε ἡμῶν υἱὲ, μικρὰς καὶ προσκαίρους, οἷς προσάγονται, τὰς ὠφελείας παρέχουσιν· ὅσαι δὲ πεφύκασι ψυχὴν βελτίονα ἀπεργάζεσθαι, πλάνης μὲν καθαίρουσαι, καὶ παθῶν, τὴν ἄγλην δὲ καὶ λαμπρότητα τῶν ἀρετῶν καὶ τῆς ἀληθείας διαυγάζουσαι, αὗται δὲ ἄρα χάριτές εἰσιν, ὡς ἀληθῶς, μεγάλα κέρδη καὶ ἀθάνατα ἀθανάτῳ καὶ θεοειδεῖ πράγματι χορηγοῦσαι τῇ ψυχῇ, καὶ τὸν ἄσυλον αὐτῇ καὶ ἀράνιον ἐμπορευόμεναι πλοῦτον. ὧν ἡ τιμιωτάτη καὶ τῶν ἄλλων πρωτεύουσα χάρις ἡ πρὸς τὸ θεῖόν ἐστιν ἀπλανὴς καὶ σωτήριος χειραγωγία. ἣν πρώτη καὶ μόνη χαρίζεται τῆς καθαρᾶς καὶ ἀμωμήτου πίστεως ἡμῶν, τῶν Χριστιανῶν, ἡ μάθησις καὶ μυσταγωγία.

Αὕτη γὰρ τῆς πολυμόρφου πλάνης τὸν ἄνθρωπον ἀπαλλάττουσα, καὶ τὰ τῆς καρδίας ὄμματα τῆς ἐκεῖθεν ἀχλύος ἀποκαθαίρουσα, καθαρᾷ ψυχῆς θεωρίᾳ τῷ καθαρωτάτῳ κάλλει τῆς λατρείας καθαρῶς ἐναλείφειν παρέχεται· δι' ἧς εἰς τὴν ὑπὲρ νοῦν οὐσίαν καὶ πάντων αἰτίαν καὶ δημιουργὸν ἀναγόμενοι, τὴν ἐνοειδῆ καὶ ὑπέρθεον τῆς Τριάδος θεότητα, καθ' ὅσον ἐστὶν ἀνθρώπῳ δυνατὸν, ἐνοπτριζόμεθα. Τῆς τηλικαύτης τοίνυν χάριτος καὶ δωρεᾶς τὴν ἔμφρονα σὲ ψυχὴν εὑρηκότες ἀξίαν, (ἐρᾶν γάρ σε ἀρετῆς καὶ εὐσεβείας πεπείσμεθα,) τῷ φιλουμένῳ δώρῳ καὶ μεγαλοπρεπεῖ δεξιούμεθα. ἐν ᾧ, τῆς ἀχράντου καὶ καθαρᾶς ἡμῶν πίστεως τὸ ἱερὸν καὶ θεόσοφον ἐντάξαντες μάθημα, τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους, οἱονεὶ χάρακάς τινας καὶ περιβόλους ὅσας τῷ θείῳ τούτῳ καὶ ὀρθοδόξῳ μαθήματος, σαφεῖ τε καὶ συντόμῳ λόγῳ συμπαρατιθέμεθα· ἐφ' ὅσα βίον ἰθύνει, καὶ μαρτυρεῖ τῆς πίστεως τὴν ὀρθότητα, παντελῶς ἀποσιγήσαντες. ὥσπερ γὰρ τὸ πάντα κατ' ἀρχὰς πειρᾶσθαι λέγειν, ἀπειρόκαλον· οὕτω καὶ τὸ μηδὲν εἰπεῖν, ἀφιλόκαλον.

Δεῖ δὲ τὰς ἀρετὰς τῇ πίστει παραπεπηγέναι, καὶ δι' ἀμφοῖν τὸν σπουδαῖον καταρτίζεσθαι. καὶ γὰρ δογμάτων μὲν εὐθύτης πολιτείας προβάλλεται κοσμιότητα· πράξεων δὲ καθαρότης τῆς πίστεως ἀπαγγέλλει θειότητα· ὧν ἑκάτερον χωρὶς τοῦ ἑτέρου ῥᾴον εἰσθεν ὑποβρεῖν καὶ παρασύρεσθαι, μὴ ἀνεχόμενον καταμόνας ψυχαῖς ἀνθρώπων ἐγκαλοινίζεσθαι. Ἀλλὰ περὶ μὲν τούτων καὶ ὕστερον. Νῦν δέ σοι τὸ ἱερὸν καὶ θεο-

χρηστον

(*) Pars prior agit de septem conciliis œcumenicis, posterior de officio principis.

χρῆσον τῆς ἱερᾶς ἡμῶν λατρείας ἀνατιθέμεθα μάθημα.

Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· Φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα· ὁμοούσιον τῷ Πατρί· δι' οὗ τὰ πάντα ἐγένετο· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρὸς· καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν· προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Οὕτω τοιγαροῦν φρονῶν καὶ πιστεύων, κατὰ τὴν παράδοσιν τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ὧν καλὸν ἄγαλμα τῶν ἐμῶν πόνων, τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους, τὰς μὲν ὡς διδασκάλους, τὰς δὲ ὡς προμάχους τῆς εὐσεβείας, ἀποδέχου καὶ περίπτυσσε. δι' αὐτῶν γὰρ πᾶσα καινοτομία καὶ αἵρεσις ἀπελαύνεται, τὸ δὲ τῆς ὀρθοδοξίας ἀκήρατον καὶ ἀρχαιοπαράδοτον φρόνημα ταῖς εὐσεβέντων ψυχαῖς εἰς ἀδιάκοπτον σεβασμιότητα καθιδρύνεται. ὧν ἀπάρχομαι τὴν ἀφήγησιν, καὶ τόπον, καὶ ἀριθμὸν τοῦ πλήθους, καὶ τοὺς ἀρχηγοὺς ἑκάστης, χάριν εὐμαθείας, ταῖς οἰκείαις συνυποτυπέμενος πράξεσιν.

Ἡ τοίνυν πρώτη καὶ οἰκουμενικὴ ἁγία σύνοδος ἐν τῇ κατὰ Βιθυνίαν Νικαίᾳ συνεκροτήθη· ἐπλῶ δὲ καὶ δέκα καὶ τριακόσιοι, θείων ἀρχιερέων ὑμήγυρις, τὴν τῆς ἀληθείας κρίσιν ἐνεχειρίζοντο. ὧν ἦσαν προέχοντες, Ἀλέξανδρός τε, ὁ τὸν Κωνσταντινουπόλεως ἀρχιερατικὸν θρόνον λαχὼν διευθύνειν· ἀνὴρ βαθείᾳ μὲν πολιᾷ, παραπλησίῳ δὲ φρονήματι σεμνυνόμενος, βίᾳ δὲ λαμπρότητι καὶ ὁσιότητι γνώμης καὶ πίστεως ἀκριβείᾳ τὴν εἰς τὸ θεῖον παῤῥησίαν πολλὴν οἰκειούμενος· καὶ δὴ καὶ Σίλβεστρος, καὶ Ἰούλιος, τῆς Ῥωμαϊκῆς ἐκκλησίας ἐπίσημοί τε καὶ διαβόητοι πρόεδροι· αὐτῶν μὲν ἑτέρους παραγεγονὼς, Βίτωνα δὲ καὶ Βικέντιον ἑκάτερος ἀνθ' ἑαυτοῦ, κατὰ τὸν οἰκεῖον τῆς ἀρχιερατείας χρόνον, τῇ κοινῇ παρεῖναι συνελεύσει προβαλλόμενοι, ἀνθρώπους ἀρετὴν τιμῶντας, καὶ εἰς τὸ τοῦ πρεσβυτερίου ἀξίωμα παραγγέλλοντας. οἷς καὶ ὁ Κορδούβης ἐπίσκοπος συνετέτακτο· ὃς κατὰ τὰς ἑλληνικὰς διωγμὰς τὴν κλῆσιν ἐπαληθεύουσαν ἔδειξεν· Ὅσιος γὰρ ὀνομα-

ὀνομαζόμενος, ἀβέβηλον αὐτῷ τὴν ὁμολογίαν (ἀπὸ) τῆς εἰδωλικῆς λατρείας διετήρησεν.

Ὁ μέντοι Ἀλεξανδρείας Ἀλέξανδρος αὐτός τε παρῆν, ἱεροῖς ἐνδιαπρέπων κατορθώμασιν· ἦγε δὲ συναγωνιστὴν ἑαυτῷ καὶ Ἀθανάσιον, ὃς τότε μὲν τῷ τάγματος τῶν διακόνων ἡγεῖτο, μετ' ὀλὺ δὲ καὶ τὸ ἀρχιερατικὸν θρόνῳ κατέσχε διάδοχος. ναὶ δὴ καὶ ὁ κλεινὸς Εὐσάθιος συμπαρῆν, τῆς Ἀντιοχέων ἐκκλησίας τὸ ἐγκαλλώπισμα, πίστεως μὲν ἐναργάπλων καθαρότητι, λόγων δὲ καὶ νοημάτων σωφροσύνῃ θαυμαζόμενος. μεθ' ὧν καὶ ὁ Ἱεροσολύμων Μακάριος, πολλαῖς ἰδέαις ἀρετῶν ἐνευθυνόμενος· ἄλλοι τε πλεῖστοι ἀποστολικοῖς χαρίσμασι καὶ μαρτυρικοῖς παθήμασι διαλάμποντες. ὧν Παφνούτιος, καὶ Σπυρίδιων, Ἰάκωβός τε καὶ Μάξιμος, ἀγαθῷ καὶ θαυμασίῳ συσήματος ἀγαθοὶ καὶ θαυμάσιοι πρωτοστάται ἐγνωρίζοντο. ἐφ' οἷς ἅπασιν καὶ ὁ μέγας καὶ ἀξιάγαστος Κωνσταντῖνος, τῆς Ῥωμαϊκῆς ἀρχῆς ἰθύνων τὰ σκῆπτρα, διέπρεπε, τήν τε σύνοδον ἀθροίζων, καὶ λαμπροτέραν τῇ παρουσίᾳ ἀπεργαζόμενος.

Ἀλλ' ἐκ τοσούτων μὲν καὶ τοιούτων ὁ ἱερὸς ἐκεῖνος συνίστατο σύλλογος, Ἀρείόν τινα νεωτεροποιὸν δυσσεβείας δίκας εἰσπρατλόμενος, καὶ τὸ ἀποστολικὸν καὶ θεῖον κρατύνοντες κήρυγμα. Ἦν δ' οὗτος ὁ δείλαιος ἔλκων μὲν τὸ γένος ἐκ τῆς Ἀλεξάνδρου· εἰς κλῆρον δὲ καταλεγεὶς τῆς ἐκεῖσε ἐκκλησίας, καὶ εἰς πρεσβυτέρου βαθμὸν ἀνελθών, πρότερον μὲν κατὰ τὸ ἰδίῳ ποιμένος ὑπερήφανον ἀνέλαβε φρόνημα, ἐκεῖθεν δὲ κατὰ τοῦ κοινοῦ ποιμένος καὶ Δεσπότου παρέτεινε τὴν ἀπόνοιαν· τὸν γὰρ Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ (ὦ τῆς τολμηρᾶς ἐκείνης καὶ γλώττης καὶ διανοίας) εἰς κτίσμα καὶ ποίημα κατεβίβαζεν, ἐδὲ τοῦτο συνιδεῖν ἐθέλων, κοινὸν ὑπάρχον πᾶσι καὶ αὐτοδίδακτον ὁμολόγημα, ὡς ἅπας υἱὸς τῆς αὐτῆς ἐστι τῷ γεγεννηκότι οὐσίας καὶ φύσεως, καὶ ὁ τὸν Υἱὸν τάττων ἐν κτίσμασι καὶ τὸν Πατέρα κτίσμα προαναγορεύσειν, ὥσπερ ὁ τὸν Πατέρα δημιουργικῆς οὐσίας καὶ ἀϊδίου φύσεως εἶδος τῆς αὐτῆς εἶναι καὶ τὸν Υἱὸν συναναμολογήσειεν. Πῶ δ' ἂν εἴη τὸ γνήσιον τῆς υἱότητος, ἄλλης μὲν οὐσίας τοῦ Πατρὸς, ἑτέρας δὲ τοῦ Υἱοῦ χρηματίζοντος; Πῶς δ' ὁ τῆς Ἑλληνικῆς πλάνης ἀνακύψει τὸ πολύθεον, εἰς ἐλάττω καὶ μείζω οὐσίαν τεμνομένης τῆς θεότητος, καὶ τῆς μὲν εἰς πρῶτον καὶ δημιουργὸν καὶ πρεσβύτερον Θεὸν ἀφοριζομένης, τῆς δὲ εἰς δεύτερον Θεὸν διακρινομένης καὶ ὑπουργὸν καὶ νεώτερον; ταῦτα γὰρ τῆς τοῦ Ἀρείου πονηρᾶς σπορᾶς τὰ γενήματα. Ἀλλὰ τοῦτον μὲν, ὡς χείλη βλάσφημα κατὰ τοῦ πεποιηκότος ὁπλισάμενον, τῆς ἱερωσύνης ὁ ἱερὸς ἀπεγύμνωσεν ὅμιλος· τὴν δὲ δυσσεβεστάτην καὶ θεομάχον αὐτοῦ αἵρεσιν τῷ ἀναθέματι καθυπέβαλεν· ὁμοούσιον δὲ, καὶ ὁμοφυῆ, καὶ συναΐδιον τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ τῷ γεγεννηκότι Πατρὶ, καὶ τῆς αὐτῆς ἐξουσίας καὶ κυριότητος, ὡς οἱ θεῖοι χρησμοὶ καὶ τῶν εὐσεβούντων τὰ κοινὰ δόγματα, ἱερολογήσαντες διετράνωσαν· καλῶς εἰδότες, ὅτι ὥσπερ τὸ εἰς ἓν συγκλείειν πρόσωπον τὴν τριαδικὴν μοναρχίαν καὶ κυριότητα, Ἰουδαϊκόν

κόν ἐστι καὶ μισόχριστον, ἕτω καὶ τὸ καταλέμνειν εἰς ἀνίσους φύσεις καὶ ἀνομοίους ἐσίας τὴν ὑπερέσιον καὶ ὑπερφυῆ καὶ ἐνιαίαν θεότητα, Ἑλληνικὸν ὑπάρχει καὶ πολύθεον. Ἀλλ' ἐν τέτοις μὲν ἡ ἁγία καὶ οἰκεμενικὴ πρώτη σύνοδος.

Ἡ δὲ ἁγία καὶ οἰκεμενικὴ δευτέρα σύνοδος τῶν μὲν ἱερῶν φροντισμάτων τὴν βασιλίδα πόλιν ἱερὸν ἐδείκνυ φροντιστήριον· εἰς πεντήκοντα δὲ καὶ ἑκατὸν ἄνδρας ἱερεῖς συνηγείρετο· ἐξάρχες ἔχεσα Τιμόθεόν τε τὸν Ἀλεξανδρείας, καὶ τὸν ἀξιοθαύμαστον τῆς Ἀντιοχείας Μελέτιον, Κύριλλόν τε τῶν Ἱεροσολύμων, τὲς ἱεραρχικὲς θρόνες ἰθύνοντας· καὶ δὴ καὶ Νεκτάριον, ὃς ἄρτι τῆς τῶν κατηχεμένων ἀγέλης ἀφοριθεὶς, καὶ τῷ θείῳ λετρῷ τὸν τῦ βίε ῥύπον ἀποπλυνάμενος, καθαρὸς ἤδη, τὸ καθαρώταλον τῆς ἱεραρχίας ἀξίωμα περιβάλλεται, ψήφῳ μὲν κοινῇ τῆς συνόδε, χειροθεσίᾳ δὲ τῶν προκρίτων· καὶ ἅμα τε τῆς βασιλευέσης ἐπίσκοπος, καὶ τῆς συνόδε ἐχρημάτιζεν ἔξαρχος. μεθ' ὧν οἱ Γρηγόριοι, ὅ, τε τῆς ἐν Καππαδοκίᾳ Νύσσης ἐπίσκοπος, καὶ ὁ τῆς θεολογίας ἐξ ἔργων ἐπώνυμος· οἷς, ὁ πολὺς χρόνος, καὶ Δάμασος, ὁ τῆς Ῥώμης, τὰ αὐτὰ κρατύνων ἐγνωρίζετο, σύμφωνος τοῖς προλαβῦσι καθιζάμενος.

Οὗτος δὴ οὖν ὁ ἱεροφάντης χορὸς Μακεδόνιόν τινα, τὸν Κωνσταντινοπόλεως θρόνον ἅρπαγμα πάλαι ποιησάμενον, ὅτι τὸ πανάγιον καὶ ζωαρχικὸν ἐδυσφήμει Πνεῦμα, εὐθύνας ἐδικαίου δῶναι. ὡς γὰρ Ἄρειος κατὰ τῦ Υἱῦ, ἕτω καὶ αὐτὸς κατὰ τῦ παναγίε παρελατόμενος Πνεύματος, εἰς δῆλες καὶ ὑπηρέτας τὴν δεσποτικὴν καὶ ὑπερκειμένην αὐτῦ συνέταξε κυριότητα. Καίτοι ῥᾴον ἦν, εἴπερ ἐβούλετο, τῷ ἀθλίῳ, συνορᾶν, ὅτι, καθάπερ οἱ τὸν Υἱὸν εἰς κτίσμα τάττοντες τὴν ὕβριν εἰδὲν ἧττον προσάπτεσι τῷ Παλρὶ, οὕτω καὶ οἱ τὸ πανάγιον αὐτῦ Πνεῦμα τοῖς ποιήμασιν ἐναριθμῦντες, τὴν ἴσην καὶ ὁμοίαν βλασφημίαν ἀφίασι κατ' αὐτῦ. Εἰ γὰρ τὸ Πνεῦμα κτίσμα, κἀκεῖνος, ἢ τὸ πνεῦμα, μετὰ τῶν κτισμάτων. Εἰ δὲ καὶ ἀκοαῖς ἀφόρητον ἡ τῆς ἀθεότητος ταύτης ὑπερβολὴ, πῶς οὐ συνῆκεν ὁ ταλαίπωρος ἐκεῖνο φεύγειν, δι' ἃ πρὸς τέτες ἀνάγκη πεσεῖν τὲς θεομάχους λογισμές; Ἀθετεῖς τὸ Πνεῦμα εἶναι Θεόν; πῶς ἐρευνᾷ τὰ βάθη τῦ Θεῦ, κρύφιον ἀπ' αὐτοῦ; πῶς ἐστιν ἄλλος παράκλητος; πῶς συντάττεται Παλρὶ καὶ Υἱῷ; Πορευθέντες γὰρ, αὐτός φησιν ὁ Υἱὸς, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτὲς εἰς τὸ ὄνομα τῦ Πατρὸς καὶ τῦ Υἱῦ καὶ τῦ ἁγίε Πνεύματος. Εἰ ἕν τι τῶν τριῶν κτίσμα, ἐν οἷς φωτιζόμεθα, ἀδὲ τὰ λοιπὰ καθαρεύσει τῆς ὕβρεως. ἀλλ' εἰ κτίσμα, πῶς κτίζει; πῶς ἁγιάζει; πῶς ζωοποιεῖ; πῶς διαιρεῖ χαρίσματα; πῶς δὲ Θεός; Ἀλλὰ τέτων ἀδὲν ἐκεῖνος ὁ φρενοβλαβὴς ἐπὶ νῶν βαλλόμενος, τῆς μοναρχικῆς αὐτὸ καὶ μιᾶς ἀδιαιρέτε θεότητος διασπᾶν τὸ Πνεῦμα ἐτόλμα καὶ ἀπεθρασύνετο. διὸ καὶ τῆς ἀσεβείας ἐπάξια εἴληφε τὰ ἐπιχείρια, αὐτός τε ἀφαιρέσει τῆς ἱερωσύνης ζημιωθεὶς, καὶ πάντες, ὅσοι τῆς αὐτῦ θεομαχίας τὸ ἀνίατον παρεζήλωσαν. καὶ ὡς ἐκεῖ-

νος

νος τὸ παναγιον Πνεῦμα τῆς τριαδικῆς μιᾶς Θεότητός τε καὶ κυριότητος ἀλλοτριῶν ἐφρυάττετο, ἕτως αὐτὸν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος καὶ τῆς ἱερωσύνης καὶ τῆς τῶν πιστῶν μερίδος καὶ συναυλίας οἷα δεύτερον ἠλλοτρίωσεν Ἄρειον. Τὸ δὲ παναγιον καὶ ζωαρχικὸν Πνεῦμα, ἅτε δὴ ὁμοφυὲς καὶ ὁμοούσιον, ἰσοσθενές τε καὶ παντοδύναμον, τῷ Πατρὶ καὶ τῷ Υἱῷ συμπροσκυνεῖσθαι καὶ συνδοξολογεῖσθαι, κατὰ τὰς πατρικάς τε καὶ θεολογικὰς φωνὰς, ἀνεκήρυξαν· ἐκθερίσαντες τέλεον καὶ εἴ τι τῆς Ἀρειανῆς σπορᾶς ζιζάνιον ὑπεφύετο. Τηνικαῦτα δὲ τὰς τῆς βασιλείας ἡνίας ὁ μέγας ὡς ἀληθῶς καὶ μεγάλης εὐφημίας ἄξιος περιεζώννυτο Θεοδόσιος, πρόμαχος καὶ αὐτὸς τῆς εὐσεβείας γνωριζόμενος. Ἀλλ' ἐν τέτοις μὲν καὶ αὕτη ἡ ἁγία σύνοδος.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ τρίτη σύνοδος ἐν μὲν τῇ κατὰ τὴν Ἀσίαν Ἐφέσῳ συνεκροτήθη· εἰς διακοσίας δὲ ἐπληθύνετο. Ἐν οἷς ἡγεμένες ἐγνωρίζοντο, Κύριλλός τε ὁ ἐν πατράσι περικύμος, ὃς, δι' ἀρετὴν καὶ σοφίας πλῆτον τῆς Ἀλεξάνδρου μεγαλοπόλεως ἰθύνων τὸν θρόνον, καὶ τῇ Ῥώμης Κελεστίνῳ τὴν καθεδραν ἀνεπλήρου καὶ τὸ πρόσωπον· (μεθ' ὧν καὶ Μέμνων, ὁ τῆς Ἐφεσίων ἐκκλησίας ἐμπεπιστευμένος τὰς οἴακας·) καὶ δὴ καὶ ὁ τῶν Ἱεροσολύμων, Ἰουβεναλιος. Οἵτινες σὺν παντὶ τῷ τῆς συνόδου πληρώματι, τὸν δυσσεβῆ Νεστόριον, ὧν ἠσέβει, δικας εἰσεπράττοντο. ὃς ἐκ τῆς Ἀντιόχου, τῆς πρὸς τῷ Ὀρόντῃ, ὁρμώμενος, τὸν Κωνσταντινουπόλεως θρόνον ἐκ εὐαγῶς ἐγκεχείριτο. ἀλλ' ὅγε ταλαίπωρος οὗτος, ἐκ τῶν Διοδώρου καὶ Θεοδώρου θολερῶν τῆς ἀσεβείας ἐκροφήσας νασμάτων, καὶ εἰς φρενῶν μέθην ἐμπεσὼν, ἀπηχεῖς καὶ ἐκτόπους φωνὰς, ἐπὶ λύμῃ τῆ ποιμνίου, πολλῶν ἀκοὰς ἐναπηρεύξατο. Χριστὸν γὰρ, τὸν ἴδια Θεοῦ υἱὸν, τὸν ἀληθινὸν Θεὸν ἡμῶν, ὃς δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκὸς ἡμῖν παραπλησίως κοινωνήσας καὶ αἵματος, καὶ εἰς ἑαυτὸν τὸ ἡμέτερον ὑποστησάμενος φύραμα, εἷς ἐκ δύο ἐχρημάτισε τῶν ἐναντίων, Θεὸς ὁ αὐτὸς ὑπάρχων καὶ ἄνθρωπος, εἷς Χριστὸς, εἷς Υἱὸς, ὁ αὐτὸς ἄνω ἐκ Πατρὸς ἀμήτωρ, καὶ κάτω ἐκ μητρὸς ἀπάτωρ, ὁ αὐτὸς καὶ ἐκ ἄλλος, ἓν πρόσωπον, μία ὑπόστασις· Τοῦτον δὴ τὸν ἕνα, Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, εἰς δύο τέμνειν καὶ διαιρεῖν ὑποστάσεις ὁ τρισάθλιος ἐκεῖνος ἐπεφρικὼς, τὸν μὲν ψιλὸν ἄνθρωπον, καὶ χωρὶς τοῦ προσλαβόντος Λόγου, κατ' ἰδίαν ὑπόστασιν, ἔπλατε, τὸν δὲ Θεὸν ἀνὰ μέρος, καὶ γυμνὸν τῆ προσλήμματος· ὥσπερ δεδοικὼς ὁ ἀπαθὴς, μή τι θεοῖς πάθοι, τὸ οἰκεῖον πλάσμα δι' ἄφατον φιλανθρωπίαν εἰς θεραπείαν καὶ ἀνάπλασιν ὑποδυόμενος. ἐδὲ τοῦτο συνιδὼν, ὡς εἷς τὴν ἀνθρωπίνην φύσιν τῆς τοῦ Λόγου ἐδίχαζεν ὑποστάσεως, ἀνίλεον αὐτὴν καὶ ἀθεράπευτον ἀνεκήρυττε, καὶ τῆς ἰδίας ἔξαρνος σωτηρίας ἐγίγνετο. Ἀλλὰ γὰρ τὲς λογισμὲς ὅλως ἐκ τέτων διεσραφεὶς, ἐδὲ τὴν αὐτοῦ κατὰ σάρκα μητέρα, τὴν παναγίαν παρθένον, τὴν κυρίως καὶ ἀληθῶς τὸν Θεὸν Λόγον σεσαρκωμένον τεκοῦσαν, ἐδὲ ταύτην καλεῖν Θεοτόκον ἠνέχετο· ἀλλ'

ὥσπερ

ὥσπερ τὸν Υἱὸν ἀπεξέρει τῆς Θεότητος, οὕτως ἠλοτρίᾳ καὶ τὴν γεννησαμένην τῆς Θεοτόκου κλήσεως.

Δι' ὃ τοῦτον, ἀξίως τῆς τηλικαύτης ἀπονοίας καὶ τῆς βλασφήμου γλώσσης, τῶν μακαρίων πατρῶν ὁ σύλλογος πάσης τε ἱερωσύνης ἐγύμνωσε, καὶ σὺν τῷ οἰκείῳ καὶ βδελυρωτάτῳ φρονήματι τῷ αἰφνιδίῳ παρέπεμψαν ἀναθέματι. τὸν δὲ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν μιᾷ καὶ τῇ αὐτῇ ὑποστάσει παλιρροπαραδότως καὶ ὁσιοπρεπῶς προσκυνεῖσθαι καὶ κηρύττεσθαι δογματίσαντες, ἀκολούθως καὶ τὴν παναχραντον αὐτοῦ καὶ ἀειπαρθένον μητέρα κυρίως καὶ ἀληθῶς καλεῖσθαι καὶ ἀνευφημεῖσθαι Θεοτόκον παραδεδώκασιν. οἷς γὰρ τὸν Θεὸν Λόγον, σαρκὶ γεννηθῆναι καταδεξάμενον, τέτοκεν, Θεοτόκος ἐνδίκως δοξολογεῖσθαι καὶ ὀνομάζεσθαι ἐξωσίωται. Ἀλλ' ἐπὶ τούτοις μὲν καὶ αὖτη τὸ τέλος ἔσχηκεν, ἡνίκα τὸν νέον Θεοδόσιον ἡ Ῥωμαϊκὴ πολιτεία γαληνοῖς ἑώρα ὀφθαλμοῖς τὴν παλιρροιαν καὶ βασίλειον ἀρχὴν ἐκ τριγωνίας διανύοντα.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ τετάρτη σύνοδος, τὸν ἐν βασιλεῦσιν εὐσεβέστατον Μαρκιανὸν συμπαρόντα καὶ συμπνέοντα ἔχουσα, τῶν ἀληθινῶν μὲν δογμάτων ἀκροατήριον ἀνέδειξε τὴν Χαλκηδόνα, πόλιν Βιθυνίας οὖσαν ἐπίσημον. ἐν τριακόντα δὲ καὶ ἑξακοσίοις τὸν ἀριθμὸν ἐξετείνετο. ἧς λογάδες ἐχρημάτιζον Ἀνατόλιός τε ὁ τῆς βασιλίδος πόλεως τὰς ἱεραρχικὰς θεσμὰς ἐγκεχρισμένος· καὶ δὴ Παχασινός τε καὶ Λεκίνσιος, ἐπισκοπικῷ διαπρέποντες ἀξιώματι, σὺν Βονιφατίῳ πρεσβυτέρῳ, τὸν τόπον ἐπέχοντες Λέοντος τοῦ ἁγιωτάτου παπᾶ Ῥώμης· οὗ κλέος μέγα, καὶ πολὺς ὁ ὑπὲρ τῆς εὐσεβείας ζῆλος. μεθ' ὧν Μάξιμός τε ὁ Ἀντιοχείας, καὶ ὁ Ἱεροσολύμων Ἰουβενάλιος. Οἵτινες Εὐτυχῆ τε τὸν δυσλυχῆ, καὶ τὸν προασπιστὴν αὐτοῦ τὸν ἀλαζόνα Διόσκορον, δυσσεβημάτων εἰσπράξεις ἀπήτησαν. καὶ γὰρ καὶ οὗτοι, τὴν ἐκ διαμέτρου Νεστορίῳ πλάνην οἰκειωσάμενοι, εἰς τὴν ὁμοίαν ἐκείνῳ ἐξέπεσον ἀθλιότητα. Τὸν γὰρ ἕνα Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐκ Θεότητος καὶ ἀνθρωπότητος γνωριζόμενον, καὶ ἐν ταύταις ταῖς δυσὶ προσκυνούμενον Φύσεσιν, εἰς μίαν Φύσιν τολμηρῶς καὶ ἀφρόνως ἀνεκίρνων καὶ συνέχεον. ἐξ ὧν, τῆς τε πατρικῆς οὐσίας ἑτερόφυλον, καὶ τοῖς ἀνθρώποις ἑτερόφυᾶ, οὐ συνίεσαν οἱ δείλαιοι συμπεραίνοντες. Εἰ γὰρ μία ἡ τοῦ Χριστοῦ Φύσις, ἦ Θεία πάντως ἢ ἀνθρωπίνη ἔσαι. ἀλλ' εἰ μὲν μόνη Θεία, πῶ τὸ ἀνθρώπινον; εἰ δὲ μόνη ἀνθρωπίνη, πῶς οὐκ ἔξαρνοι τῆς Θεότητος; εἰ δ' ἕτερόν τι παρὰ ταῦτα, (τοῦτο γὰρ ὑπολείπεται, καὶ πρὸς τοῦτο μᾶλλον αὐτῶν νεύει τὸ φρόνημα,) πῶς οὐχ ἑτεροφυὴς αὐτοῖς ὁ Χριστὸς καὶ τοῦ Πατρὸς καὶ ἡμῶν ἀναπλασθήσεται; οὗ τί ἂν δυσσεβέστερον ἢ ἀφρονέστερον; ἄνθρωπον γενέσθαι φάσκειν τὸν τοῦ Θεοῦ Λόγον καὶ Θεὸν, ἐπί τε Φθορᾷ τῆς ἰδίας Θεότητος, καὶ ἐπὶ ἀναιρέσει τῆς προσληφθείσης ἀνθρωπότητος; τοῦτο γὰρ ἔπεται πάντως τοῖς μηδελέρας Φύσεως, ἀλλ' ἑτέρας παρὰ ταύτας, τὸν Χριστὸν εἰπεῖν ἐκτολμήσασι.

Διὸ

Διὸ καὶ τῆς τοσαύτης δυσσεβείας οἱ τῶν χριτομάχων τέτων δογμάτων εἰσηγηταὶ ἀξίαν τὴν δίκην δεδωκότες, ἀφηρέθησάν τε τῆς ἱερωσύνης, καὶ ἀπὸ πάσης τῆς ἐκκλησίας γεγόνασιν ἀνάθεμα· συναπελαθείσης αὐτοῖς καὶ τῆς χριτομάχε αἱρέσεως. τὸ δὲ ὀρθὸν καὶ ἀπαράτρεπτον τῆς ὀρθοδοξίας φρόνημα ἔτι μᾶλλον ταῖς γραφικαῖς τε καὶ πατρικαῖς μαρτυρίαις ἀνεκηρύχθη καὶ διέλαμψεν· Ἕνα τὸν Χριτὸν, ἤτοι μίαν αὐτῦ τὴν ὑπότασιν, καὶ δύο τὰς Φύσεις, θεότητά τε καὶ ἀνθρωπότητα, ἀσυγχύτως καὶ ἀδιαιρέτως ἐνθεωρεμένας, τῶν τρισμακαρίτων ἀρχιερέων περιφανῶς θεολογησάντων, καὶ παραδεδωκότων ἀδιτάκλως ὁμολογεῖν καὶ κηρύττειν εἰς πάντα τῆς οἰκεμένης τὰ πέρατα. Δῆλον δὲ κἀντεῦθεν, ὡς δι' ὧν μὲν χωλοῖς αἱ βάσεις ὠρθῦντο, καὶ τυφλοῖς τὸ πάθος εἰς ὀμμάτων βλάτην ὑπεφύετο, νεκροί τε τῶν πυλῶν ἀιεσπᾶντο τῦ ἅδε, καὶ πρὸς τὸ ζῆν μετετάτλοντο, αἵ τε ἄλλαι θεοσημείαι, ἃς οὐ ῥᾴδιον ἀριθμεῖν, ἐπετελῦντο καὶ ἐπεδείκνυντο, τῆς θείας Φύσεως ἐναργῶς παρεδηλῦτο τὸ ἀξίωμα· δι' ὧν δὲ κόπες καὶ πόνες, καὶ δίψαν καὶ πεῖναν, καὶ πενίαν, καὶ τὰ τέτοις ὑφίταλο συγγενῆ καὶ παραπλήτια, τῆς ἀνθρωπίνης ἐτίας ἐτρανῦτο τὸ ἰδίωμα. ὧν τὰ μὲν θεοπρεπῶς, τὰ δὲ ἀνθρωποπρεπῶς, ὁ αὐτὸς Χριτὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ἐπιτελέτας καὶ διαπραξάμενος, μίαν μὲν αὐτῦ καὶ ἐνιαίαν τὴν ὑπότασιν, δύο δὲ καὶ διαφερόσας τὰς Φύσεις, ἐν ἀσυγχύτῳ ἑνώσει, σαφῶς τε καὶ ἀναντιῤῥήτῳ λόγῳ παρέτησε καὶ ἐπιτώσατο. Ἀλλ' ἐν τέτοις καὶ τὰ τῆς τελάρτης συνόδε.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ πέμπτη σύνοδος, τέμενος μὲν ἱερὸν αὐτῇ ἡ Κωνταντίνε μεγαλόπολις ἀφιέρωτο, πέντε δὲ καὶ ἑξήκοντα καὶ ἑκατὸν θεοφόρων πατέρων παρεσίᾳ καὶ συνδρομῇ ἐκρατύνετο. ὧν ἡγοῦντο καὶ προέλαμπον, Μηνᾶς μὲν τὴν ἀρχὴν, εἶτα δὲ καὶ Εὐτύχιος, τῆς αὐτῆς Βατιλίδος, ἐκ διαδοχῆς, τοὺς ἀρχιερατικοὺς πηδαλιεχήταντες οἴακας· καὶ Βιγίλιος ὁ τῆς Ῥώμης τὴν ἱεραὶν λαχὼν ἐφορίαν, παρὼν μὲν τῇ πόλει, οὐ παρὼν δὲ τῇ συνόδῳ· ὃς εἰ καὶ μὴ πρόθυμος εἰς τὴν συνδρομὴν τῆς ἱερᾶς ὁμηγύρεως κατέτη, ἀλλ' οὐδὲν ἔλαττον ὅμως τὴν κοινὴν τῶν πατέρων πίτιν ἐπεκύρε λιβέλλῳ. Σὺν οἷς Ἀπολινάριός τε ὁ Ἀλεξανδρείας, καὶ Δόμνος ὁ Ἀντιοχείας, τῷ ἀρχιερατικῷ ἀξιώματι κεκοσμημένοι· καὶ δὴ καὶ Δίδυμος καὶ Εὐάγριος, Εὐτοχίε τῦ Ἱεροτολύμων ἀρχιερέως τὸν τόπον ἀναπληροῦντες. τηνικαῦτα δὲ καὶ Ἰετινιανὸς, ὁ κράτιτος ἐν βατιλεῦτι, τῆς Ῥωμαϊκῆς ἀρχῆς τὰς φροντίδας ἐχείριζεν, καὶ τῷ ἐκκλητιατικῷ συνεφώνει φρονήματι. Αὕτη τοιγαρῦν ἡ ἁγία καὶ οἰκεμενικὴ σύνοδος Νετορίε πάλιν τὰ μιαρὰ παραφυόμενα δόγματα εἰς τὸ παντελὲς ἐξεθέριτεν, ἅμα αὐτῷ ἐκείνων τῷ τπορεῖ τῶν ζιζανίων. μεθ' ὃν, Θεόδωρον καὶ Διόδωρον· ὧν ὁ μὲν Ταρτῦ πόλεως, ὁ δὲ Μοψυετίας ἐπεκόπητεν·

πησεν· οἱ, Νεστορίῳ πρότεροι, τὴν τοιαύτην ὠδίνοντες αἵρεσιν, καὶ ἔγγραφα ἀπολελοίπασι τῆς νόθου διανοίας τὰ νόθα καὶ ἔκφυλα κυήματα. Ἔτι δὲ κατεδίκασε καὶ ἀνεθεμάτισεν Ὠριγένην, Δίδυμον, Εὐάγριον, παλαιὰ τῶν πιστῶν ἀρρωστήματα, ἄνδρας τὴν ἑλληνικὴν μυθολογίαν ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ παρεισενεγκεῖν φιλονεικήσαντας. Προϋπάρχειν τε γὰρ οὗτοι τὰς ψυχὰς τῶν σωμάτων ἐληρῴδησαν, καὶ πολλὰ σώματα τὴν αὐτὴν μετενδύεσθαι· δόγμα μιαρὸν καὶ κατάπτυστον, καὶ μόνων, ὡς ἀληθῶς, ἐκείνων τῶν ψυχῶν ἄξιον. Καὶ τέλος δὲ τῆς ἀτελευτήτου κολάσεως ἐψηφίζοντο. ἄλλη τοῦτο παράκλησις πρὸς ἁμαρτίαν πᾶσαν καὶ ἀπώλειαν. Καὶ τοῖς πονηροῖς δαίμοσι τὸ ἀρχαῖον ἀξίωμα ἐχαρίζοντο, ἐπαναδρομὴν αὐτοῖς εἰς τὴν ἄνωθεν δόξαν, ἐξ ἧς ἐξέπεσον, ἀναπλάττοντες. Ἔτι δὲ ἐδέ τὰ σώματα ταῖς ψυχαῖς ἐβέλοντο συναναίσασθαι· γυμνὰς δὲ αὐτὰς σωμάτων ἀνιεῶσιν· εὐκ οἶδ' ὅ, τι καὶ καλοῦντες ἀνάστασιν, εἴπερ τοῦ πεπτωκότος καὶ θανόντος ἡ ἀνάστασις, ἐχὶ δὲ τοῦ ἀεὶ ἕστῶτος καὶ ἐν ἀφθαρσίᾳ διαμένοντος, οἷόν πέρ ἐστιν ἡ ψυχή· ἐδὲ τοῦτο δυσωπηθέντες οἱ ἄθλιοι, ἠλίκον οἷον ἀδίκημα, δι' ὃν λήρουσι, τῷ δικαίῳ Κριτῇ κατηγοροῦσι. πῶς γὰρ ἂν ἑκάστην ἀδικίαν αὐτοῦ καταμαρτυρῆσι, τὰ μὲν συναθλήσαντα σώματα ταῖς ψυχαῖς τοῖς κατ' ἀρετὴν πόνοις, τῶν κοινῶν ἐπάθλων ἀποστερεῖν αὐτὸν βλασφημοῦντες· τὰ δ' αὖ πάλιν συνεξαμαρτῶντα, τῆς κοινῆς αὐτίας καὶ πράξεως ἀνεπιτίμητα καταλιμπάνειν, μόνας δὲ τὰς ψυχὰς, χωρὶς τῶν συνδιαπραξαμένων σωμάτων, ἢ διπλὴν εἰσπράττειν τιμωρίαν, ἢ διπλῆς ἀξιοῦν μισθαποδοσίας.

Οὐ μόνον δὲ τὰ τοιαῦτα τῶν δυσφημιῶν ὁ ἱερὸς ἦτος τῶν πατέρων χορὸς ἀπεκήρυξεν, ἀλλὰ καὶ πρός γε τούτοις (οὐ πολλῷ ἔμπροσθεν χρόνῳ) καθεῖλε καὶ ἀνεθεμάτισεν Ἀνθιμόν τε τὸν Τραπεζέντιον, τὸ Εὐτυχοῦς ὑποθάλπουσα φρόνημα, καὶ Σεβῆρον, Πέτρον τε τὸν Ἀπαμείας, καὶ Ζωρᾶν, καὶ πᾶσαν τὴν πονηρὰν ἐκείνην καὶ πολυκέφαλον διασπορὰν καὶ συμμορίαν. Ἀγαπητῷ μὲν μάλιστα, τῷ Ῥώμης, τῆς εὐαγοῦς προκατάρξαντος πράξεως· συμψήφων δὲ καὶ συνεργῶν ἀναφανέντων τῶν περιωνύμων ἀρχιερέων· ὧν ὁ μὲν, ὁ κλεινὸς Εὐφραίμιος, τῆς Ἀντιόχου, τῶν Ἱεροσολύμων δὲ Πέτρος ὁ ἱερὸς ἐπετρόπευεν. Τούτους ἓν ἅπαντας τὸ θεῖον τῶν ἀρχιερέων συνάθροισμα ἐκκηρύξαντές τε καὶ ἀποβαλόμενοι, τὰ ἀπλανῆ καὶ θεῖα τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἐκρατυναν τε καὶ ἐπεκύρωσαν δόγματα. Καὶ τὰ μὲν τῆς οἰκουμενικῆς πέμπτης συνόδου ἐν τούτοις.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος, ἐν τῇ βασιλίδι μὲν τῶν πόλεων καὶ αὐτὴ τῶν μυστικῶν τῆς ἀληθείας θεαμάτων τὸ ἱερὸν ἐπήγνυτο θέατρον· ἑβδομήκοντα δὲ καὶ ἑκατὸν θεοφόροις ἀνδράσι τὸν ἀγῶνα ὑποδυομένη, λαμπρῶς νικῶσαν ἀπεδείκνυ τὴν εὐσέβειαν. ταύτης ἀρχηγοὶ καὶ τῶν ἄλλων προνομεύειν

μεύειν ἐκρίνοντο ἄξιοι, Γεώργιός τε, ὧ τῆς Βασιλίδος πόλεως ὁ ἀρχιερατικὸς θεσμὸς ὑπῆρχεν ἐγκεχειρισμένος, καὶ Θεόδωρος καὶ Γεώργιος, ἐν πρεσβυτέρων ἀξιώματι κατειλεγμένοι, ἅμα διακόνῳ Ἰωάννῃ, οἳ ἀντὶ Ἀγαθωνος, τῦ ἁγιωτάτυ πάπα Ῥώμης, εἰς τὴν τῶν ἐξάρχων τάξιν ἠριθμῆντο· καὶ τῦ τῆς Ἀλεξάνδρυ δὲ μεγαλοπόλεως θρόνυ Πέτρος μοναχὸς τὸν τόπον ἀνεπλήρυ· μεθ' ὧν καὶ Γεώργιος μοναχὸς καὶ πρεσβύτερος, εἰς τὸν βαθμὸν τῆς ἀρχιερατικῆς τῶν Ἱεροσολύμων παρηγγέλη καθέδρας. Οὗτοι δὲ, σὺν τοῖς ἄλλοις ἱερεῦσι καὶ ἁγίοις πατράσι, Σέργιον, Πύῤῥον, Παῦλον, Κωνσταντινοπόλεως κατάρξαντας, καὶ Ὀνώριον Ῥώμης, Κῦρόν τε Ἀλεξανδρείας, καὶ Θεόδωρον τὸν τῆς Φαρὰν, τὴν ἀληλόπλοκον τῦ ψεύδυς σειρὰν, διαῤῥήξαντες· ἐ μὴν ἀλλὰ καὶ Μακάριον Ἀντιοχείας, ἅμα Στεφάνῳ τῆς αἱρέσεως μαθητῇ, σὺν γέροντί τινι ἀθλίῳ τέκνομα Πολυχρονίῳ, ἐπιπλακέντας αὐτοῖς, καὶ τῆς ἐκείνων δυσσεβείας ὑπερμαχῆν μετελήσαντας, ὑπὸ δικαίαν καταδίκην ἐποήσαντο· ὅτι μίαν θέλησιν καὶ μίαν ἐνέργειαν ἐπὶ Χριστῦ, τῦ ἀληθινῦ Θεῦ ἡμῶν, τῦ ἐκ δύο πεφυκότος φύσεων, δυσσεβῶς καὶ ἀλόγῳ φρονήματι ἐτόλμησαν ἀποφήνασθαι· μηδὲ τῦτο λογισμοῖς ἀναλαβόντες οἱ ἀσύνετοι, ῥᾴδιον ὂν καὶ πρόχειρον εἰς κατάληψιν, ὡς οὐκ ἔστι τῆς αὐτῆς ἐνεργείας, χωλὸν κατ' ἐξυσίαν ὀρθῶσαι, καὶ κόπυς ὁδοιπορίας μετέρχεσθαι· ἐδὲ τυφλοὺς ὀμματῶσαι, καὶ γῆν σιάλῳ δακτύλων ἔργοις φυρᾶσαι, καὶ πηλὸν ποιῆσαι καὶ ἐπιβαλεῖν τοῖς ὄμμασιν· οὐδὲ νεκρὸν ἀναστῆσαι, καὶ δακρύειν ἐπὶ τελευτήσαντι· οὐ μὴν οὐδὲ τῆς αὐτῆς ἐστι θελήσεως, παρελθεῖν αἰτεῖσθαι τὸ πολήριον τῦ θανάτυ, καὶ δόζαν αὐτὸ καλεῖν πάλιν καὶ βέλεσθαι τὸ ἀθέλητον. ἀλλὰ πῶς ἔχει συνήθοντο διὰ τέτων, καὶ τῶν φύσεων τὴν διαφορὰν ἐξαρνέμενοι; πᾶσα γὰρ φύσις πηγὴ ἐνεργείας, καὶ ταῖς διαφόροις ἐνεργείαις αἱ φυσικαὶ θελήσεις συνδιαχίζονται. καὶ εἰ, κατὰ τὴν ἐν αὐτοῖς πλάνην, ἡ ἐνέργεια καὶ ἡ θέλησις μία· καὶ ἡ φύσις πάντως, ἐξ ἧς ταῦτα, μία. εἰ δὲ δύο αἱ φύσεις, (ἔπω γὰρ εἰς τῦτο μανίας ἐξώκειλαν, ἐν ὀφθαλμοῖς ἔχοντες τὴν διασπορὰν τῶν καταρξάντων καὶ ἀπώλειαν,) πῶς ἔχει ἑκατέρα πηγάσει τὴν οἰκείαν ἐνέργειαν καὶ τὴν θέλησιν; Ἀλλ' ἔτοι μὲν τῆς ἰδίας αὐτῶν καὶ δυσφήμυ δόζης ἐδὲν προτιμήσαντες, σὺν αὐτῇ ἐκείνῃ, τῷ αἰωνίῳ κατεδικάθησαν ἀναθέματι. δύο δὲ θελήσεις φυσικὰς καὶ δύο ἐνεργείας ἐπὶ τῦ ἑνὸς Χριστῦ τῦ Θεῦ ἡμῶν, τῶν θεοφόρων πατέρων ἱερολογήσας ὁ σύλλογος, ταῖς ἁπανταχῆ ἐκκλησίαις τὸ διπλῶν ὁμολογεῖν καὶ κηρύσσειν, ὥσπερ τῶν φύσεων, ἔτω καὶ τῶν ἐνεργειῶν καὶ θελήσεων, ὀρθοδόξως παραδεδώκασι. Κωνσταντῖνος δὲ τηνικαῦτα, ὁ ἀπόγονος Ἡρακλείυ, τὸν προγονικὸν τῆς βασιλείας κλῆρον ἐχρηματίζεν ἀναδεδειγμένος· τά τε ἄλλα συμπράττων τῇ συνόδῳ, καὶ τὸ ὀρθὸν τῆς ἐκκλησίας φρόνημα πρεσβεύων. Ἀλλ' ἐν τέτοις μὲν καὶ ἡ ἕκτη.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ ἑβδόμη σύνοδος, Νικαίαν μὲν, τῆς Βιθυνῶν μητρόπολιν ἔσαν, καὶ τῶν ὀρθῶν δογμάτων δικαστήριον πάλαι γεγονυῖαν, καὶ αὐτὴ τῆς εὐσεβείας κριτήριον ἔδειξεν· ἑπτὰ μὲν καὶ ἑξήκοντα καὶ τριακοσίων ἱερῶν ἀνδρῶν τῷ πλήθει πλατυνομένη· ταξιάρχας δὲ καὶ πρωτοστάτας τῆς ἱερᾶς αὐτῶν καὶ μεγάλης φάλαγγος προβαλλομένη, Ταράσιόν τε τὸν ἐν ἀρχιερεῦσι Θεῷ περιβόητον, (Θεῖος ἦτος καὶ πανάριστος ἀνὴρ, καὶ τῆς βασιλίδος πόλεως τὰς ἱεραρχικὰς ὄλακας, εἴ πέρ τις ἄλλος, περιάγειν ἄξιος,) καὶ δὴ καὶ Πέτρον τὸν εὐλαβέστατον, πρωτοπρεσβύτερον τῆς καθ' Ῥώμην ἁγίας ἐκκλησίας· καὶ Πέτρον ἄλλον, πρεσβύτερον καὶ αὐτὸν, καὶ τῆς ἐκεῖσε μονῆς ἡγέμονα τὰ ἁγίᾳ Σάββα· οἱ τῆς ἀποστολικῆς καθέδρας διεπληρῶντο τὸν τόπον, Ἀδριανῷ τότε τὸ ἀρχιερατικὸν κοσμοῦντος ἀξίωμα. ἅμα δὲ τούτοις, Ἰωάννην καὶ Θωμᾶν, ἄνδρας μοναδικῇ πολιτείᾳ περιωνύμους, καὶ ἱερατικῇ τιμῇ διαλάμποντας, καὶ τῆς ἀνατολικῆς ἁπάσης διοικήσεως τῶν ἀποστολικῶν καὶ μεγάλων θρόνων τοποτηρητὰς, καὶ τὸ τῶν ἀρχιερέων προνόμιον ἔχοντας. λέγω δὴ, Ἀπολιναρίῳ τε καὶ Θεοδωρήτῳ καὶ Ἡλίᾳ· ὧν ὁ μὲν Ἀλεξανδρείας, ὁ δὲ Ἀντιοχείας, καὶ ὁ λοιπὸς δὲ Ἱεροσολύμων, ἱεροπρεπῶς τε καὶ πανσόφως προειστήκειταν. Τότε Κωνσταντῖνος καὶ Εἰρήνη, ὀρθοδοξίας σεφάνῳ κοσμούμενοι, τὴν αὐτοκράτορα τῆς Ῥωμαίων ἀρχῆς πορφυρίδα ἐσολίζοντο. Αὕτη τοιγαροῦν ἡ ἱερὰ καὶ μεγάλη σύνοδος ἀρειφανῆ τε καὶ βάρβαρον αἵρεσιν, ὑπὸ δυσσεβῶν τε καὶ ἀνιέρων ἀνδρῶν παρεισαχθεῖσαν, θεοκρίτῳ καὶ κοινῷ ψηφίσματι κατεδίκασε, τὲς εἰσηγητὰς καὶ προμάχους αὐτῆς τῷ αὐτῷ συνυποβάλλουσα κρίματι. Οὗτοι γὰρ οἱ δείλαιοι Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν βλασφημεῖν ἀχ ὁμολογοῦντες τοῖς ῥήμασι, διὰ τῶν ἔργων πᾶσαν ἐπενόουν ὕβριν καὶ βλασφημίαν καὶ ἀσέλγειαν· καὶ αὐτὸν ἐκεῖνον δυσφημεῖν ἀμέσως καὶ χωρὶς τινος παραπετάσματος ἐθαῤῥήσαντες, διὰ τῆς σεπτῆς εἰκόνος τὸ πᾶν αὐτῶν τῆς χριστομάχου γνώμης ἐξεπλήρουν θέλημα. εἴδωλον γὰρ (ὦ τολμηρᾶς καὶ ἀθέου γλώσσης καὶ διανοίας ἀπήχημα) τὴν προσκυνητὴν εἰκόνα Χριστοῦ, δι' ἧς εἰδώλων πλάνη διώκεται, καθυβρίζοντες, καὶ πάσαις αὐτὴν ἀτιμίαις περιβάλλοντες, ἀνὰ τὰς ἀγορὰς καὶ τὰς λεωφόρους ποσὶ κατεπάτουν, περιέσυρον, πυρὶ παρεδίδοσαν. θέαμα Χριστιανοῖς ἐλεεινὸν, καὶ τῆς ἑλληνικῆς χριστομαχίας μόνης ἄξιον. τὰ αὐτὰ δὲ καὶ κατὰ τῶν ἄλλων ἱερῶν εἰκενισμάτων, ποσὶ ταχινοῖς ἐκχέαι αἷμα, χερσί τε παλαμναίαις καὶ βεβήλοις χείλεσιν ἐνησέλγαινον. καὶ κόρον ἐδέν α τῆς τηλικαύτης μανίας καὶ παραπληξίας ἐδαμῶς ἐλάμβανον οἱ ἀλάστορες· ἀλλὰ τῶν ἑλληνικῶν βδελυγμάτων ἐδὲν ἔλαττον, εἰ καὶ μὴ μᾶλλον, τὰ Χριστιανῶν ἱερὰ σύμβολά τε καὶ ἐκτυπώματα, διὰ μίσους ἄγοντες, ἐβδελύσσοντο· δι' ὧν αὐτοῖς καὶ ὁ ἄσπονδος

πόλεμος

πόλεμος κατὰ Χριστοῦ καὶ τῶν αὐτοῦ ἁγίων συνεκροτεῖτο καὶ ἐκρατύνετο. Δῆλον γὰρ ἅπασιν, ὡς ἡ τιμὴ τῶν εἰκονισμάτων τιμὴ γίνεται τῶν εἰκονιζομένων· ὥσπερ καὶ ἡ ἀτιμία εἰς αὐτὰ διαβαίνει τὰ εἰκονιζόμενα. Ἀλλ' ὅτοι τὰ νέα τῶν χριτομάχων Ἰουδαίων γεννήματα, δι' ἂν μὲν τὴν σεπτὴν εἰκόνα Χριστοῦ καὶ τῶν αὐτοῦ ἁγίων ἐνύβριζον, τὸ προγονικὸν ἀνεπλήρων ὑστέρημα, εἰς τὰ τῶν Ἰουδαίων τολμήματα ἐκφερόμενοι, καὶ νικᾶν φιλονεικοῦντες τῇ ὑπερβολῇ τῆς προθυμίας τοὺς γεννήτορας. δι' ὧν δὲ, Χριστιανῶν ἐν μέσῳ, οὐκ ἔχον τολμῆσαι τὸν Χριστὸν καὶ χείλεσιν ἀπαρνήσασθαι, καὶ αὐτοῦ ἐκείνοις τοῦ Ἰουδαϊκοῦ καὶ πατρῴου ζήλου ἠλέγχοντο διαπίπτοντες, καὶ νόθον καὶ ταύτην αὐτῶν δεικνύντες τὴν μίμησιν, καὶ μηδαμοῦ σάσιν ἔχοντες, ἀλλ' ὥσπερ τῷ κακῷ καρωθέντες τῆς αἱρέσεως, ὧδε κἀκεῖσε διερρίπτοῦντο καὶ παρεφέροντο. Χριστιανοὺς μὲν γὰρ ἑαυτοὺς ὀνομάζοντες, κατὰ Χριστοῦ ἐφρυάττοντο· καὶ τὴν Ἰουδαίων κλῆσιν ἐπροσιέμενοι, τὸ χριτομάχον αὐτῶν παρεζήλων διὰ τῆς εἰκονομαχίας καὶ ὑπερέβαλλον. οὐ μόνον δὲ, ἀλλὰ καὶ τὸ τῆς εἰδωλολατρείας ἐκκλίνοντες ὄνομα, ἐδὲν εἰδωλολατρῶν ἀνεκτότερα εἰς τε Χριστιανοὺς αὐτοὺς καὶ εἰς τὰ τῶν Χριστιανῶν θεῖα καὶ ἅγιαντα μυσήρια ἐπεδείξαντο. Δι' ὃ τοῦτοι μὲν, ὅσοι μὴ τῆς μοιχαλίδος ταύτης καὶ πολυσπόρου καὶ συμπεφυρμένης δόξης φυγεῖν ἠθέλησαν τὴν δυσγένειαν, ὡς νόθα γένη καὶ ἔκφυλα τῆς τῶν πιστῶν εὐγενείας, ἡ ἁγία καὶ οἰκουμενικὴ διακρίνασα σύνοδος, δεσμοῖς ἐλύτοις τοῦ ἀναθέματος καθυπέβαλε· τὴν δὲ εἰκόνα Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, καὶ τὰς ἀνέκαθεν ἀποστολικάς τε καὶ πατρικὰς παραδόσεις, καὶ τὰς τῶν ἱερῶν λογίων ἐκφανήσεις, ἐπὶ τιμῇ καὶ σεβασμιότητι τοῦ εἰκονιζομένου, προσκυνεῖσθαι καὶ τιμᾶσθαι, ψήφοις ἁπάσαις ἐπεκύρωσέν τε καὶ ἐπεσφραγίσατο· τῆς προσκυνήσεως καὶ τιμῆς δηλονότι προσαγομένης, καθ' ὃν τρόπον καὶ τοῖς ἄλλοις ἱεροῖς τύποις καὶ συμβόλοις τῆς καθ' ἡμᾶς ἁγιωτάτης λατρείας προσερχόμεθα. Οὐ γὰρ ἐν αὐτοῖς ἱσῶμεν καὶ συμπεριπλέκομεν τὴν τιμὴν καὶ προσκύνησιν, ἐδ' εἰς ἑτερόφυλα καὶ διάφορα τέλη χιζόμεθα· ἀλλὰ διὰ τῆς φαινομένης διαφόρου καὶ μεριστῆς αὐτῶν θεραπείας καὶ προσκυνήσεως, ἱεροπρεπῶς τε καὶ ἀδιαιρέτως εἰς τὴν ἀμέριστον ἐκείνην ἐνοειδῆ τε καὶ ἐνοποιὸν θεότητα ἀναγόμεθα.

Οὕτω τὸν τίμιον σταυρὸν προσκυνοῦμεν· ἐν ᾧ τὸ δεσποτικὸν ἐξετανύθη σῶμα, καὶ τὸ τοῦ κόσμου καθάρσιον ἀνέβλυσεν αἷμα, καὶ ἡ τοῦ ζύλου φύσις ταῖς ἐκεῖθεν ῥοαῖς ἀρδευθεῖσα, τὴν ἀγήρω ζωὴν ἐβλάστησεν ἀντὶ τοῦ θανάτου. Οὕτω τὸν τύπον τοῦ σταυροῦ προσκυνοῦμεν, δι' ὃ δαιμόνων ἐλαύνεται σίφη, καὶ πάθη θεραπεύεται ποικίλα· τῆς ἅπαξ ἐν τῷ πρωτοτύπῳ χάριτος καὶ δυνάμεως ἐνεργηθείσης, καὶ μέχρις αὐτῶν τῶν τύπων μετὰ τῆς ὁμοίας ἐνεργείας συμπροϊέσης.

σης. Τέτων τοιγαρῦν ἕκαστον, τήν τε Χριστῦ εἰκόνα φημὶ, καὶ αὐτὸν τὸν σαυρὸν, καὶ δὲ καὶ τῦ σαυρῦ τὸν τύπον, παραπλησίως τῇ σεβασμιότητι καὶ προσκυνήσει ἐξοσιῦντες, ἐκ ἐν αὐτοῖς περιγράφομεν καὶ περιορίζομεν τὴν τιμὴν καὶ τὸ σέβας, ἀλλ' εἰς τὸν δι' ἡμᾶς ἐνανθρωπήσαντα πλέτῳ φιλανθρωπίας ἀφάτῳ, καὶ τὸν ὑπὲρ ἡμῶν ἐπονείδιστον θάνατον ἑκσίως ὑπενεγκόντα, ταύτην ἀναφέρομεν καὶ ἀνιερῦμεν. Οὕτω δὴ καὶ ναὸς ἁγίων, καὶ τάφος, καὶ λείψανα, πιστοῖς βρύοντα ἰάσεσι, πιστῶς προσκυνῦμεν, τὸν αὐτὸς δοξάσανλα Χριστὸν τὸν Θεὸν ἡμῶν μεγαλύνοντες καὶ ἀνευφημῦντες· καὶ δὴ καὶ εἴ τι τέτοις, κατὰ τὰς μυστικὰς καὶ ἁγίας ἡμῶν τελετὰς, ἐστὶ παραπλήσιον, διὰ τῆς ἐν αὐτοῖς ἐνεργουμένης δωρεᾶς τε καὶ εὐεργεσίας, τὸ ἀρχικόν τε καὶ πρωτεργὸν αἴτιον ἐπιγινώσκομέν τε καὶ δοξολογῦμεν. Δι' ὃ καὶ τῶν μακαρίων ἐκείνων καὶ ἱερῶν ἀνδρῶν ἡ θεοφόρος καὶ ἁγία πανήγυρις ἐ μόνον τὴν εἰκόνα Χριστῦ, καθάπερ ἔφημεν, ἀλλά γε δὴ καὶ τῆς παναχράντε καὶ ἀειπαρθένε δεσποίνης ἡμῶν θεοτόκε, καὶ πάντων τῶν ἁγίων τὰς ἱερὰς εἰκόνας, κατ' ἀναλογίαν τῆς τῶν πρωτοτύπων ὑπεροχῆς καὶ σεβασμιότητος, τιμᾶσθαι καὶ προσκυνεῖσθαι, κοινῶν θεσπισμάτων ὅροις ἐπεσφράγισέ τε καὶ ἐπεκύρωσε. καὶ γὰρ καὶ δι' αὐτῶν εἰς ἑνοποιόν τινα καὶ συναγωγὸν ἀναγόμεθα θεωρίαν, καὶ τῆς πρὸς τὸ ἀκρότατον τῶν ὀρεκτῶν δι' αὐτῆς ἀξιέμεθα θείας καὶ ὑπερφυοῦς συναφείας. Ἀλλὰ ταῦτα μὲν σοφῶς τε καὶ θεαρέστως τελεσαμένη διώρισεν, πᾶσαν δὲ αἱρετικὴν νόσον καὶ πᾶσαν ἀκοσμίαν τῆς λογικῆς ἀγέλης ἀπελάσασα, τὸν οἰκεῖον κόσμον καὶ τὸ κάλλος τὴν ἐκκλησίαν ἐπαναλαβοῦσαν ὑπέδειξε· καὶ οἵα δὴ νύμφην, ἐκ ἐν κροσσωτοῖς χρυσοῖς, ἀλλ' ἐν ἱεροῖς ἐξωραϊσθεῖσαν εἰκονίσμασιν, ἐκ δεξιῶν τῦ νυμφίε Χριστῦ παραστήσασα, ἱλαροῖς καὶ χαίρεσιν ὀφθαλμοῖς καθορᾶσθαι καὶ ἐναγλαΐζεσθαι παντὶ τῷ τῶν πιστῶν πληρώματι παρεσκεύασεν.

Αὕτη τῆς πίστεως ἡμῶν τῶν Χριστιανῶν ἡ καθαρὰ καὶ ἀμώμητος ὁμολογία· αὕτη τῆς ἀχράντε καὶ εἰλικρινοῦς λατρείας ἡμῶν, καὶ τῶν περὶ αὐτὴν σεπτῶν μυστηρίων, ἡ θεόσοφος μυσταγωγία· κατὰ ταύτην, μέχρι βίου δυσμῶν, καὶ φρονῦντες καὶ πιστεύοντες καὶ πολιτευόμενοι, πρὸς τὴν ἀνατολὴν τῦ νοητῦ ἡλίε ἐπειγόμεθα, τῆς ἐκεῖθεν ἀνεσπέρε αὐγῆς καὶ λαμπρότητος τρανώτερόν τε καὶ τελειότερον ἀπολαύσοντες. Ταύτην προσήκει καὶ τὴν ὑμετέραν θεοφερέστατον σύνεσιν ἤδη, πρὸς τὸν ἡμέτερον κλῆρον τῆς εὐσεβείας ἀφορῶσαν, εἰλικρινεῖ διαθέσει, καὶ γνώμης εὐθύτητι, καὶ ἀδιάκτῳ πίστει ἀποδέχεσθαι καὶ σέργειν, καὶ μήτε δεξιᾷ μήτε ἀριστερᾷ, μηδὲ ἐπὶ βραχὺ, ταύτης ἀποκλίνειν. τοῦτο γὰρ τῶν ἀποστόλων τὸ κήρυγμα, τῦτο τῶν οἰκεμενικῶν συνόδων τὸ φρόνημα. διὸ οὐ μόνον σεαυτὸν φρονεῖν ἔτω δεῖ καὶ Θεὸν δοξάζειν, ἀλλὰ καὶ τὺς

ὑπὸ

ὑπό σε τεταγμένες εἰς τὸ αὐτὸ τῆς ἀληθείας φρόνημα χειραγωγεῖν, καὶ πρὸς τὴν αὐτὴν καταρτίζειν πίστιν, καὶ μηδὲν τῆς τοιαύτης σπουδῆς καὶ ἐπιμελείας ἡγεῖσθαι τιμιώτερον. ἄρχοντος γὰρ ὡς ἀληθῶς, μὴ τῆς ἰδίας μόνον σωτηρίας ποιεῖσθαι φροντίδα, ἀλλὰ καὶ τὸν ἐμπιστευθέντα λαὸν τῆς ἴσης ἀξιοῦν προνοίας, καὶ εἰς τὴν αὐτὴν τῆς θεογνωσίας χειραγωγεῖν τε καὶ προσκαλεῖσθαι τελειότητα. Μὴ τοίνυν τῶν ἐλπίδων ἡμᾶς διαψευσθῆναι ποιήσῃς, ἃς ἡ σὴ περὶ τὰ καλὰ ῥοπή τε καὶ εὐηκοΐα παρέσχε προβάλλεσθαι· μηδὲ τοὺς πόνους καὶ τοὺς ἀγῶνας, οὓς ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ἀνεδεξάμεθα χαίροντες, ματαίους ἐλέγξῃς· μηδ' ἄρχεσθαι μὲν προθυμίᾳ τῷ θείῳ κηρύγματος ὑποδέχεσθαι τοὺς λόγους, αὐτὸν ἐπιδείξῃς, εἰς ῥᾳθυμίαν δὲ τὴν προθυμίαν καταλύσῃς, ἀλλ' ὅμοιον μὲν τῇ ἀπαρχῇ τὸ τέλος, σύμφωνον δὲ τὴν πολιτείαν τῇ πίστει, κοινὸν δὲ ἀγαθὸν καὶ γένους καὶ πατρίδος τὴν σὴν διδοὺς ἐξουσίαν καθορᾶσθαι καὶ ὀνομάζεσθαι, τὴν ἐμὴν ἐπί σοι χαρὰν καὶ εὐφροσύνην διατήρει ἀνεξάλειπτον.

Ἀλλ' ὅρα δή μοι λοιπὸν, φιλόχριστε καὶ πνευματικὲ ἡμῶν υἱὲ, καὶ εἴ τι ἄλλο κλεινὸν καὶ καλὸν καὶ σοργῆς ἄξιον ὄνομα, ὅρα τοιγαροῦν ὅσας παραλάξεις ὁ πονηρὸς κατὰ τῆς εὐσεβοῦς καὶ μόνης ἀληθινῆς τῶν Χριστιανῶν θρησκείας ἐπαλαμήσατο, αἱρέσεις διαφόρους, καὶ σάσεις, καὶ μάχας, καὶ πολέμους ἐπινοῶν. ὅρα δὲ καὶ τοῦτο, ὅπως ἁπάσας αὐτὴ κατεσκέψατο, καὶ λαμπρὰ τὰ κατὰ πάντων ἀνέσησε τρόπαια. καὶ μηδὲν θαυμάσῃς τὰς κατ' αὐτῆς λογιζόμενος ἐπινοίας καὶ ἐπιβουλάς. Πρῶτον μὲν γὰρ, ἐξ ἂν ἔτω περιφανὴς καὶ κραταιὰ καὶ ἐπίσημος διὰ τῆς νίκης ἐγίνετο, εἰ μηδὲν αὐτῇ πολέμιον συνεπλέκετο. ἔπειτα δὲ καὶ συνεραῖν ῥᾴδιον, ὡς ἔνθαπερ ὁ πονηρὸς σφοδρότερον πολεμεῖται, ἐκεῖ καὶ αὐτὸς σπουδαιότερον τὰ τῆς κακίας αὐτῷ βέλη πέμπει, καὶ τὰ μηχανήματα ἵησιν. ἐν μὲν γὰρ τοῖς ἄλλοις ἔθνεσιν, ἐπεὶ μηδείς ἐστιν αὐτῷ σφοδρὸς πόλεμος, διὰ τοῦτο ἁδὲ αὐτὸς κατ' ἐκείνων ὁπλίζεται· ὁ δὲ χρισώνυμος τῷ Θεῷ λαὸς, τὸ ἔθνος τὸ ἅγιον, τὸ βασίλειον ἱεράτευμα, ἐπεὶ καθ' ἑκάστην κραταιούμενοι τῇ πίστει, κατὰ τῶν πονηρῶν αὐτῷ πράξεων καὶ ἐπιτηδευμάτων ἀνδρίζονται, διὰ τοῦτο κἀκεῖνος μυρίαις ἐπιβολαῖς καὶ πάσαις μεθόδοις τινὰς ἐξ αὐτῶν ὑποσκελίζειν τεχνάζεται, καὶ ἀντιλυπεῖν τὴν ἐκκλησίαν Χριστοῦ ἀγωνίζεται, εἰ καὶ εἰς αἰσχύνην αὐτῷ. οἱ ἀγῶνες καὶ τὰ πονηρεύματα καταῤῥέφουσιν. τὰ μὲν ἄλλα τῶν ἐθνῶν ἀδιάκριτα καὶ συγκεχυμένα τὰ ἐν δόγμασιν ἔχει φρονήματα, καὶ οὐδὲν καθαρὸν οὐδ' εἰς ἀκρίβειαν δεδοκιμασμένον, διὰ τοῦτο ἐν ἐκείνοις ὅτε τὸ διεσταλμένον φαίνεται· ἐν δὲ τῇ καθαρωτάτῃ, καὶ ἁγιωτάτῃ, καὶ πολὺ τὸ ἀκριβὲς ἐχούσῃ πίστει τῶν Χριστιανῶν, διὰ τὸ λίαν αὐτῆς εἰλικρινὲς καὶ εὐθὲς καὶ ἐξηκριβωμένον καὶ ἀκήρατον,

ρατον, ἐπειδάν τις καὶ μικρόν τι διαστροφῆς ἢ καινοτομίας παρεισενεγκεῖν ἐπιχειρήσῃ, αὐτίκα τὸ διεστραμμένον καὶ κίβδηλον τῇ παραθέσει τῆς ἀληθείας καὶ τῷ ὀρθῷ λόγῳ καταφαίνεταί τε καὶ διελέγχεται, καὶ ἐδ' ἐπὶ βραχὺ τὸ νόθον γέννημα ὑπὸ τὴν αὐτὴν ὀνομασίαν εἶναι τῶν εὐσεβῶν δογμάτων ἐδαμῶς ἀνέχεται ἡ εὐγένεια. Ὥσπερ γὰρ ἐπὶ τῶν κάλλει διαφερόντων σωμάτων καὶ μικρά τις ἐπιγενομένη κηλὶς θᾶττον συνοράται καὶ πεφώραται τῇ παραθέσει τῆς λοιπῆς ἐν τῷ σώματι ὡραιότητος, τοῖς δ' αἰχροῖς τὴν ὄψιν ἐκ ἂν ἐξελεγχθείη ῥᾳδίως τὰ τῆς ἀσχημοσύνης πάθη ἐπισυνισάμενα· ὑπολανθάνει γὰρ τῆς ἀμορφίας τῷ συγγενεῖ καὶ τῇ ὁμοιότητι· ἕτω καὶ ἐπὶ τῆς τῶν Χριστιανῶν ὡραιότητος ὡς ἀληθῶς καὶ ὑπερλάμπρου θρησκείας καὶ πίστεως, κἂν τὸ βραχύτατόν τις αὐτῆς παρατρέψῃ, μεγάλην ἀσχημοσύνην ἐργάζεται, καὶ παραυτίκα τὸν ἔλεγχον δέχεται· τὰ δ' ἄλλα τῶν ἐθνῶν δόγματα, πολλῆς ἀκοσμίας καὶ ἀσχημοσύνης γέμοντα, εὐδημίαν ἔχειν τοῖς οἰκείοις ἐραστῆς συναίσθησιν δίδωσι τῆς ἐπιγιγνομένης αἰσχρότητος. Οὐ μόνον δὲ, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων πασῶν τεχνῶν καὶ ἐπιστημῶν τὸ αὐτὸ κατιδεῖν ἔστιν. ἐν μὲν γὰρ ταῖς ἀκριβεστάταις καὶ τὸ βραχύτατον τῶν ἁμαρτημάτων ῥᾷστα κατάφωρον γίνεται· ἐν δὲ ταῖς τυχούσαις πολλὰ παροράται, καὶ ἐδ' εἰς ἁμάρτημα κρίνεται. Εἰ βέλει δὲ, καὶ ἐν μὲν τοῖς ἄρχουσι, καὶ τῶν ἄλλων τῇ ἐξουσίᾳ προέχουσι, μάλιστα δὲ οἷς κατὰ πλειόνων τὸ κράτος, καὶ τὸ μικρὸν τῶν πταισμάτων εἰς μέγεθος αἴρεται, καὶ πᾶσι γίνεται περιβόητον· ἐν δὲ τοῖς ἀρχομένοις καὶ ταπεινοτέροις πολλὰ τῶν παραπλησίως διαμαρτηθέντων οὐδ' ὅτι ἐπράχθη συνεγνώσθησαν, ἀλλ' ἐναπεκρύβη καὶ ἔλαθε, τῇ σμικρότητι καὶ εὐτελείᾳ συναποσβεσθέντα τοῦ ἁμαρτήσαντος. Ὅσον οὖν μεγέθει, καὶ κράτει, καὶ κάλλει, καὶ ἀκριβείᾳ, καὶ καθαρότητι, καὶ τῇ ἄλλῃ πάσῃ τελειότητι, τῶν ἐν τοῖς ἔθνεσι δοξασμάτων ἡ τῶν Χριστιανῶν πίστις καὶ λατρεία ὑπερανέστηκε καὶ ἐξήρηται, τοσοῦτον ὁ πονηρὸς εἰς τὸν κατ' αὐτῆς ἀνερεθίζεται πόλεμον· καὶ τοσοῦτον πάλιν τὰ ἐξ ἀφρόνων καὶ κακοβέλων ἀνδρῶν ἁμαρτήματα ἐκ τοῦ εὐθέος καταφαίνεται, μηδ' ἐπὶ βραχὺ χώραν τῷ λαθεῖν ἔχοντα, μηδέ τινα παρείσδυσιν ἐφευρίσκοντα. Ἀλλ' ὅμως ἡ τῷ Θεῷ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία (ὡς καὶ φθάσαντες ἔφημεν) καὶ τῷ πονηρῷ πάντα τὰ μηχανήματα σαθρὰ καὶ ἄπρακτα διελέγχουσα, μᾶλλον δὲ κατ' αὐτῷ ἐκείνῳ τῷ μηχανεργήντος ἐπαναστρέφουσα, καὶ τῶν αἱρετιζόντων ῥᾳδίως ἀποσκευαζομένη τὸ βλάσφημον, καὶ καταισχύνουσα τὸ ἀναίσχυντον, κατὰ πάντων ἄμαχον τὸ κράτος καὶ ἀήττητον ἀναδέχεται, καὶ καλοῖς καὶ σωσικόσμοις διαπαντὸς θριάμβοις ἐγκαλλωπίζεται.

Σὺ

Σὺ τοίνυν (ὦ τί σε προσειπὼν ἀξίως εἴπω τῶ πόθε;) τῇ αἴγλῃ τοῦ θείου πνεύματος τὴν ψυχὴν αὐγασθεὶς, καὶ πρὸς τὸ τῆς εὐσεβείας φέγγος ἀνεχθεὶς, καὶ ἔργον ἐργασάμενος, δι' οὗ πρὸς τὴν τοῦ μεγάλου Κωνσταντίνου πρᾶξιν ἀνυψώθης, καὶ μίμησιν ἔχων τῆς ἀπ' ἀρχῆς σου γνώμης καὶ βουλῆς καὶ συνέσεως· σῇθι σεβρῶς ἐν τῇ πέτρᾳ τῆς πίστεως, ἐν ᾗ καλῶς ὑπὸ Κυρίου τεθεμελίωσαι· ἐποικοδόμει τῇ ὀρθῇ σου πίστει πράξεις ἀγαθὰς καὶ βίου σεμνότητα· μὴ ξύλα καὶ χόρτον, μηδὲ καλάμην, εὔφλεκτον τῆς ἁμαρτίας ὕλην, καὶ πρὸς καῦσιν μόνην, πρὸς οὐδὲν δὲ χρησιμεύουσαν ἕτερον· ἀλλὰ χρυσὸν καὶ ἄργυρον, τῶν καλοῦ θωμάτων τὰ τίμια· ταῦτα γὰρ καὶ παρὰ πειρασμῶν δοξαζόμενα, καθαρώτερα καὶ τιμιώτερα διαδείκνυται.

Οὕτω Χριστὸς ὁ κοινὸς δεσπότης ἐγκελεύεται καρποὺς ἀρετῶν προβάλλειν, καὶ μὴ καταισχύνειν τὴν πίστιν διὰ τῶν πράξεων. οὕτω Παῦλος ὁ μέγας τῆς ἐκκλησίας συμβουλεύει διδάσκαλος. οὕτω Πέτρος ὁ κορυφαῖος τῶν ἀποστόλων, καὶ τῶν οὐρανίων πυλῶν τὰς κλεῖς ἐμπεπιστευμένος καὶ τὴν εἴσοδον. οὕτω τῶν λοιπῶν ἀποστόλων ὁ θεῖος χορὸς τὴν οἰκουμένην ἐμαθήτευσεν. ἕτως ἡμῶν οἱ πατέρες παρειλήφασιν, ἕτως ἡμῖν, τοῖς μετ' ἐκείνους, παραδεδώκασιν. οὕτω καὶ ἡμεῖς σοι παραινοῦμεν καὶ συμβουλεύομεν, ἀρεταῖς κοσμεῖν τὴν πίστιν, καὶ τῇ πίστει τὰς ἀρετὰς λαμπροτέρας ἀπεργάζεσθαι. Ἐβουλόμην αὐτὸς ἐγώ σοι παρεῖναι, καὶ ταῖς πράξεσιν ἐφιστάναι, ἵνα τῶν μὲν καλῶν ἔργων αὐτεπάγγελτον διὰ τῆς ὄψεως λαμβάνων τὴν γνῶσιν, ἔτι μᾶλλον ἐν εὐθυμίᾳ καὶ χαρᾷ διακείμενος εἴην· εἰ δέ τι καὶ παράλογον συνέβη, μεθέλκειν ἔχοιμι ἐμφρόνως καὶ μεθαρμόζειν ἐκ τοῦ παραχρῆμα πρὸς διόρθωσιν. ἐπεὶ δὲ ἡ βούλησις τῆς δυνάμεως χηρεύει, καὶ πολλὰ τὴν ὁρμὴν ἀνακόπτοντα κωλύει, ἅ μοι λοιπὸν ἐστὶ δυνατὸν, γραφῇ τυπῶσαι τὰς παραινέσεις, ὡς καὶ καταρχὰς ὑπεχόμην, ἤδη περάσομαι.

B.

Ὅτι μὲν οὖν χρὴ τὸ θεῖον εἰλικρινῶς ἀγαπᾶν καὶ θεραπεύειν, καὶ τὸ ὁμόφυλον ὡς ἑαυτὸν σέβειν καὶ φιλεῖν, ἔμφυτός πως τοῖς ἀνθρώποις ἡ γνῶσις καθέστηκεν· ἡ βέλησις δὲ μὴ συντρέχουσα τῇ γνώσει, εἰς θέσπισμα καὶ νόμον ἀναγραφῆναι τὴν κοινὴν ἐξεβιάσατο γνώμην. ὅτι δὲ ὁ τοῦ θείου εἰλικρινὴς ἔρως, καὶ ἡ τοῦ πλησίον σοργὴ καὶ τελεία ἀγάπη, τῶν ἄλλων ἐντολῶν ἐν ἑαυταῖς περιέχουσι τὰς πράξεις, οὐ χαλεπὸν μὲν καὶ αὐτόθεν κατανοῆσαι. παρίστησι δὲ τοῦτο καὶ ὁ δεσποτικὸς λόγος, ἐν οἷς φησὶ περὶ αὐτῶν, Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος κρέμαται, καὶ οἱ προφῆται. καὶ γὰρ ὁ τὸν θεῖον ἔρωτα ἐνσερνισμένος, καὶ τὸν πλησίον ὡς ἑαυτὸν σέβων καὶ φιλῶν, πατέρα μὲν καὶ μητέρα διαφερόν-

Φερόντως ἀγαπήσει, καὶ τιμῆς τῆς πρώτης μετά γε Θεὸν ἀξιώσει· αἱμάτων δὲ ἐμφυλίων καὶ φόνων οὐ μόνον τὰς χεῖρας καθαρὰς φυλάξει, ἀλλὰ καὶ τὴν γλῶσσαν καὶ τοὺς λογισμοὺς μελέτης τοκύτης. οὐ μὴν οὐδὲ κλέψειεν ἔτος· ἐδεὶς γὰρ, ὃν ὡς ἑαυτὸν φιλεῖ καὶ φυλάττει, τούτου κλέπτης ἐφωράθη. ἀλλ' ἐδὲ ἀλλοτρίας γάμους διορύξει· οὐδ' ὅρκον ἐπίορκον ὀμόσει, ὃ μὲν ἓν ἐδὲ μαρτυρίαν ψευδῆ κατὰ τοῦ πλησίον μαρτυρήσει. Καὶ ὅλως, οὐ χερῶν ἀδίκων ἄρξει, τύπτειν ἢ προπηλακίζειν ἐπιχειρῶν, ἢ τύραννος ἐραστὴς τῶν, ὅσα τῷ πλησίον ὑπάρχει, γινόμενος. ὁ γάρ τι τούτων κατατολμῶν, αὐτόθεν λυμαίνεται ἄμφω, καὶ τὸν ἔρωτα τὸν θεῖον καὶ δεσποτικὸν, καὶ τὸ ὁμοφυὲς τὴν στοργήν· τῷ μὲν ἐπιβουλεύων καὶ περιβάλλων κακοῖς, τὸν δὲ παραφαῦλον ποιούμενος καὶ ὑπερορῶν. ἐξ ὧν εἰς οἵας ἀπαραιτήτους καὶ πικρὰς τιμωρίας ἐμβάλλει ἑαυτὸν, πᾶσίν ἐστι φανερόν. Εἰ γὰρ ὁ τῶν ἀνθρωπίνων προσταγμάτων καὶ τῆς ἐπισατέσης ἀρχῆς ὑπερόπτης οὐ διαφεύγει τὴν δίκην, ἀλλὰ καὶ εἰς αὐτὸ τὸ ζῆν πολλάκις τὸν κίνδυνον ἔχει· ὁ τὸν δεσπότην τῶν ὅλων καὶ βασιλέα καὶ δημιουργὸν διὰ τῆς εἰς τὸν ὁμόδουλον παρανομίας καὶ ἐπιβουλῆς ἀτιμάζων καὶ ἐξουθενῶν, καὶ τοὺς αὐτοῦ νόμους διαπαίζων, καὶ χλεύην δεικνὺς, ἡλίκην τίνα τὴν τιμωρίαν δώσει; διὸ προσήκει παντὶ τρόπῳ καὶ πάσῃ σπουδῇ, μετὰ τῆς καθαρᾶς καὶ ἀμώμητε ἡμῶν θρησκείας, καὶ ταύτας διαφυλάττειν τὰς ἐντολάς. οὐ γάρ ἐστιν, ἐκ ἔστι, χωρὶς αὐτῶν, οὔτε τῆς τῶν πιστῶν καὶ φιλοθέων μερίδος γενέσθαι, οὔτε τῆς τῶν οὐρανῶν ἀξιωθῆναι βασιλείας.

Ἀλλὰ ταῦτα μὲν ἀνθρώπῳ παντὶ πάσῃ δυνάμει παραφυλακτέον, ἄρχοντι καὶ ἀρχομένῳ, νέῳ καὶ πρεσβύτῃ, πλουσίῳ καὶ πένητι. κοινὴ γὰρ ἡ φύσις, καὶ κοινὰ τὰ προστάγματα, καὶ κοινῆς τῆς παραφυλακῆς καὶ ἐπιμελείας δεόμενα. Ἃ δὲ μᾶλλον πρὸς τὴν τῶν ἀρχόντων ὁρᾷ παιδαγωγίαν, καὶ τῇ σῇ φυλάττειν ἐπιτηδειότερα ἐξουσία, καὶ ἐξ ὧν ἔσαι σοι καὶ περὶ τῶν ἄλλων πλείστη ἐμπειρία, ἐκεῖνά σοι νῦν ἐρήσεται. καὶ γὰρ πολλῆς τῷ ἄρχοντι δεῖ καλοκαγαθίας, τῆς τε ἄλλης, καὶ τῆς ἐν ἤθεσιν εὐκοσμίας. διὸ καὶ Φασὶν, Ἀρχὴ ἄνδρα δείκνυσι. καὶ, Ὅτι ὥσπερ ὁ χρυσὸς ἐν ταῖς λιθίναις ἀκάναις δοκιμάζεται, οὕτως ὁ ἀνθρώπινος νοῦς ἐν ταῖς ἀρχικαῖς ἐργασίαις καὶ ταῖς τῶν ἀρχομένων διανοίαις ἐξετάζεται.

Σὺ δέ μοι μάλιστα πρόσεχε, ἵνα μὴ μόνον ἀκρατὴς, ἀλλὰ καὶ ποιητὴς γένῃ καλῶν καὶ ἀξιαγάστων πράξεων. ἀρχὴ δὲ ἡμῖν καὶ τούτοις ἀπὸ τῶν θείων. Εὐχὴ μὲν ἓν Θεῷ συνάπτει καὶ οἰκεσοῖ, ὁμιλία τις ἔνθεος ἔσα, καὶ συνεσία νοερὰ τοῦ πάντων καλλίστου καὶ τιμιωτάτου· ἐξ ἧ πᾶσα μὲν εὐσίωσις καὶ συνοχὴ, πᾶσα δὲ πρόνοια

νοια καὶ χορηγία τῶν ἀγαθῶν, πᾶσα δὲ τελειότης καὶ διακάθαρσις τῶν παθῶν. Ὥστε εἰ καὶ μή τι ἄλλο κέρδος ἐκ τῆς εὐχῆς ἀνεφύετο, αὐτὸ δὴ τοῦτο μάλιστα τοῖς Φιλοθέοις καὶ τῷ ἀγαθῷ Φιλοθεάμοσιν ἀντὶ πάσης εὐφροσύνης ἥρκει, καὶ πάσης τῆς κατὰ τὸν βίον μακαριότητος καὶ εὐδαιμονίας. Ὅτε δὲ καὶ τῶν ἁμαρτημένων ἄφεσιν λαμβάνομεν δι' αὐτῆς, καὶ τῶν ἄλλων αἰτημάτων ὅσα συμφέρουσι τὰς ἀγαθοειδεῖς καὶ τελεσιουργὸς δωρεὰς προκαλούμεθα, ἀξιούμεθά τε τῶν ἀφάτων περὶ ἡμᾶς ἔργων καὶ δώρων διὰ τῆς ἐν αὐτῇ εὐχαριστίας τὸν εὐεργέτην ἀμείβεσθαι, καὶ δὴ καὶ οἷον ἀπαρχάς τινας αὐτῷ προσφέρειν τὰς κατ' ἐκείνην τὴν νέαν κινήσεις καὶ δοξολογίας, τῆς νοερᾶς ἡμῶν καὶ λογικῆς οὐσιώσεως· ὅτε τοίνυν τοσαῦτα καὶ τηλικαῦτα τῇ εὐχῇ περιείληπται, πῶς οὐ χρὴ πρὸς ταύτην προθύμως ἐπεκτείνεσθαι, καὶ ταύτης ἐρᾷν σφόδρα καὶ ἀντιλαμβάνεσθαι;

Σὺ τοίνυν προσεύχου μὲν εὐχὰς ἰδίας διαπαντὸς καὶ καθ' ἑαυτὸν τῷ Θεῷ· προσεύχου δὲ καὶ ἅμα τῷ πλήθει, καὶ ἐν τῷ φανερῷ. δι' ἑκατέρου μὲν γὰρ θεοφιλῶς πραττομένου, τὸ ὅσιόν ἐστιν ἀποδιδόναι. ὅσον δὲ τὸ πρότερον εἰς καθαρότητα διανοίας πλεονεκτεῖ, τοσοῦτον τὸ δεύτερον εἰς μίμησιν τοὺς ὁρῶντας παρακαλεῖ. καὶ τὸ μὲν εἰς οἰκεῖον κέρδος συντελεῖ, τὸ δὲ καὶ τοὺς ἄλλους οἶδεν ὠφελεῖν· ὧν ἡ σωτηρία καὶ ἡ προκοπὴ, μεγάλη πάλιν τῆς ἀρετῆς ἐστι τοῦ ἄρχοντος μαρτυρία. Ναοὺς ἐπ' ὀνόματι Θεοῦ καὶ τῶν αὐτοῦ ἁγίων κατὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς οἰκοδόμει, καὶ τούτοις τὸν λαὸν ἐκκλησιάζεσθαι ἔθιζε· ἵνα κοινῇ τὸ θεῖον ἐξιλεούμενοι καὶ κοινὴν τὴν δοξολογίαν προσάγοντες, εἰς κοινήν τε μᾶλλον ὁμόνοιαν συνελαύνωνται, καὶ κοινὴν καρπῶνται τὴν σωτηρίαν καὶ ὠφέλειαν.

Αἱ θυσίαι μὲν τῆς ἱερᾶς ἡμῶν λατρείας τοῖς ἱερεῦσιν ἀνάκεινται· οἷς ὑπηρετῶν προθύμως καὶ προσφέρων, πολλῆς τῆς διὰ τούτων ἀπολαύσεις καὶ εὐεργεσίας καὶ χάριτος. δύναιο δ' ἂν καὶ σὺ, βουληθεὶς, κάλλιστον αὐτουργῆσαι Θεῷ θύμα καὶ ἐρασμιώτατον, βίον αὐτῷ καλλιερούμενος καθαρὸν, καὶ διανοίας ὀρθότητα.

Εἰδὼς δὲ ὡς μεγάλη ῥοπὴ πρὸς τὴν τῶν ὅλων διοίκησιν, ῥώμη καὶ τάχος διανοίας, μηδὲ ταύτης ἀφίσασο τῆς ἐπιμελείας. ἀγχίνουν μὲν γὰρ οὐκ ἔστι γενέσθαι τὸν μὴ φύσει τοῦτο πεφυκότα· μελέτη δὲ καὶ πραγμάτων πεῖρα, πρόχειρον ἐμποιοῦσαι τὴν γνῶσιν, πολλάκις ἐν αὐτοῖς τοῖς ἔργοις ὀξύτερον ἔδειξαν τὸν ἐγγεγυμνασμένον, ἢ τοὺς ταύτης τῆς δυνάμεως κατὰ φύσιν μετεχηκότας. δι' ὃ φρόνησιν ἀσκεῖν προσήκει διὰ βίου· αὕτη δὲ παραγίνεται μελέτη μὲν καὶ μνήμη πράξεων πρεσβυτέρων, ὁμιλία δὲ καὶ συνεσία τῶν περιόντων ἀνδρῶν φρονίμων, καὶ ἐμπειρία δὲ τῶν κατὰ

τὸν βίον πραπτέων. πρᾶξις γὰρ μιμήσει καὶ βουλῇ καὶ διαχειρήσει κρείττος συλλαβοῦσα, τῆς ἄνωθεν ῥοπῆς ἐκ ἀντιπραττούσης, εἰς συμφέρον τέλος ἀποβαίνει.

Μηδὲ τῶν περὶ τὸ σῶμα δὲ ἠθῶν καὶ σχημάτων καὶ κινήσεων, ὡς εὐτελῶν, ὑπερόρα· καὶ γὰρ καὶ ἡ ἐν αὐτοῖς ἀρίστη τάξις καὶ κατάστασις οὐκ ἐλάχιστον μέρος φρονήσεως ἔδοξεν εἶναι· καὶ τῶν ἀνθρώπων, ὅσοι μὴ συνιδεῖν εἰσιν ἐκ τοῦ ῥᾴστου δεινοὶ τὴν ἐν τῇ ψυχῇ δύναμιν καὶ τὸ κάλλος, ἔτοι τοῖς ἔξωθεν θεάμασι ξεναγούμενοι, καὶ τῶν ἀδήλων ἐραστοὶ καὶ ἐπαινεταὶ καθίστανται. Διὰ τοῦτο δεῖ καὶ προσώπου διαθέσει, καὶ κόμης ἀσκήσει, καὶ περιβολῇ ἐσθῆτος κόσμιον ὁρᾶσθαι καὶ σεμνὸν, μήτε εἰς τὸ βλακῶδες καὶ περίεργον ἐκφερόμενον, μήτε πάλιν πέρα τοῦ μετρίου πρὸς τὸ ἠμελημένον καθελκόμενον. ἑκάτερον γὰρ ἀπρεπὲς καὶ εὐκαταφρόνητον, καὶ ἀρχικῆς πολιτείας ἀλλότριον. Καὶ βαδίσματος δὲ πρέπει τῷ ἄρχοντι εὐταξία, μήτε εἰς τὸ θηλυπρεπὲς καὶ ἔκλυτον ἀχημονοῦντι τὴν κίνησιν, μήτε μὴν εἰς τὸ ἀθρόον καὶ τεθαραγμένον καὶ ἀνώμαλον ταύτην ἐκνευωτερίζοντι· καὶ ὅλως, πᾶσα κίνησις τάξει κοσμείσθω.

Δεῖ δὲ καὶ τὸ ἐν λόγοις τάχος εὐλαβεῖσθαι. ταχυλογία γὰρ, ἐν μὲν ἀγωνισταῖς διαλέξεσι καὶ ἀμίλλαις ἐκ εὐκαταφρόνητον ἴσως, ἐν δὲ ἀγορᾷ· ἐν δημηγορίᾳ δὲ, ἀνόητον καὶ ἐπισφαλές· ἐν δὲ προστάγμασι, καὶ μάλιστα τοῖς πολιτικοῖς καὶ κοινοῖς, εὐτελὲς καὶ ταπεινόν. Ἐντελέστερον δ' εἰπεῖν, ταχύτης ἐν πράξει καὶ λόγοις καὶ κινήμασι, σὺν εὐταξίᾳ, θεῖον μέν τινα καὶ ὑπερφυῆ ἀποφαίνει τὸν ἔχοντα. σπάνιον δὲ, καὶ συνελθεῖν ἅμα πάντα χαλεπώτατον. τὸ δὲ ἐν τούτοις σύμμετρον σὺν εὐταξίᾳ, σεμνόν τε καὶ ἀξιάγαστον, καὶ μεσὸν ὄγκου καὶ σὺν εὐλαβείᾳ, ποθεινὸν ὁρᾶσθαι παρασκευάζει, καὶ ἄρχειν ἐπιτηδειότερον, ὥσπερ καὶ ἐν τοῖς ἀρίστοις ἐσί τι τῷ πλήθει ἐρασμιώτερον. ταχύτης δὲ σὺν ἀταξίᾳ, ἔμπληκτον καὶ μανικὸν, καὶ παραδιορθοῦν ἐνίοτε μεγάλα, καὶ σφάλλον ὡς τὰ πολλὰ παραπλήσια. ἡ δὲ σὺν ἀταξίᾳ βραδύτης, νωθρὸν καὶ ἠλίθιον, καὶ σφάλλον μὲν ἐνίοτε καὶ μεγάλα, κατορθοῦν δὲ ἐλάχιστα, καὶ ταῦτα λίαν ταπεινὰ, καὶ πρὸς τὰς λοιπὰς ἐκείνῃ πράξεις μόνον παραμετρούμενα, κατορθώματα.

Τὸ πρὸς γέλωτας διαθρύπτεσθαι, μετὰ τοῦ ἀχημονεῖν τὴν μορφὴν, καὶ τοῦ ἤθους ἐστὶν ἐξυβρίζειν τὴν εὐσάθειαν.

Αἰσχροῤῥημοσύνης δὲ πάσης καὶ ἀκοὴ καὶ γλῶσσα καθαρευέτω. ἃ μὲν γάρ τις ἀκέων ᾔδεται, ταῦτα καὶ λέγειν οὐκ αἰσχύνεται· ἃ δέ τις λέγων ἐκ αἰσχύνεται, ὅτι καὶ πράττειν οὐκ αἰσχυνθήσεται, μεγάλην παρέσχεν ἀπόδειξιν. Διὸ ὅλως δὲ, γλώσσης φυλάσσε παρολισθῆσαι. ῥήματι γὰρ βραχυλάτῳ πολλάκις ὑποσφαλεῖσα, μεγάλην ἤνεγκε ζημίαν, αὐτὰς τὰς περὶ τοῦ ζῆν ἐχούσας ἀναῤῥίψασα κύβους.

Ἔχε

Ἔχε τὰ ὦτα τοῖς μὲν ἀδικουμένοις ἠνεῳγμένα, πρὸς δὲ τὰς τῶν ἀδικούντων ἐπαγωγὰς καὶ πιθανολογίας ἀποκεκλεισμένα.

Χείλη δὲ κατήγορα καὶ συκοφαντίας ἀποστρέφου. πολλάκις γὰρ παῖδας κατὰ πατέρων καὶ πατέρας ἐξέμηνε κατὰ παίδων, καὶ βίον ἔχισε, συζυγίας καὶ συγγενεῖς ἐπανέστησε κατ' ἀλλήλων. καὶ τί λέγω; πόλεις ὅλας καὶ οἰκίας ἀνέτρεψε μία φωνὴ συκοφάντου.

Μὴ ταχὺς ἦθι ζευγνύειν εἰς φιλίαν. συζεύξας δὲ, παντὶ τρόπῳ τὸν δεσμὸν ἄλυτον συντήρει, ἅπαν τὸ πλησίον ἀνέχων τὸ βάρος, πλὴν εἰ μήπω ψυχῆς κίνδυνον ἐπάγει. αἱ γὰρ πρὸς τοὺς φίλους διαστάσεις τὴν ὅλην προαίρεσιν ἐκφαυλίζουσι τῶν ἀνθρώπων, καὶ ὃ τὸν ὑπαίτιον μόνον, ἀλλὰ καὶ τὸν ἀναίτιον εἰς τὴν αὐτὴν ὑπόνοιαν καταστῶσιν. Ἐκείνοις δὲ κέχρησο φίλοις, οἳ πρὸς ἑτέρους κατὰ πάντα καιρὸν ἄδολον διεσώσαντο τὴν φιλίαν, καὶ μήτε εὐπραγοῦσι βασκανίας ἐπέβαλον ὀφθαλμὸν, μήτε ἠμέλησαν δυσπραγούντων. πολλοὶ γὰρ κακῶς μὲν πράττουσιν ἐπεκέρησάν τε καὶ συνήργησαν τοῖς φίλοις, εὖ δὲ φερομένων ὁρᾶν ἐκ ἠνέγκαν τὴν εὐημερίαν· καὶ ὃς ἂν ἔλεγξε καιροὺς συμπαθείας, τοῦτος ἐφώρασε τὸ πάθος τοῦ φθόνου. Κτῶ τοίνυν φίλους, μὴ τοὺς φαύλους, ἀλλὰ τοὺς ἀρίστους. ἐκ γὰρ τῶν φιλουμένων ὡς τὰ πολλὰ κρίνεται τὰ ἤθη τῶν φίλων· καὶ διὰ μὲν τῶν σπουδαίων ῥᾴδιον ἄν τις, καὶ παρασφαλεὶς, ἐπανορθοῖτο· οἱ φαῦλοι δὲ καὶ τὴν προσοῦσαν λυμαίνονται καλοκαγαθίαν. καὶ οἱ μὲν καὶ τὸ λεῖπον εἰς ἀρετὴν, δι' ἑαυτῶν ἐπιτειχίζοντες, ἀνελλιπὲς φαίνεσθαι ποιοῦσιν· ἡ δὲ πρὸς τοὺς φαύλους ἐπιμιξία, καὶ ὅπερ ἐστὶν ὑπόλοιπον ἀρετῆς, νόθον ἀποφαίνει. Μὴ ζήτει δὲ παρὰ φίλων ἀκούειν τὰ ἡδέα, ἀλλὰ τὰ ἀληθῆ μᾶλλον. εἰ γὰρ ἐχθροῖς μὲν, οὐδ' ἀληθεύουσι, πιστευτέον, φίλοις δὲ διέφθορε τὰ τῆς ἀληθείας, καὶ τὸ ἡδὺ λέγειν ζητοῦσι κἀκεῖνοι, πόθεν ἡμῖν ἀλλαχόθεν ἡ τῆς ἀληθείας ἔσοιτο γνῶσις, καὶ ἡ ἐπιστροφὴ ἐκ τῶν ἐκ εὐαγῶς ἐνίοτε παρ' ἡμῶν λεγομένων ἢ πραττομένων; Διὸ μέγιστον ἡγοῦ φίλους κολάκων διαφέρειν. οἱ μὲν γὰρ κατὰ πρόσωπον ἐπαινοῦντες, σέ τε τῶν, ὡς εἰκὸς, ἁμαρτανομένων συναίθησιν λαβεῖν ἐκ ἐῶσι, καὶ μείζω ταῦτα πρὸς τοὺς ἄλλους ταῖς διαβολαῖς ἀποτελοῦσιν· οἱ δὲ καί σε τῷ διὰ φιλίας ἐλέγχῳ συνιδεῖν τὸ παρανομηθὲν μᾶλλον δυναμοῦσι, κἂν τι δέῃ πρὸς τοὺς ἔξω λέγειν, ἀντὶ κατηγορίας ἀπολογίαν τοῦ πραχθέντος ἐκμηχανῶνται. Ὅσον ἔν τῷ ἐπὶ κακίαν προκόπτειν τὸ ἀρετὴν ἀσκεῖν διενήνοχε, καὶ τοῦ διαβάλλεσθαι ἐν τοῖς ἀρχομένοις τὸ τὰς διαβολὰς διαλύειν, τοσοῦτον δεῖ παρά σοι τὰς εὔνους πλέον ἔχειν τῶν κολάκων.

Τῶν ἀποῤῥήτων, ἃ μὲν τὴν σὴν ἀρετὴν αὐξάνει, κοινώνει τοῖς φίλοις· ἃ δὲ τὴν γνώμην φαυλίζει, μήτ' αὐτὸς μετέρχου, μήτε τοῖς φίλοις ἀνατίθει· ἄριστον μὲν γὰρ τοῦτο καὶ χωρὶς αἰτίας ἑτέρας. Πλήν γε δὴ, καὶ εἰς κόρον, οἷα πολλὰ τὰ ἀνθρώπινα, τῷ φίλτρῳ τραπέντος, μᾶλλον τῆς παραινέσεως τὸ χρήσιμον καθορᾶται· τὸ μὲν γὰρ φαῦλον

λον τῶν κρυφίων, τότε μάλιστα τοὺς λογισμοὺς τῷ συνεγνωκότος ὑποτρέχον καὶ διακυμαῖνον, θᾶττόν τε, καὶ σὺν ἐδενὶ ὄκνῳ, τῆς ἀγάπης ἀποσήσει, καὶ πρὸς ἐπιστροφὴν ἰδεῖν ἐκ ἐάσει· σοί τε διαβολὴν βαρεῖαν, ἔκφορον γεγονὸς, ἐποίσει, καὶ πρὸς τὸν ἐξεπόντα χαλεπώτερον διαθήσει. τὸ δὲ χρηστὸν τόν τε συνεγνωκότα ῥαγῆναι τῆς φιλίας ἐπικαταχέσει, δεσμῷ κρατίστῳ, τῇ ἀρετῇ, βιαζόμενον, καὶ εἰς ἔπαινον τῆς σῆς σπουδαίας γνώμης ἐπὶ νῆν ἐρχόμενον, διανασήσει, καὶ σε δηλονότι ταῦτα συνορῶντα, οὐκ ἀηδῶς ἀναλαβεῖν, εἴ τι παρηνέχθης, τήν τε πρὸς αὐτὸν ὁμιλίαν καὶ τὴν ἐν τῷ πόθῳ σχέσιν ἀναπείσει. Λεὶ μὲν ἓν φίλους εὐλόγει, μάλιστα δὲ τοὺς ἀπόντας ἐπὶ τῶν παρόντων. οὕτω γε γὰρ καὶ τὸ τῆς κολακείας διαφύγοις, ὀδ' ἴχνος αὐτῆς ἐν σοὶ φαίνεσθαι παρασκευάζων, καὶ τοῖς φίλοις ἔσῃ πράτλων κεχαρισμένα, τοιοῦτον σεαυτὸν εἶναι τοῖς παρῶσι πισώσας, οἷος αὐτοῖς περὶ τῶν ἀπόντων ἐγνώσθης.

Οὕτω δὲ σεαυτὸν φιλίᾳ περιφράξας, ἔσῃ τοῖς μὲν εἰς ἑτέρους καὶ εἰς τὰ κοινὰ πλημμελῆσιν ἀπαραίτητος, τοῖς δὲ εἰς σὲ ἁμαρτάνουσι συμπαθέστατος. διὰ μὲν γὰρ ἐκεῖνα εὐνομία ἔσαι τῇ πολιτείᾳ, καὶ ἡ σὴ περὶ τοὺς ἀρχομένους ἐπίδηλος σπουδὴ καὶ κηδεμονία· διὰ δὲ τοῦτο τὸ φιλάνθρωπον τῆς γνώμης καὶ ὁ βασίλειος ὡς ἀληθῶς ἀνακηρύτλεται τρόπος. οἱ μὲν γὰρ τύραννοι τὰ κοινὰ τῶν ἀδικημάτων καὶ τὰ εἰς ἀλλήλους πολλάκις ὑπερορῶσι, πικρῶς δὲ τὰ εἰς ἑαυτοὺς ἐξετάζουσι· βασιλέως δὲ ἐστι καὶ ἀρχῆς ἐνιομωτάτης ἔργον, τὰ μὲν εἰς ἑαυτὸν φιλανθρώπως φέρειν, τὰ δὲ εἰς κοινὰ καὶ εἰς ἀλλήλους δικαίως εὐθετεῖν καὶ διεξάγειν.

Ὥσπερ πολλῶν ἐπαίνων ἄξιος ὁ μεγάλην ἐξουσίαν τῷ ἀδικεῖν λαβὼν, καὶ τὰ δίκαια πράτλων· οὕτω πολλῶν ὑπεύθυνος ψόγων ὁ μηδενὸς ἐνδεὴς τῶν ἀναγκαίων, καὶ εἰς τὰ ἀλλότρια τοὺς χεῖρας ἐκτείνων. ἀνδρὶ μὲν γὰρ πενομένῳ πρόφασις, εἰ καὶ παράλογος, τῷ ἀδικεῖν, ἡ πενία· ἀνὴρ δὲ δυνασείαν ἔχων, καὶ ἀπορίαν ἐκ ἔχων, ἀναπολόγητον ἔχει τὴν ἀπὸ τῷ ἀδικεῖν ἁμαρτίαν.

Ὅστῳ δέ τις προέχει τῇ ἀρχῇ, τοσούτῳ χρεωστεῖ πρωτεύειν καὶ τῇ ἀρετῇ. ὁ δὲ τἐναντίον ποιῶν, τρία ἅμα καὶ κάκιστα ἐπίλελεῖ· ἀπόλλυσιν ἑαυτόν· τοὺς ὁρῶντας εἰς κακίαν παρακαλεῖ· βλασφημεῖσθαι παρασκευάζει τὸν Θεὸν, ὅτι τοιούτῳ τηλικαύτην ἐνεχείρισεν ἀρχήν. διὰ τοῦτο παντὶ μὲν ἀνθρώπῳ φευκτέον ἡ κακία, μάλιστα δὲ τοῖς ἐν τῇ ἀρχῇ.

Ἄρχε τοίνυν τῶν ὑπηκόων, μὴ πεποιθὼς τυραννίδι, ἀλλὰ τῇ τῶν ἀρχομένων εὐνοίᾳ. εὔνοια γὰρ μεῖζον ἀρχῆς βάθρον καὶ ἀσφαλέστερον, ἢ φόβος. τοῦτο δὲ ἀρετῶν τε κτῆσις ποιεῖ, καὶ οἱ περὶ τὸ ὑπήκοον πόνοι καὶ φροντίδες. ἔτω δὲ αὐτός τε ὡς ἀληθῶς βασιλικῶς καὶ ἡδέως βιώσεις, κἀκείνοις ἐλευθέραν ἐπιβελῆς καὶ συμφορῶν ἀλογίστων τὴν πολιτείαν συντηρήσας, ἀείμνηστον σαυτῷ κλέος τὸν ἅπαντα χρόνον καταλείψεις.

Νόμων

Νόμων τὲς ἀκριβεςάτες ἐπαίνει καὶ ἀποδέχε· καὶ πρὸς ἐκείνες βλέπων, τὸν σεαυτῦ ῥύθμιζε βίον· μὴ μέντοι κατὰ τὰς ἐκείνων ψήφες τὸ ὑπήκοον ἀπαραιλήτες ὠσπράτλε τὰς τιμωρίας, ἀλλὰ διὰ τῶν φιλανθρωποτέρων μᾶλλον παιδαγώγει. ἕτω τε γὰρ φοβερὸς, δι' ὧν σεαυτὸν ἀκριβολογῆς, τοῖς ἁμαρτάνεσιν εἶναι δόξεις, καὶ ἀνεπαχθὴς τοῖς ὑπηκόοις.

Δεῖ δὲ ἐγκρατῶς ἄρχειν, ἢ τῷ κολάζειν, ἀλλὰ τῷ δοκεῖν κολαςικὸν εἶναι. τῦτο δὲ ἦθος εὐσαθὲς ποιεῖ, καὶ ἡ τῶν οἰκείων τρόπων σεμνότης καὶ ἐπιμέλεια. Ὀργίλων δὲ μᾶλλον ἀνθρώπων ἢ φρονίμων, αἱ κολάσεις· οἵτινες ἀπορίᾳ τῦ δημαγωγεῖν σωφρόνως, ἐπὶ τὸ κολάζειν τρέπονται ῥᾳδίως. καὶ τὸ μὲν καὶ ὁ τυραννικώταλος πράξειεν ἄν· τὸ δὲ, μόνος ὁ ἀρχικώτατος· εἴπερ ἄρχοντος ἀρετὴ, μὴ φθείρειν, ἀλλὰ πλείες καὶ βελτίονας ποιεῖν τὲς ἀρχομένες.

Ἄρχοντος μὲν τινες ἔφησαν ἀρετὴν, ἐκ μικρᾶς μεγάλην πόλιν ποιῆσαι· ἐγὼ δὲ μᾶλλον ἂν φαίην, τὸ ἐκ φαύλης σπεδαίαν παρασκευάσαι. τῦ μὲν γὰρ καὶ καιρῶν πολλάκις φορὰ γέγονε παρεπτία· τὸ δὲ ἐκ ἔστιν εἰ μὴ παρὰ τῦ ἄριςα διοικῦντος γενέσθαι. ὃν σὺ παραζηλῶν, δι' ὧν κατορθοῖς, ἀρετῇ τὴν τῶν ἀρχομένων αὔξεις πολιτείαν.

Ὥσπερ τεῖχος σαθρὸν, κἂν οἰκίας ἔνδον ἔχῃ λαμπρὰς, καὶ ἀέρων εὐκρασίαν, καὶ ὠνείων ἀφθονίαν, ὅμως τὴν πόλιν ἐξευτελίζει· ἕτως οἱ περὶ τὸν ἄρχοντα φαῦλοι, καὶ τὸν ἐκείνε συνδιαβάλλεσι τρόπον. οἱ γὰρ ἐκείνων τῆς πονηρίας λαμβάνοντες πεῖραν, καὶ τὸν ὑπ' αὐτῶν δορυφορέμενον παραπλήσιον ὑπολαμβάνεσιν εἶναι.

Μηδενὸς παρανομίαν, κἂν δοκῇ δι' αὐτῆς εὐημερεῖν, ἐπαινέσης. ἐκεῖνό τε γὰρ μᾶλλον εἰς κακίαν ὑπαλείψεις, καὶ σεαυτὸν εἰς παραπλησίαν πρᾶξιν καιρὸν ἐπιζητεῖν ἀπελέγξεις. ὁ γὰρ πρὸ καιρῦ ταῦτα, δι' ὧν ἐπαινεῖ, προθυμέμενος καὶ τιμῶν, τί ἂν ἐ ποιήσει τοιᾶτε καιρῦ παραπεπτωκότος;

Ὁ τῶν ἀρχόντων τρόπος, νόμος γίνεται τοῖς ὑπόχειρα. εἴ τι ἔν τε πλῆθος ἐξαμαρτάνων εἰς τὸν ἄρχοντα τὴν αἰτίαν ἀναπέμπει, πόσον οἴεις αὐτὸν ἀρετῆς χρεωστεῖν ἐπιμελεῖσθαι, καὶ ἀεὶ ἐπὶ τοῖς καλοῖς ἐγρηγορέναι;

Πάσης πράξεως βελὴ προηγείσθω. αἱ γὰρ ἀνεπίσκεπτοι πράξεις, ὡς τὰ πολλὰ σφαλεραί· καὶ τὸ καλορθέμενον, δικαίως ἂν αἰτίας ἄλλης ἔργον νομισθείη μᾶλλον, ἢ τῆς τῦ πολλάκις παρασφαλέντος ὁρμῆς καὶ περιπετείας.

Ἅπερ χεῖρες πολλῶν καὶ πολλάκις ἐκ εἰργάσαντο, ταῦτα βελὴ μία καὶ ἐφάπαξ κατεπράξατο. δι' ὃ εὐβουλίαν πρετίμα πολυχειρίας.

Προνοίας ἐπικερος ἡ μετάνοια. ἃ τοίνυν ἐκείνην διέλαθε καὶ ἐκπίπτει, αὕτη ταῦτα ἐπανελομένη διορθέθω καὶ διασωζέτω.

Ὁ φθόνος πάσῃ μὲν ψυχῇ μεγάλη νόσος· μεγίςη δὲ μάλιςα τοῖς ἐν ἐξεσίᾳ. ἀνάγκη γὰρ, οἷς συνεργοῖς μέλει χρῆσθαι καὶ βίῳ καὶ πόλεως πρὸς εὐδαιμονίαν, τέτες ὁρᾶν ὡς ἐχθρὲς, διὰ τὴν ἐνεσαν ἀρετὴν, καὶ ἐπι-

ἐπιβουλεύειν ὡς πολεμίοις. ἢ τί ἂν εἴη ὀλεθριώτερον ἢ ἀφρονέστερον;

Ὅσον δὲ δεῖ φυγεῖν τὸ φθονεῖν, τοσοῦτον διώκειν τὸ φθονεῖσθαι. ἄρχοντι δὲ μάλιστα πρέπει, ᾧ μηδ' ἐξ ἑτοίμου ἡ ἀπὸ τῶν φθονούντων φέρεται βλάβη. Εἰ δεῖ δὲ ὅμως τὸν φθόνον περιστέλλειν, (πολυμήχανον γὰρ καὶ πάντολμον τὸ θηρίον,) ἐκ ἀρετῆς ἐλαττώσει, μετριότητι δὲ φρονήματος, καὶ ἀφαιρέσει καὶ περικοπῇ τῆς ἐν τοῖς ἐκ ἀναγκαίοις ἐπιδείξεως καὶ πλεονεξίας, τὰς αὐτοῦ βολίδας διακρουστέον.

Ὅταν τις ἄρχῃ ἑαυτοῦ, τότε νομιζέτω καὶ τῶν ὑπηκόων ἄρχειν ἀληθῶς. ὅταν γὰρ ἴδωσι τὸν ἐφεστηκότα ἄρχοντα παθῶν καὶ κρατοῦντα ἡδονῶν, τότε πόθῳ καὶ ἑκόντες καὶ αὐτοὶ ὑποταγήσονται. ἂν δὲ ἀνδραπόδου ἴδωσιν ἡδονῆς καὶ παθῶν, ἀφόρητον ἡγήσονται ἀνδραπόδῳ δουλεύειν αὐτοί.

Ἄριστον νόμιζε δικαστὴν, ὃς τάχει μὲν λογισμῶν τὴν τοῦ δικαίου φύσιν θηρεύει, θηρεύσας δὲ σὺν ὀρθότητι προάγει· καὶ πρᾶξαι μὲν ἄνεσιν τοῖς ἀδικουμένοις ὀξύς, βραδὺς δὲ κολάσαι τοὺς ἁμαρτάνοντας· καὶ κρείττων μὲν χρυσίου, οὐκ ἐλάττων δὲ δυναστείας· καὶ κρατῶν μὲν ὀργῆς, οὐχ ἡττώμενος δὲ συμπαθείᾳ· καὶ μόνην μὲν συγγένειαν καὶ φιλίαν καὶ δόξαν οἶδεν, ἐν τῷ δικάζειν, τὴν δικαιοσύνην· μόνην δὲ ἀλοτριώσιν καὶ ἔχθραν καὶ ἀδοξίαν, τὴν ἀδικίαν.

Μηδὲν τῆς πρὸς τὸ ὁμόφυλον διαθέσεως εὐχερῶς καὶ χωρὶς ἐμφανοῦς αἰτίας μεταβάλλοις. Εἰ γὰρ καὶ ὑπολανθάνουσαι παρ' αὐτῶν αἰτίαι τὴν πρὸς αὐτοὺς μεταβολὴν δικαίαν ποιοῦσιν, ἀλλ' ἔν οἱ ταύτας μὴ συνορῶντες, ἐκ ἐκείνους αἰτιάσονται τῆς σῆς περὶ αὐτοὺς ἀλλοιώσεως, σὲ δ' ἀρρωστίαν καὶ εὐχέρειαν κατηγορήσουσι γνώμης.

Οὐχ ἧττος ἡ ἐν πολέμῳ ἀνδρεία τὸν ἄρχοντα κοσμεῖ καὶ σώζει, ὡς ἡ πρὸς τοὺς ὁμοφύλους εὐμένεια καὶ φιλανθρωπία. πολλοὶ γὰρ πολεμίων κρατήσαντες, ὑπὸ τῶν οἰκείων δι' ὠμότητα διεφθάρησαν· καὶ πολλοὶ παρὰ μικρὸν ἁλῶναι πολεμίοις κινδυνεύσαντες, ὑπὸ τῶν ὁμοφύλων διεσώθησαν, ἀδ' αὐτὸ τὸ ζῆν ὑπὲρ τῆς σωτηρίας προτιμησάντων τὸν ἄρχοντος.

Ἄρχοντας δεῖ καθιστάναι, μάλιστα μὲν πάσαις πλουτοῦντας ταῖς ἀρεταῖς· εἰ δὲ μή, πάντως γε δικαιοτάτους. καὶ γὰρ ἃ τοῖς ἄρχουσι παρανομεῖται, ταῦτα τὸ μῖσος καὶ τὴν ὀργὴν τοῦ πλήθους εἰς τὸν προχειρισάμενον ἀναφέρει.

Πολλαχόθεν δεῖ τὸν ἄρχοντα θηρεύειν τῶν ὑπηκόων τὰς γνώμας, καὶ ἔτω κοινωνοῖς χρῆσθαι φιλίας καὶ ἀρχῆς καὶ βουλευμάτων· πρῶτον, ἐξ ὧν αὐτὸς τὰ κατὰ τὴν αὐτοῦ οἰκίαν οἰκονομεῖ· δεύτερον, ἐξ ὧν γυναικί τε καὶ παισὶ καὶ δούλοις συνδιατίθεται· τρίτον, ἐξ ὧν κέχρηται τοῖς φίλοις· τέταρτον, ἐξ ὧν πρὸς τοὺς ἐκ γειτόνων διάκειται· καὶ πέμπτον, ἐξ ὧν ἔχθραν τε ἀναδέχεται καὶ ἀμύνεται, καὶ πάλιν, οἷς κατατίθεται καὶ διαλύεται. ἱκανὰ γὰρ ταῦτα φύσιν ἀνδρὸς τεκμηριῶσαι, καὶ δεῖξαι γυμνὸν προσωπεῖόν τε καὶ τῆς ἐπὶ σκηνῆς ὑποκρίσεως τὸν ἄνθρωπον θεωρῆσαι.

Τότε κριτὴς ἄριστος ἔσῃ τῶν ἄλλων, ὅτε τὰ σαυτοῦ ἐκισκοπῶν, λόγον ἑκάστης πράξεως

πράξεως ὑπὸ συνειδότι κριτῇ δίδως, καὶ διόρθωσιν ἐπινοεῖς τῶν ἡμαρτημένων. Ἐπεὶ πῶς τὰς ἄλλας ἐπιτιμῶν ἐκ ἐρυθριάσεις, ἐφ' οἷς αὐτὸς τὰ ὅμοια ἐξαμαρτάνεις; πῶς δὲ ἐκείνας οἴει σοι διαλιθῆναι, ἡνίκα ἐν οἷς ἀνεύθυνόν σε καθορῶσιν, αὐτοὶ δίκας εἰσπράττεσθαι δικαιῶνται;

Ἐπαίνει τὰς ἀρίστας πράξεις· ἐπαίνει δὲ μὴ λόγῳ μόνον, ἀλλὰ δι' ὧν αὐτός τε μάλιστα τὰ ὅμοια πράττοις, καὶ δι' ὧν τὰς μιμήσεις τῶν λοιπῶν προκρίνων, ἐντίμως ἀποδεικνύοις. τὸ μὲν γὰρ καὶ τῶν τυχόντων, τόδε τῶν ἄρχειν ἀξίων.

Προνόει πάντων, τῶν μὲν ἐπιεικῶν, ὡς ἂν ἄριστοι γένωνται, καὶ τῆς ὀφειλομένης αὐτοῖς ἀπολαύσωσι τιμῆς καὶ τῆ προνομίᾳ· τῶν δὲ μὴ τοιούτων, ὡς ἂν βελτιωθῶσι τὰς γνώμας, καὶ τῆς ἀπὸ τῶν νόμων ῥυθῶσιν ἀτιμίας. τοῦτο γὰρ ὡς ἀληθῶς ἀρχῆς ἐννόμου καὶ ἐπισασίας ἔργον.

Τὰς πρὸς ἀλλήλας τῶν ἀρχομένων ἔρεις εἰς τὰς πολεμίας τρέπων, ἐν τοῖς ὑπὲρ τῆς πατρίδος ἀγῶσι μετατίθει. τυράννων μὲν γὰρ, σασιάζειν τὰ πλήθη· ἐν γὰρ τῇ κοινῇ φθορᾷ καὶ διχοσασίᾳ ἡ τυραννὶς τὴν ἀσφάλειαν ἔχει. ἄρχοντος δὲ καὶ βασιλέως, ἀσασίαστον συντηρεῖν τὴν ὁμόνοιαν τῶν ὑπηκόων· ἐν γὰρ τῇ τῶν ἀρχομένων σωτηρίᾳ τὸ βάθρον αὐτοῖς πέπηγε τῆς ἐξουσίας.

Ὥσπερ δεῖ τὸν ἄρχοντα φοβερὸν εἶναι τοῖς ἀδικοῦσιν, οὕτω φυλακὴν καὶ ἀσφάλειαν τῶν μηδὲν ἀδικούντων, ἀλλὰ κατὰ τοὺς νόμους πολιτευομένων.

Τρία ἐστὶν ἐν ἀνθρώποις, τιμωρία, ψόγος, ἔπαινος, εἰ βούλει δὲ, καὶ εὐεργεσία. ἀλλὰ τῆς μὲν οἱ πολέμιοι ἄξιοι· ψόγου δὲ, οἱ μέτρια τῶν πολιτῶν ἁμαρτάνοντες· ἐπαίνου δὲ καὶ εὐεργεσίας, οἱ διαφέροντες κατορθώμασι. Εἰ δέ τις εἰς τὴν τῶν πολεμίων τόλμαν καὶ μίμησιν ἐξαχθείη, αὐτὸς καὶ τὴν ἐκείνων ποινὴν εἰς ἑαυτὸν ἐπιστρέφει. Ὁ δέ τι τούτων ἀμείβων, καὶ τὴν διάταξιν ἐπαλλάσσων, ἴσος ἐχθρὸς τῆς πολιτείας πλέον ἢ οἱ πολέμιοι. ὅ, τε γὰρ τοὺς πολεμίους εὐεργετῶν, προδότης. ὅ, τε τοὺς φαύλους ἐπαινῶν, τὴν πόλιν ἀνατρέπει· ἐπὶ κακίαν γὰρ παρακαλεῖ τοὺς πολίτας. καὶ ὁ τοὺς κατορθοῦντας μὴ τιμῶν, εἰς τὴν αὐτὴν ἀκοσμίαν τὴν πολιτείαν καταστρέφει.

Χαλεπὸν μὲν, φόβον ἀγάπῃ κεράσαι. οἱ γὰρ φιλοῦντες ὡς ἐπίπαν τὸ δέος οὐκ ἔχουσι, καὶ οἱ δεδιότες φιλεῖν ἐκ ἐθέλουσι. σὺ δὲ δίελε· καὶ τοὺς μὲν ἀρίστους φιλεῖν παρασκεύασον, ἐδὲν γὰρ δεῖ δέους ἐπὶ τοῖς τοιούτοις· τοὺς δ' ἄλλους ἀνάγκη φοβεῖν, ἵνα τῶν φαύλων ἀπέχωνται. φοβήσονται δὲ χωρὶς μίσους, ἂν μὴ μετ' ὀργῆς ὁρῶσι κολάζοντα, ἀλλ' ὡς πατέρα παιδεύοντα, καὶ ἐν μὲν τοῖς ἁμαρτήμασιν ἐκ ἡδέως τιμωρέμενον, ἐν δὲ ταῖς συμφοραῖς καὶ τοῖς δυστυχήμασιν ἀπροφασίστως ἐπικουρεῖν προθυμέμενον.

Οἱ χρώμενοι τοῖς ἐκ φύσεως πλεονεκτήμασιν εἰς πονηρίας ὑπηρεσίαν, ἀλλὰ μὴ πρὸς τὴν τῶν πλησίον εὐεργεσίαν, ἴσοι καὶ τὴν φύσιν φαυλίζουσι, καὶ τῷ δημιουργῷ τὴν περὶ αὐτοὺς φιλοτιμίαν εἰς ὕβριν καὶ ἀχαριστίαν περιτρέπουσιν.

Ὥσπερ αἰσχρὸν καὶ ταπεινὸν, πρὸς ἡδονὴν ὁμιλεῖν τῷ πλήθει· ἕτως ἐπικίνδυνον καὶ σφαλερὸν, ἀεὶ σοβαρεύεσθαι καὶ ὑπέρογκον ὁρᾶσθαι. δεῖ τοιγαροῦν ἑκάτερον ἄκρον φυγόντα, ὡς ἀρετὴν τὴν μεσότητα διώκειν, καὶ καιροῖς ἰδίοις τὸ πρόσφορον ἀπονέμειν.

Προπετὴς ὅρκος, πρόχειρος ἐπιορκία. ἄλλως τε δὲ καὶ τὸ ὀμνύειν ὅλως, ἦθος ἐκ εὖ βεβηκότος, ἐδὲ φρονήματος εὐγενοῦς· ὁ δὲ εὐσταθὴς καὶ μεγαλόψυχος ἀνὴρ αἰσχυνθήσεται τοὺς λόγους ὅρκῳ πιστοὺς ἀποφαίνειν, καὶ τὴν διὰ τῶν οἰκείων τρόπων πίστιν ἀτιμάζειν. λίαν ἄρα συμφερόντως καὶ κηδεμονικῶς ὁ δεσποτικὸς νόμος τὸν ὅρκον κωλύει.

Ἃ μὲν εὖ πάθοις, ἀεὶ μέμνησο· ὧν δ' ἂν εὖ ποιήσαις, θᾶττον ἐπιλανθάνου. τὸ μὲν γὰρ χρηστότητος καὶ εὐγνωμοσύνης, τὸ δὲ καθαρᾶς μεγαλοψυχίας, καὶ καθαρὰν φυλάττει τὴν εὐεργεσίαν.

Εὐεργεσίας καὶ συμφορὰς ὀνειδίζειν, τῆς αὐτῆς εἶναι νόμιζε κακοήθειας καὶ ἀπανθρωπίας.

Ἀπάτη μὲν παντάχοῦ ἀσθενείας ὁμολογία. ἀλλ' εἰ μὲν ἐν φίλοις, κακόν τε ἕλκος καὶ ὑπερβαλλούσης μοχθηρίας· εἰ δὲ πρὸς ἐχθροὺς καὶ πολεμίους, μηδὲν μὲν προϊδόντας, ἀ πόρρω στρατηγίας· κοινολογίας δὲ γενομένης, καὶ ταύτην ἐκ ἀθετοῦντας, πόρρω ἀρετῆς καὶ ἀνδραγαθίας. διὸ ὁ μηδὲ τοὺς πιστεύοντάς σοι πολεμίους ἀπάτῃ μετέρχου· εἰ γὰρ καὶ πολέμιοι, ἀλλ' ὅμως ἀδὲν ἔλαττον ἀπατεὼν καὶ πλάνος ὁ τοὺς πεπιστευκότας ἐξαπατήσας.

Προδότην ὡς τὰ πολλὰ οἱ ἄνθρωποι προδιδόασι μὲν φίλοις, προδεδωκότα δὲ μισοῦσι· σὺ δὲ ἐπίσκοπει, κἂν μὲν ἐπιβουλευθεὶς ὑπὸ τῶν οἰκείων καὶ χαλεπῶν παθῶν πρόδωκεν, ἐκ ἀνέλπιστόν ἐστι φίλον καὶ καλὸν γενέσθαι· ἂν δὲ μηδὲν, καὶ σαυτῷ μηδὲν ἔλαττον νόμιζε προδότην. τὸ μὲν γὰρ ἀμείψασθαι κακοῖς τοὺς λελυπηκότας, ἀνθρώπινον πάθος· τὸ δὲ τηλικαύτης ἄρξαι κακουργίας, ἀνιάτου μοχθηρίας.

Χρυσὸς ἅπαντα τὰ ἀνθρώπινα φρέφει. φύλαττε τοιγαροῦν τὸ τῆς πατρίδος ἀνύβριστον ἔθος· ἄχρηστον καὶ νομίζων καὶ πᾶσιν ἐπιδεικνύς, τὸν τοῖς φιλοῦσιν ἰσχυρὸν ἐπίβουλον, χρυσόν.

Δεῖ τὰ μὲν ἴδια συμπίπτοντα, εὐχαρίστως καὶ γενναίως φέρειν· τὰ δὲ τῶν ὑπηκόων, συμπαθῶς καὶ ἐκ ἀναλγήτως. τὸ μὲν γὰρ καρτερίας καὶ φρονήματος ἀνδρείου· τὸ δὲ ὀλιγωρίας, καὶ ἀνάξιον ἀρχικῆς προνοίας καὶ ἐπισασίας.

Ἐχθροὺς ὁμοφύλους μὴ ἀμύνασθαι, ἔστι μὲν θεῖος καὶ φιλάνθρωπος νόμος, ἔστι δὲ καὶ πολὺ τὸ χρήσιμον ἐν αὐτοῖς τοῖς πράγμασι παρέχων. ὁ μὲν γὰρ ἀμυνόμενος ἔχει πάλιν χαλεπώτερον ἐχθρὸν, ὁ δὲ εὐεργετῶν ἢ φίλον παρεσκεύασεν ἀντὶ ἐχθροῦ, ἢ πάντως πραότερον ἐχθρόν.

Μηδὲν ὧν ἄλλοις ἔγνως ἐπαγγέλλειν, φαίνου παραβαίνων· ἡ γὰρ ἐν τισὶ ψευδολογία τὸν ὅλον τρόπον ἄπιστον δεικνύει, καὶ τοῖς διαψευθεῖσιν ἐκ ἔστιν αἰσχύνῃ μὴ ἀμείβεσθαι τοῖς ὁμοίοις. Παντὶ μὲν ἔν ἀνθρώπῳ διὰ τοῦτο φευκτέον τὸ ψεῦδος, μάλιστα δὲ τοῖς ἐν δυνασείᾳ. τοῖς μὲν γὰρ ἄλλοις ἔσθ' ὅτε γίνεται ἀπολογία ἡ ἀδυναμία· τοῖς δὲ ἐκ ἔστι κατα-

Φυγὴ

Φυγὴ μὴ ἐχὶ παντὶ τρόπῳ μοχθηρὰς τὰς γνώμας ἐλεγχθῆναι.

Τὰς μετὰ σφοδρότητος ὑποχέσεις εὐλαβεῖσθαι χρή. Εἴτε γὰρ παράσχοις, τὴν πλείστην προαφεῖλες χάριν τῇ σφοδρότητι τῆς ἐπαγγελίας, ταύτην προκαλαμερίσας καὶ εἰς δύο τὴν μίαν δωρεὰν καλασμικρύνας. Εἴτε μὴ παράσχοις, διπλῆν ἀπήνεγκας τὴν αἰσχύνην, ὅτι τε σφοδρῶς ὑπέσχε, καὶ ὅτι μηδὲν ὧν ὑπέσχε παρέσχες· καὶ δυσμενὴς ὤφθης ἀντὶ φίλε, ἀφεῖλες γὰρ ὃ παρέσχον αἱ ἐλπίδες. ἄλλως τε δὲ καὶ αἱ σφοδραὶ ὑποχέσεις ἁρμόζουσι τοῖς ἐλλίαν πιστευομένοις· ἐλέγχουσι δὲ καὶ ὡς ἐνδεμονίας μᾶλλον ἢ χρείας, ὑπολαμβανόμεναι χάριν.

Ἄξιος χαρίτων ὁ εὐλαβούμενος αὐτῶν καὶ τὴν φύσιν καὶ προσηγορίαν, καὶ μὴ παυόμενος μελετᾶν ἕως ἂν (αὐτὰς) ἀνταποδῶσῃ. ὥσπερ δὲ ἀνάξιος χαρίτων ὁ ἀχαριστίᾳ γνώμης ἀμείβων τὸν εὐεργέτην, ἅτως ἄξιος τῆ τῆς εὐεργεσίας ἀξιώματος ὁ χαριζόμενος ἐφ' ᾧ μὴ ἀνταπολαβεῖν τὴν χάριν.

Μηδὲν παράνομον μηδὲ φίλοις χαρίζου. ἂν μὲν γὰρ ἐπιεικεῖς ὦσι, μισήσουσι μᾶλλον παρανομοῦντα, ἢ φιλήσουσι χαριζόμενον· ἂν δὲ φαῦλοι, διπλῆν ζημίαν ὑπέμεινες, κακὸς εὐεργετῶν, καὶ ἀγαθοῖς ἀπεχθανόμενος. καὶ χωρὶς δὲ τούτων, τέρψει προσκαίρῳ καὶ ἰδιωτικῇ εἴδιον ὄνειδος ἁλλάξασθαι καὶ κοινὸν, μεγάλης ἀνοίας.

Αἱ χάριτες ταῖς ἀναβολαῖς καὶ παρατάσεσι τῷ χρόνῳ, ὥσπερ εἰς γῆρας ἐλθοῦσαι, τὸ οἰκεῖον μαραίνουσι κάλλος· τὸ γὰρ ἄνθος ἀποβαλοῦσαι τῆς προθυμίας, μεθ' ἧς ἀμήχανόν τινα καὶ λαμπρὰν ἐποιοῦντο τὴν τέρψιν, ἐ καθ' ὥραν φέρουσι τὴν εὐφροσύνην.

Αἱ χάριτες ἡμιτελεῖς ὅσαι ἐκ ἐθέλουσι χάριτες εἶναι· ἔσονται δὲ, ἐπειδὰν τετελειωμέναι ὦσιν. ὁ δὲ ταύτας ἐξ ἡμισείας καλατιθεὶς, ἑαυτὸν ἐζημίωσε, καὶ τὸν λαβόντα ἐκ εὖφρανεν· ὁ γὰρ ἡμίτομον τὴν χάριν ἀπειληφὼς, οὐχ ἕτω τῷ ἡμίσει εὐφρανθήσεται, ὡς ὑπὲρ τὸ ἀφαιρέμαλος ἀνιάσεται.

Ὁ τὰς χάριτας ὀνειδίζων ὅμοιός ἐστι τῷ γεωργῷ, σπείροντι μὲν προθύμως, ἐπαφιέντι δὲ χοίρους καὶ θηρία τῷ σπόρῳ. ὡς γὰρ ἐκεῖνος καὶ τὸ σπέρμα καὶ τὸν ἐξ αὐτοῦ λυμαίνεται καρπὸν, ἕτω καὶ ὅτος καὶ τὰ καταβληθέντα καὶ τὴν βλαστάνουσαν αὐτῷ προσαπόλυσιν εὐχαριστίαν.

Μηδὲ κατὰ πρώτας εὐεργεσίας, ἔπειτα δὲ ἀμελῶν, νόμιζε τὴν ἐξ ἀρχῆς σοι εὔνοιαν τὸς εὐεργετηθέντας διαφυλάττειν. πολλὸς γὰρ αὐτὸς ἐγὼ πεῖρᾳ διέγνων, ὅτι θαρρήσαντες τῷ πλήθει καὶ μεγέθει τῆς καταρχὰς εὐεργεσίας, ἐδὲν ἐν τοῖς ἐφεξῆς ἐφρόντισαν ἐπιδείξασθαι τοιοῦτον· ἀρκήσειν γὰρ τοῖς εὐεργετηθεῖσι πρὸς τὴν διὰ βίου εὐχαριστίαν τὴν καταρχὰς ἤλπισαν φιλοτιμίαν, καὶ χρόνον ἐδένα ἂν ἐγγενέσθαι λήθης τοῖς εὐπεπονθόσι τῆς ἀγαθεργίας. τὸ δὲ ἐ μόνον ἐ κατὰ τὰς αὐτῶν ἐλπίδας ἀπέβη, ἀλλὰ καὶ εἰς τἐναντίον ἐτράπη. Ἀλλὰ περὶ μὲν τῶν φαύλων τὴν προαίρεσιν ἐδὲν θαυμαστόν· οἱ γὰρ τοιοῦτοι, ἐδὲ βεβαίας αὐτοῖς εἰς χεῖρας ἴσως τῆς εὐεργεσίας, ἐδὲ τότε γλώσσαις ἀνοθεύτοις ἠμείβοντο τὰς εὐεργεσίας, πλὴν καὶ ἐπὶ τῶν ἄλλων, τὸς μὲν καλοκαγαθίας ἐπι-

μελεμένες ἦν ἰδεῖν, ὡς εἶχον μὲν μνήμην ὧν ἔτυχον ἀπολελαυκότες, καὶ εὐλογεῖν ἐκ ἐξίσαιλο τὸν εὐεργέτην· ὅμως δὲ μὴ τῶν ὁμοίων τυγχάνοιλες, οὐδ' αὐτοὶ καθαρὰν καὶ ἀκήρατον τὴν ἀρχαίαν διέσωζον εὐγνωμοσύνην, ἀλλὰ τῷ χρόνῳ τὴν χάριν (ὑ γὰρ εἶχον ἐπιῤῥοὴν) ὑπομαραινόμενοι, τὸ σΦοδρὸν καὶ ὡραῖον ἀπηνθίζοντο τῦ Φίλτρυ. οἱ δὲ μέσης νομιζόμενοι διαθέσεως, εὐεργελέμενοι μὲν εὐχαρίςως διέκειλο· ἀμεληθέντες δὲ, ἐὸ' αὐτοὶ τὴν προτέραν διάθεσιν εἰς τἐναντίον μεταβαλεῖν ἐνηχύνθησαν· μάλιςα, βλέποντες ἑτέρυς Φιλοτιμιῶν ἀπολαύοντας. ὑ γὰρ ἃ προπεπόνθασιν αὐτοὶ, καίτοι δέον, ἐλογίσαντο· οἷς δ' εὖ πάθοιεν οἱ πλησίον, ἐνητένιζον· καὶ τύτοις παρακινιζόμενοι τὴν εὐΦημίαν εἰς ἀχαριςίαν ἔτρεπον. πολλῷ ἄρα λυσιτελέςερον ἄρχοντι, καὶ ἐν πολιτείᾳ, καὶ διὰ βίυ, ταῖς κατὰ μέρος δωρεαῖς ἢ ἀθρόον καὶ ἐΦάπαξ οἰκειῦθαι τὸ ὑπήκοον. τὸ δὲ πλῆθος καὶ βάρος τῶν χαρίτων ἀρμόζει μᾶλλον τοῖς ὑπέρογκόν τι καὶ παράδοξον ἐπὶ κοινῇ σωτηρίᾳ καλοῤῥωκόσιν, ἢ τοῖς εἰς τὸ σπανιώτατον τῆς ἡμῶν ἐπικυρίας δεῖθαι νομιθεῖσι.

Θυμός ἐςιν ἔκςασις ἐκύσιος, καὶ τῶν ἰδίων Φρενῶν ἀλλοτρίωσις. ἃ γὰρ οἱ διαπαντὸς μελαγχολῶντες καλεργάζονται, παραπλήσια τύτοις καὶ οἱ τῷ θυμῷ πληγέντες κατ' ἐκεῖνο καιρῦ διαπράττονται.

Ὥσπερ τὸ πῦρ τὴν τρέΦσαν ὕλην ἀΦανίζει, ὕτω καὶ ὁ θυμὸς τὴν ἔχυσαν ψυχὴν καλεθίει. πολλάκις δὲ καὶ Φθορὰν ὁλόκληρον εἰργάσατο τῦ ζώυ.

Μηδαμῶς μηδένα μηδὲ δικαίως θυμῷ κολάσῃς. ὡς γὰρ ἂν ὁ πάρχων τὴν δίκην ὑΦέξῃ, αὐτὸς ὅμως ἐδὲν ἔλατον ἐξελεγχθήσῃ σΦαλερῶς τῇ πράξει κεχρημένος. διὸ καὶ κάλλιςά τις τῶν ἀρχαίων ἀπεθέσπισε πρὸς ἡμαρτηκότα, Ἐκόλασα ἄν σε, εἰ μὴ ἐθυμέμην.

Τυφλόν ἐςι πάθος ὁ θυμὸς, καὶ κρίνειν ὐκ ἔχων ἀπὸ τῦ χείρονος τὸ κρεῖττον. διὸ ὐδεμία ὄνησις παραίνεσις ὀργιζομένῳ· πεπαυμένῳ δὲ, τὴν διὰ τῶν ἐλέγχων θεραπείαν προσενεκλέον κεράσαιλι ἐπιεικείᾳ. ὅτε γὰρ τὰ δριμύτερα τῶν Φαρμάκων ἄνευ μέλιτος τοῖς κάμνυσι προσάγειν ἐγνώκασιν οἱ ἰατροί· ὅτε τὺς ἀκράτυς ἐλέγχυς ἡ τῶν ἀπαιδεύτων δέχεται ψυχή.

Ὥσπερ ταχὺν ἐν ταῖς ἀξίων εὐεργεσίαις εἶναι προσῆκεν, ὕτω βραδὺν ἐν ταῖς τῶν αἰτίων τιμωρίαις, καὶ χαίρειν μὲν τιμῶνλα τὺς σπεδαίυς, ἀνιᾶσθαι δὲ κολάζονλα τὺς ὑπευθύνυς.

Μηδενὶ μηδέπολε πιςεύσαντί σοι ἄπιςος ὀΦθείης. ἂν γὰρ ἄπιςοι γενώμεθα τοῖς πεπιςευκόσι, τίνες τοῖς ἄλλοις δόξομεν; καὶ μετὰ τίνων δὲ λοιπὸν ἀδεῶς καὶ ἡδέως βιώσομεν;

Οὐκ ἐθέλει τὸ εἶναι μετὰ τῦ εὖ εἶναι συνεῖναι. διὸ ὃ ἐν οἷς ἂν τὴν οἴησιν ὁρᾷς, τὴν πρᾶξιν ὑπερόριον νόμιζε, καὶ διαπεΦευγέναι τὸ εἶναι.

Αἶσχρόν ἐςιν ἀνδρῶν ἄρχοντα καὶ δεσπόζονλα, γυναικῶν ἡτλῆθαι, κ δῆλον ἡδονῶν ὀΦθῆναι. ἢν δέ τις νόμῳ βοηδὸν ἐκλήσατο βίᾳ, ταύτῃ συνοικῶν ὐχ ἁμαρτάνει. Ἀγαμία μὲν θεῖον πρᾶγμα, καὶ ὑπερΦυὲς, καὶ μεῖζον πολιτικῆς ἀρετῆς καὶ εὐνομίας. μονογαμία δὲ, Φύσεως ἀν-

θρωπίνης

θρωπίνης ἔργον, εἰς τε γένεσ διαδοχὴν, καὶ εἰς κοινωνίαν ἡμέρᾳ καὶ φιλανθρώπῳ βίῳ, καὶ πολιτείας εὐνομουμένης. πολυγαμία δὲ, ὑπεραιχρον καὶ μιαρὸν, καὶ τῆς τῶν ἀλόγων ἀκολασίας καὶ ἀκαθαρσίας.

Ἀλέξανδρος ὁ Μακεδὼν, Ἀσίας κύριος δόρατι γεγονὼς, τὰς Περσίδας ἔλεγεν βολίδας ὀμμάτων εἶναι· ὁ δὲ σώφρων ὡς ἀληθῶς ἀνὴρ, καὶ δεσποτικῶν φύλαξ ἐντολῶν, ὁ τὰς Περσίδας μόνον, ἀλλὰ καὶ πάσης γυναικὸς ὄψιν, ὡς ὀξὺ ψυχῆς βέλος καὶ θανατηφόρον, φεύξεται καὶ ἀποσκαφεῖται. Ἦχος μὲν φωνῆς ἔπληξεν ἀκοὴν, καὶ δι' αὐτῆς ἐνετυπώθη τὸ πάθος τῇ ψυχῇ· κάλλος δὲ σωμάτων εἵλκυσεν ὀφθαλμὸν, καὶ δι' αὐτῆς δέσμιον λαβὼν κατεδουλώσατο τὸν αὐτοδέσποτον λογισμόν.

Ὥσπερ ἀδύνατον ἐν θαλάσσῃ πλέοντα, ταραχῆς καὶ ζάλης ἀπείρατον διαμεῖναι, ἕτως ἀμήχανον τὸν κάλλη σωμάτων ἐπισκοπεῖσθαι καὶ περιεργαζόμενον, τῶν ἐκεῖθεν κυμάτων καὶ κινδύνων ἐκτὸς καθεσθῆναι. δι' ὃ τὰς ἀρχὰς καὶ τὰς αἰτίας ἐκκρέπεσθαι χρὴ τῶν παθημάτων. τοῦτο γὰρ καὶ συμφέρον, καὶ ὠφελεπόν. Ἐπειδὰν δὲ τοῖς λογισμοῖς τὸ κακὸν ἐντυπήσῃ, καὶ τὸ εἴδωλον αὐτοῖς τῆς ἐπιθυμίας ἐντυπώσῃ, δυσαπόβλητον γίνεται τὸ πάθος, καὶ χαλεπὸν ἀπαλλαγῆναι.

Τινὲς τὲς ἐρῶντας ἔφησαν ἐν ἀλλοτρίοις σώμασι τὴν ψυχὴν τὴν ἰδίαν ἔχειν· εὐλογώτερον δ' οἶμαι λέγειν, αὐτὲς ἐν ἀλλοτρίοις σώμασι τὸν νοῦν τῇ ψυχῇ συναπολωλέναι.

Μέθην καὶ τρυφὴν τῶν ἀρχόντων, ναυάγιον νόμιζε τῶν ἀρχομένων. Ὅτε γὰρ ὁ κυβερνήτης καταποντίζεται τῇ πλημμυρῇ καὶ τῷ οἴνῳ, πῶς οὐχὶ μυρίοις κύμασι καὶ κλυδῶσιν ἑκάτοις ἡ κυβερνωμένη προσαρράξει πολιτεία, καὶ τῇ τοῦ κυβερνήτου ὑποβρυχίῳ συγκαταποθήσεται ἀπωλείᾳ;

Μηδένα μηδέποτε ἀνθρώπων, μηδὲ τῶν τυχόντων, εἰς ἀπόγνωσιν συνελάσῃς. Ἰσχυρὸν γὰρ καὶ ἄμαχον ἀπόγνωσις ὅπλον. καὶ πολλάκις ἀνάγκη στρατηγήσασα, πράξεων παραβόλων ἀνελπίστες μεταβολὰς ἐξεργάσατο, καὶ πρὶν ἢ γενέσθαι, μύθες νομιζομένας.

Ἄριστον μὲν ἀνθρώπῳ μὴ διαμαρτεῖν, μηδὲ τῆς ὀρθῆς κρίσεως ἀποσφαλῆναι· συνετὸν δὲ, καὶ πεσόντα θᾶττον ἀναστῆναι, καὶ χρῆσθαι τῷ πταίσματι πρὸς τὸ μὴ πάλιν πεσεῖν παραγγέλματι.

Τὸ περὶ τὲς πόνες ἐκάσιον, τῶν ἀκουσίων ἀφαιρεῖται τὸ ἀφόρητον καὶ χαλεπόν· δι' ὃ χρήσιμος ἡ ἐν τοῖς ἀκουσίοις τριβὴ καὶ μελέτη.

Ἀρχικῆς ἀρετῆς καὶ τελείας, μὴ μόνον τὸ πλῆθος ὠφελεῖσθαι πρὸς τὸ μὴ ἁμαρτάνειν, ἀλλὰ καὶ ἑαυτὸν πρὸ τοῦ πλήθες.

Ἡ διὰ λόγων ὕβρις τοῖς ἐλευθέροις, ὀλίγου παραλλάσσει τῆς διὰ πληγῶν καὶ μαστίγων. χρὴ ἓν παραφυλάττεσθαι τὸ προπετὲς τὸ ἐν τούτοις· ὀλίγα γὰρ δοκεῖν, μεγάλας φέρει ζημίας.

Πολλὰς ἔβλαψεν εὐτραπελία· ἀπὸ γὰρ γνώμης διεκπεσοῦσα παιζόσης, καιρία πληγὴ γέγονε τοῖς διαπαιχθεῖσι· καὶ βραχεῖα τέρψις τῶν ἐπιτυχόντων, μεγάλας ἔτεκεν ἔχθρας τῶν σπεδαίων. ἦν παντὶ μὲν ἔμφρονι παραφυλακτέον,

ἄρχοντι δὲ μάλιστα τῶν ἄλλων· ὅτι καὶ χυδαῖον, καὶ καταφρονεῖσθαι μᾶλλον, ἢ χαριεντίζεσθαι, παρασκευάζει.

Εὐεργετῶν τὸ ὑπήκοον περιφρέρει, ὡς τῆς ἀρχῆς νεῦρα καὶ οἰκεῖα μέλη. ἐκείνων γὰρ διασπασθέντων, κίνδυνος καὶ τὴν σὴν συγκαταλύεσθαι ἐξουσίαν.

Τὰς μεμελετωμένας φάσεις, ὅσαι μὴ σβέσαι ῥᾷον, ἄμεινον ἀγνοίας ὑποκρίσει δῦναι, καὶ λήθῃ καλύψαι, ἢ θριαμβεύσαντα ἐπεξιέναι. τὸ μὲν γὰρ ἐθ' ὅτε καὶ πλέον ἀνῆψε τὴν φλόγα, καὶ χαλεπὸς ἤνεγκε κινδύνους, καὶ πολλῇ καὶ τὸν διασωθέντα περιέβαλε ζημίᾳ· τὸ δὲ, πράεως κοιμίζειν, καὶ μετὰ τῆ ἀκινδύνῳ, τὸ φιλάνθρωπον καὶ συνετὸν καὶ ἀζήμιον περιέχει.

Δεῖ τὸν ἄρχοντα, φερομένων μὲν αὐτῷ κατὰ ῥᾳθυμίαν τῶν πραγμάτων καὶ εὐσυνεζώτων, ὡς σαλευομένων ἀσφαλίζεσθαι καὶ ἐπιμελεῖσθαι· ἀνατρεπομένων δὲ καὶ συῤῥηγνυμένων, ὡς ἂν ἐπαναχθείησαν καὶ ἐδραθεῖεν, βουλεύεσθαι καὶ φροντίζειν. ἀδέτερον γὰρ τῶν ἐπὶ τἀναντία φερόντων ἡ πεῖρα δείκνυσιν ἀνέλπιστον· ἀλλὰ πολλάκις μικρὰ ῥαγὼν μεγάλας ἀρχὰς καὶ ὑπερόγκους κατήνεγκεν, καὶ πάλιν σπουδὴ σὺν εὐβουλίᾳ, εἰς μέγα δυνάμεως ὕψος τὸς καλενεχθέντας ἐπανήγαγεν.

Οἱ ἔμφρονες καὶ εὐσταθεῖς τῶν ἀνθρώπων, καλορθοῦντες μὲν, ὦ φυσιῆται, ἀλλὰ μέτριῳ φρονήματι τῆς εὐπραγίας κοσμοῦσι τὸν ὄγκον, καὶ τῶν φθονούντων διαπραΰνουσι τὸ φλεγμαῖνον· περιπλαίοντες δὲ, φέρουσι γενναίως καὶ τὸ συνενεχθὲν, ἀρετῆς ὑπόθεσιν ποιούμενοι. τῷ κράτει ταύτης δυναμοῦσι τὴν γνώμην, καὶ τὸ ἀθυμεῖν ἐξορίζουσι τῆς διανοίας. Ἴσασι γὰρ τὸ ἐφ' ἑκάτερα τρεπτὸν, καὶ ἄστατον, καὶ ἀβέβαιον τῶν ἀνθρωπίνων· ἀφροσύνης δὲ καὶ κουφότητος καὶ ἀπειροκαλίας, τό, τε ἐν ταῖς εὐπραγίαις ἐπαίρεσθαι καὶ ὀγκοῦσθαι, καὶ τὸ ἐν ταῖς δυσπραγίαις σφόδρα καταπίπτειν καὶ ἐναχημονεῖν τῇ ἀθυμίᾳ.

Ἀνδρῶν μὲν συνετῶν προνοῆσαι τὰ δυσχερῆ, καὶ ἀπώσασθαι δι' εὐβουλίας· ἐκ ἔλαττον δὲ, καὶ τὰ συμβεβηκότα καλῶς διαθέσθαι καὶ οἰκονομῆσαι.

Οἶδα πράξεις ἀθρόον ἐπισάσας, καὶ τῷ ἀδοκήτῳ τῶ συμβεβηκότος ἐκπλαγέντας τὲς τε θεαμένους, καὶ ἡσύχως ἐνέγκοντας τὰ συνενεχθέντα, καὶ ἐθ' εἰς τὸ ἔπειτα διαναστάντας, ἀποσείσασθαι τὸ βάρος· μάλιστα δὲ τῆς ἐξ αὐτῶν οὐ συναυξομένης βλάβης, ἀλλὰ καὶ τρόποις ἄλλοις πραοτέροις, ὑποχαλωμένης. Ἰδὼν γὰρ ἴδον ἑνίας ἔτως οἰκονομηθείσας, καὶ τῷ συνήθει, κατ' ὀλίγον, ἐπὶ πλέον συνεπικεφιζομένας, εἰς τὸ ἀλυπώτατον ἀποκριθείσας· ἄλλας δὲ τἐναντίον, καὶ τὲς πρὸς ἀμέλειαν καὶ ἀτολμίαν ζώσας, κέντρῳ δίκην, ὡς ἐξ ὕπνου, διεγηγερκυίας. Τῷ γὰρ παραλόγῳ καὶ ἐξαιφνιδίῳ τῶν προστυχόντων, ἕκαστος ἀνηρεθισμένος, πᾶς ἀνὴρ τοῖς πράγμασιν ἐγεγόνει· καὶ οὐδὲ ἐπὶ μιᾶς ἡμέρας ἀντέχειν ἐπιχεῖν ἡ καινοτομία· ἄλλαι δὲ, καὶ αὗται τῶν οὐκ ἐξ ἔθους, κατὰ μικρὸν ὑπεισιοῦσαι, καὶ τῷ ἠρεμεῖ καὶ ἀταράχῳ συνδιακλέπτουσαι τὴν συναίσθησιν τῆς καινοτομίας, παρεισέδυσάν τε ἀ σὺν πόνῳ, καὶ ἐδ', εἰ καινότερόν τι συνέβη, μνήμην ἔδωκαν, ἀδὲ τοῖς πεπειρασμένοις. τινὲς δὲ, τὸν ὅμοιον τρόπον ἐπιχειρήσασαι

σαι παρεισδύνειν, καὶ τῷ μὴ τυραννίδι, μηδ' αὐτοδεσπότῳ κράτει, καὶ ἐκ τῶν ἐμφανῶς, ὥσπερ ἐπισκήπτειν, δειλίαν καταγνωσθεῖσαι, θᾶττον ἀνέρράπησαν ὑπὸ τῶν ἐπιτυχόντων. τῷ γὰρ καθ' ἑαυτὰς εὐλαβεστέρῳ, εἰς θράσος ἄχθον καὶ παράζηλον τόλμαν ἐξοπλίσασαι, καὶ τὲς πρὸ τέτων δόξαντας ἐπιεικεστάτες, αὐτῇ συνεφθάρησαν τῇ ἐπιχειρήσει. Πῶς ἔν ἐστι τυχεῖν τῶ σκοπῶ; τἀναντία γὰρ διὰ τῶν αὐτῶν ὁρᾶται συντελεσμένα. ἄμεινον μὲν μηδ' ἀπάρχεσθαι τῶν τοιέτων· δειναὶ γὰρ αἱ καινότητες, καὶ χωρὶς ἑτέρε λυπηρῶ, θορυβεῖν καὶ πλήττειν διανοίας, καὶ εἰς διαβολὴν καὶ ὕβριν ἐκκαλεῖσθαι τὸ πλῆθος.

Ἐπεὶ δ' ἔσθ' ὅτε χρεία καλεπέγει, καὶ δεῖται πράξεως ὁ προεσηκὼς καινοτέρας, ἂν μὲν μέγα ὄφελος καὶ εὐφροσύνην ἐξ αὐτῆς τὸ κοινὸν εὑρίσκῃ, ἀδὲν δεῖ σκέψεως καὶ μελέτης· ἂν δ' ἄλλως, καὶ λυπηρὰ εἴη, λόγῳ μὲν διελθεῖν, ὅπως ἂν ὡς ἄριστα διανυθείη, ἁ ῥᾴδιον οἶμαι. τὰ γὰρ κατά τινας ἰδικωτάτας ἐπακολεθήσια περιστάσεις, ἐκ ἔνεστιν ἀκριβῶς κοινοτέρῳ λόγῳ, καὶ τῶν ἔργων πόρρωθεν, θηρᾶσαι. πλὴν ὅ γε καλῶς, ἐν τοῖς προειρημένοις ἐγγεγυμνασμένος, καὶ πρὸς τὰ τοιαῦτα τὴν ἄνωθεν ῥοπὴν ἐπίκερον ἔχων, μεγάλην οἴσεται δύναμιν συνειλεγμένος.

Ὅπλων καὶ ἀνδρείας καὶ στρατηγίας κραταιότερον καὶ ἀσφαλέστερον νόμιζε τὴν εὔνοιαν τῶν ἀρχομένων. ταύτης μὲν γὰρ παρέσης καὶ στρατηγέσης κἀκεῖνα χρήσιμα, καὶ μεγάλην ῥοπὴν πρὸς πάντα παρέχει. ἀνηρημένης δὲ τῆς εὐνοίας, ἄμεινον συναναιρεῖσθαι κἀκεῖνα. θᾶττον γὰρ ἐπὶ τὴν μισεμένην ἀρχὴν, ἢ καὶ ἀπὸ τῶν πολεμίων ἐθέλει ταῦτα κινεῖσθαι.

Λόγες μὲν ἤλεγξαν δόραλα πολλάκις. ἤμβλυνε δὲ πολλαχῆ καὶ λόγων ἰσχὺς, ὀξύταλα πολέμε, καὶ μεγάλων ὁρμὴν διέλυσε στρατευμάτων. χεῖρες ἄρα μετὰ λόγε, διπλῆν τρόπαιον. πόνες ἐλπίδες νευρῶσι, καὶ πόνοι τίκτεσιν ἐλπίδας. σὺ δὲ ἐξιλεέμενος τὸ θεῖον, μηδενὸς ἀμέλει τῶν πρακτέων, καὶ καλὰς καὶ μεγάλας ἐλπίδας θερίσεις.

Ἐπικερεῖν ἐν οἷς ἕκαστος ἔχει χρείαν, ἀρχικῆς καὶ ἐχέφρονος διανοίας· μάλισα δὲ τοῖς ἐν συμφοραῖς περιπεσῶσι. μετὰ γὰρ τῶν ἄλλων, καὶ ἀείμνηστον συντηρεῖν εἰώθασι τὴν εὐεργεσίαν.

Ἡ εὐδαιμονία τῶν ὑπεξεσίων, ἄκραν ἀνακηρύττει σύνεσιν καὶ δικαιοσύνην τῆς ἐξεσίας.

Περὶ ὧν ἂν εὖ πράξῃς, εἴτε ἐν τῷ οἰκείῳ βίῳ, εἴτε ἐν τῷ κοινῷ τῆς πολιτείας, τῷ Θεῷ ἀναλιθέναι δικαίε τὴν αἰτίαν. ἔτω γὰρ μᾶλλόν τε αὐτὸν ἐπίκερον ἕξεις, καὶ θεοφιλὴς εἶναι δόξεις, καὶ κᾶφον σεαυτὸν καὶ ἀλαζονικὸν ἐκ ἐλέγξεις, καὶ τῇ φθόνῳ δείξεις περιλεθραυσμένας τὰς ἀκίδας.

Ταῦτά σοι ἐκ πολλῶν ὀλίγα (ὦ τῶν ἐμῶν πνευματικῶν ὠδίνων εὐγενὲς καὶ γνήσιον γέννημα) τῆς περὶ σὲ φιλίας καὶ υἱοθεσίας, εἰσνεί τινα θεῖα συμβόλαια, καὶ ἀρετῆς ἀρχετύπες ἀνατίθημι πίνακας· εἰς ὃς ἀφορῶν, καὶ πρὸς ἐκείνες σεαυτὸν χηματίζων καὶ διαμορφῶν, ἁ χαλεπῶς ἔξεις συνορᾶν, τίνες τε τῶν πράξεων ἀνθεῖν τὴν ἐν τῇ ψυχῇ παρασκευάζεσιν ὠραιότητα, καὶ

τίνες

τίνες αὐτὴν, ὥσπερ σπῖλοι καὶ ῥυτίδες, εἰς αἰσχρὰν ὄψιν καὶ ἀχήμονα μεταskευάζουσιν. ὧν τὰς μὲν ἀπαλείφων, τὰς δὲ ἐγγραφόμενος, ἔμψυχον, ὡς ἀληθῶς, καὶ κάλλιστον θεοφιλῆς πολιτείας σεαυτὸν ἐπιδείξεις ἄγαλμα, καὶ ἥδιστον ἐμοὶ, καὶ πᾶσιν εὐσεβέσι καὶ θέαμα καὶ διήγημα. Διὸ καὶ τὰς χεῖρας εἰς ἐρανὲς ἐξαπλώσας, καὶ τὴν περὶ σὲ σοργὴν καὶ τὸν πόνον, καὶ τὴν εἰς Θεὸν ἀναφερομένην δόξαν, ἀνθ' ἱκετηρίας αὐτῷ προτείνας, ἐπεύχομαί σε, τῶν ἐλπίδων καὶ παραινέσεων ἐργάτην δόκιμον, καὶ πιστὸν φύλακα, γενέσθαι· καὶ εἴης μοι δι' ἁπάσης ἰδέας κατορθωμάτων ἐπίσημος καὶ περίβλεπτος· ἄκρος μὲν σύνεσιν, μνήμην δ' ἀσφαλής· ἡδὺς ἐν λόγοις, τὸν τρόπον ἡδύτερος· ἐράσμιος ἐλλυχεῖν, τοῖς ἀεὶ συνοῦσιν ἐρασμιώτερος· κράτιστος τὸ παρὸν κρῖναι, καὶ ἀγαγεῖν εἰς διάταξιν· ὀξὺς τὸ μέλλον ἰδεῖν· προμήθης φυλάξασθαι· ἕτοιμος μεγάλας αὐτεργῆσαι πράξεις, ἑτοιμότερος τὸ κατορθωθὲν διασώσασθαι· δεινὸς μὲν τὸ συμφέρον κρύπτειν, κρείττων δὲ λανθάνειν, δεινότερος δὲ φωράσαι τὲς ἐπηρεάζοντας· φοβερὸς μὲν τοῖς πολεμίοις, ποθεινὸς δὲ τοῖς ὑπηκόοις, ἀμφοῖν δὲ κοινὸς τὸ αἰδεῖσθαι καὶ θαυμάζεσθαι· κρείττων ἡδονῶν, ἥττων σωφροσύνης· ὀργῆς κύριος, πραότητος φίλος· ταχὺς θηρεῦσαι τὸ δίκαιον, ἀδέκαστος διανεῖμαι· γνώμην εὐσταθὴς, ταῖς ὑποχέσεσι, βέβαιος· γενναῖος ἐν φόβοις, ἄτολμος πρὸς πᾶσαν παρανομίαν, καὶ μηδεμίαν ῥᾳθώνην καρτερίας καὶ καλῶν πόνων ἀνταλλασσόμενος· εὐεργετεῖν πρόθυμος, κολάζειν ὀκνηρός· φιλίας ἐραστὴς, ἔχθρας πολέμιος, ἐλέους πηγή· οἰήσεως μείζων, ταπεινοφροσύνης ἐλαττούμενος· ὑπερόπτης πλούτου, πενίας ἐπίκουρος· ἀληθείαν τιμῶν, ψεύδει μὴ σπενδόμενος· ἀταπείνωτος ἐκ εὐδοκιμῶν, εὐδοκιμῶν δὲ ἀ φυσιούμενος· γλώσσης αὐτοκράτωρ, ἀκοῆς φύλαξ, ἀφῆς καὶ τῆς ἄλλης αἰσθήσεως ἀδυσώπητος ἐπιστάτης, καὶ μηδενὶ πάθει ἐνδιδοὺς, μηδὲ τοῖς ἐρεθισμοῖς κηλούμενος τῶν ὀρέξεων· καὶ σύμπαν εἰπεῖν, εἴης μοι πάσης ἀρετῆς, καὶ εὐσεβείας, ἀ τοῖς ὑπὸ σε μόνον ὑπογραμμὸς καὶ παράδειγμα, ἀλλὰ καὶ τῷ μετὰ σὲ παντὶ τῶν ἀνθρώπων γένει, καλὴ καὶ μεγάλη, καὶ καλὰ καὶ μεγάλα κατεργαζομένη, παραίνεσις. διὰ ἃ σοι μάλιστα καὶ ἡ τῶν ἐρανῶν ἀνέκφραστος καὶ ἀίδιος βασιλεία, εἰς κλῆρον ἀναφαίρετον, καὶ κατασκήνωσιν ἀδιάδοχον, καὶ ὑπερφυῆ καὶ θείαν τρυφὴν, καὶ ἀπόλαυσιν μὴ λυομένην, παραχεθήσεται.

ΤΕΛΟΣ.